Θεὸς, λέγων· Ἐὰν ἐκτείνητε τὰς χεῖρας ὑμῶν πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν· αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις· Οὕτω τὰς καρδίας καθαρὰς, καὶ πράξεσιν ὁσίαις ὑπαλειμμένας αὐτὸν προσίεται, καὶ ἐκ παντὸς τόπου τὴν δέησιν αὐτῶν ἐνωτίζεται, τῇ διαθέσει προσέχων, κἂν τὸ χωρεῖον ᾖ καὶ τὸ δοκεῖν ἀδιάφορον. Οὕτως τῷ Κορνηλίῳ ἐν οἰκίᾳ προσευχομένῳ ὑπεφοιτήσας ὁ Ἄγγελος ἔφη· Αἱ προσευχαί σου, καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἔμπροσθεν τοῦ Θεοῦ. Τί τοίνυν τὸν Κορνήλιον ἔβλαψεν ἡ ἐν τῷ οἴκῳ προσευχή; Τί δὲ τὸν Φαρισαῖον ὠφέλησεν ἡ τοῦ ἱεροῦ βδέλυσσις, τύφος, καὶ ἀλαζονείας ἐμπεπλησμένον;

Πρᾶξ. 10. Λουκ. 18.

Νικηφόρου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως ἐκ τοῦ κατ' Εἰκονομάχων.

Σοφον. 2.

Ἐπιφανήσεται Κύριος ἐπ' αὐτοὺς, φησὶ Σοφονίας, καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῆς ἐθνῶν τῆς Γῆς, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ. Καὶ Μαλαχίας ἐκ προσώπου τοῦ Θεοῦ φησίν. Ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά. Πανταχοῦ γὰρ ὑπολαμπούσης τῆς ἀληθείας, καὶ τῆς Χάριτος, οὐκ ἔτι χώραν ἔχει ἐν τόπῳ περιορίζεσθαι ἡ προσκύνησις, οὐδὲ ἴσασθαι κατὰ τὸ παλαιὸν ἐκεῖνο, καὶ σκιώδες πάταγμα. Ἀλλ' ὥσπερ τοῦ Εὐαγγελίου ὁ λόγος αὐτὰ πᾶσαν τὴν γῆν ἐκκυθεὶς ἐξήχειται, καὶ τῆς δοξολογίας, καὶ προσκυνήσεως ὁ τρόπος ἐκπαθεὶς ἐπλατύνεται. Διότι ἐν παντὶ τόπῳ ἡ δεσποτεία αὐτοῦ. Αὐτῷ γὰρ πρέπει τιμὴ, καὶ κράτος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ε Ρ Ω Τ Η Σ Ι Σ, Γ.

Ε᾽αὐτὶς ἁμαρτήσας μετανόησε, καὶ πάλιν εἰς τὴν ἁμαρτίαν ἔπεσεν, εἰ τὴν μετάνοιαν, καὶ τὸν κόπους ἐκείνους ἀπώλεσε, καὶ μάλιστα εἰ μὴ τὴν ἁμαρτίαν ἀπέθανε;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Περὶ τῆς τοιαύτης ὁ Θεῖος Ἰεζεκιὴλ φησίν. Ἐν τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ, τὸ ποιῆσαι ἀνομίαν, καὶ πάσας τὰς ἀνομίας, ἃς ἐποίησεν ὁ ἄνομος, πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ, ἃς ἐποίησεν, οὐ μὴ μνησθῶσιν, ἀλλ' ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ, ᾗ παρέπεσε, καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ, αἷς ἥμαρτεν, ἐν αὐταῖς ἀποθανεῖται. Καὶ πάλιν. Δικαιοσύνη δικαίου οὐ μὴ ἐξέλιται αὐτὸν ἐν ᾗ ἂν ἡμέρᾳ πλημμελήσῃ. Καὶ ἀνομία ἀσεβοῦς οὐ μὴ πακώσῃ αὐτὸν ἐν ᾗ ἂν ἡμέρᾳ ἀποστραφῇ ἀπὸ τῆς ἀνομίας αὐτοῦ. Ἕκαστον ἐν ταῖς ὁδοῖς ὑμῶν κρινῶ ὑμᾶς, οἶκος Ἰσραήλ. Καὶ ὁ Δαβίδ· Ὁ Θεὸς Κριτὴς δίκαιος, καὶ ἰσχυρὸς καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ σιλβώσει. Καὶ

Ἰεζ. 18.

Ψαλ. 7. καὶ 124.

πάλιν. Τὰς δὲ ἐκκλίνοντας εἰς τὰς τραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν. Καὶ ὁ Κύριος. Οὐδεὶς φησὶ βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ τραφεὶς εἰς τὰ ὀπίσω, εὔθετος ἐστὶν εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν. Τῶν τοιούτων ἦν τὴν ἄνοιαν, καὶ τὸν ἀόνητον πόνον σηλιτεύων καὶ ὁ Θεῖος Ἀπόστολος φάσκει. Οὕτως ἀνόητοι ἐστὲ, ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε; τοσαῦτα ἐπάθετε εἰκῆ; εἴγε καὶ εἰκῆ. Καὶ πάλιν. Τίς μετοχὴ δικαιοσύνῃ, καὶ ἀνομίᾳ; τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος; ἢ τίς συμφώνησις Χριστῷ πρὸς Βελίαρ; Τῆ Ἡσαΐᾳ.

Λκ. 9. Πρὸς Γαλ. 3. Πρὸς Κορ. β'. 6. Ἡσαΐᾳ 3. Παρ. 24. Κεφ. 16. Κεφ. 19. Κεφ. 18. Κεφ. 2. Κεφ. 26.

Οὐαὶ τῷ ἀνόμῳ. πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ. Σολομῶντος.

Ἐπαίνεις πεσεῖται ὁ δίκαιος, καὶ ἀνασήσεται. οἱ δὲ ἀσεβεῖς ἀθενήσουσιν ἐν κακοῖς. καὶ, Ἀνὴρ ἐν πόνοις πονεῖ ἑαυτῷ, καὶ ἐκβιάζεται τὸν ἑαυτοῦ ἀπώλειαν· καὶ, Ὃς φυλάσσει ἐντολὰς, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν· ὁ δὲ καταφρονῶν τῶν ἑαυτοῦ ὁδῶν, ἀπολεῖται· καὶ, Ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθη κακῶν, καταφρονεῖ· ἐπέρχεται δὲ αὐτῷ ἀτιμία, καὶ ὄνειδος. καὶ, Ὦ οἱ ἐγκαταλείποντες ὁδὸς εὐθείας, τοῦ πορεύεσθαι ἐν ὁδοῖς σκότους, οἱ εὐφραινόμενοι ὅτε κακοῖς, καὶ χαίροντες ὅτε διαστροφῇ κακῇ. Καὶ ὥσπερ κύων ἐπέλθῃ ὅτε τὸν ἴδιον ἐμετὸν, καὶ μισητὸς γένηται· ἕτως ἄφρων τῇ ἑαυτοῦ κακίᾳ, ἀναστρέψας ὅτε τῷ ἑαυτοῦ ἁμαρτίαν. Τοῦ Σειράχ. Κεφ. 34.

Ἐκκλ. 26. Ἐκκλ. 16. Ἐκκλ. 31. Ἐκκλ. 2.

Βαπτιζόμενος ἀπὸ νεκροῦ, καὶ πάλιν ἁπτόμενος αὐτοῦ, τί ὠφέλησε τὸν λουτρὸν αὐτοῦ; Οὕτω ἄνθρωπος νηστεύων ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ, καὶ πάλιν πορευόμενος, καὶ τὰ αὐτὰ ποιῶν, τῆς προσευχῆς αὐτοῦ τίς εἰσακούσεται; καὶ τί ὠφέλησεν ἐν τῷ ταπεινοῦσθαι αὐτόν; καὶ, Ἐπαναγὼν ἀπὸ δικαιοσύνης ὅτε ἁμαρτίαν, ὁ Κύριος ἑτοιμάσει ῥομφαίαν αὐτῷ· καὶ, Κατὰ τὸ πολὺ ἔλεος τοῦ Θεοῦ, ἕτω καὶ πολὺς ὁ ἔλεγχος αὐτοῦ, ἄνδρα κατὰ τὰ ἔργα αὐτοῦ κρινεῖ. καὶ, Ἔκαστος κατὰ τὰ ἔργα αὐτοῦ εὑρήσει. καὶ, Μακάριος ὅστις ἠδύνατο ἁμαρτεῖν, καὶ οὐ παρέβη, καὶ ποιῆσαι κακὸν, καὶ οὐκ ἐποίησε. καὶ, Οὐαὶ καρδίαις δειλαῖς, καὶ χερσὶ παρειμέναις, καὶ ἁμαρτωλῷ βαίνοντι ὅτε δύο τρίβους.

Τοῦ Ἁγίου Εὐαγγελίου. Λκ. 11.

Ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἐκ τοῦ Ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει, καὶ λέγει. ὑποστρέψω εἰς τὸν οἶκόν μου ὅθεν ἐξῆλθον. καὶ ἐλθὸν εὑρίσκει σχολάζοντα καὶ σεσαρωμένον. τότε πορεύεται, καὶ παραλαμβάνει μεθ' ἑαυτοῦ καὶ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόν κατοικεῖ ἐκεῖ, καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων. Τοῦ Ἁγίου Ἀποστόλου Πέτρου. Ἐπιστ. β'. 20.

Οἱ ἀποφυγόντες τὰ μιάσματα τοῦ Κόσμου τούτου ἐν ἐπιγνώσει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τούτοις πάλιν ἐμπλακέντες ἡττῶνται, γέγονε τὰ ἔσχατα αὐτῶν χείρονα τῶν πρώτων. Κρεῖττον γὰρ ἦν αὐτοῖς μὴ ἐπεγνωκέναι

τὴν

τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπιγνῶσιν ὑποστρέψαι ἐκ τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς. Συμβέβηκε δὲ αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας, Κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέρασμα· καὶ, Τοῦς λουσαμένη εἰς κύλισμα βορβόρου.

Κυρίλλου Ἱεροσολύμων ἐκ τῆς Ἀσκητικῶν Κατηχήσεων.

Φεῦγε ἐν τοῖς πονηροῖς ἔργοις. Εἰ γὰρ τοῖς ὑποπέσῃς μετὰ τὴν ἀποταξιν τοῦ Σατανᾶ, καὶ τὴν πρὸς Χριστὸν σωτηρίαν, πικροτέρᾳ πειρασθήσῃ τῷ τυράννῳ ἴσως, ὡς οἰκεῖον θηρίον τοῦτον πάλαι, καὶ τῆς πικρᾶς αἰσθόμενος δουλείας, νῦν δὲ σφόδρα θηρᾶν σὲ πικραινόμενος, καὶ τοῦ Χριστοῦ στερήσῃ, κἀκείνῳ πειρασθήσῃ. Οὐκ ἤκουσας πῶς ὁ Λὼτ μόλις σέσωται μετὰ τῶν θυγατέρων· ἡ δὲ τούτων γυνὴ γέγονε στήλη ἁλός, διὰ τὴν τῆς πονηρᾶς προαιρέσεως ὑποστροφήν; πρόσεχε σεαυτῷ, καὶ μὴ στρέφε πάλιν βαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον, καὶ στρεφόμενος εἰς τὴν πονηρὰν πρᾶξιν.

Τοῦ Ἁγίου Βασιλείου ἐκ τοῦ κατὰ μεθυόντων.

Ὁ γὰρ ἐν προκοπῇ γυμνάσιος ἀγαθῶν ἔργων, εἶτα πάλιν δρομήσας πρὸς τὴν ἀρχαίαν σαπηθειαν, οὐ μόνον τὸν ὅτι τοῖς πεποιημένοις μισθὸν ἐζημιώθη, ἀλλὰ καὶ βαρυτέρας ἀξιοῦται τῆς κατακρίσεως. Διὸ καὶ γοερὸς καλῶν θεοῦ ῥημάτων, καὶ γνώσεως μυστηρίων ἀξιωθεὶς, πάντα προέδωκεν ἡδονῇ βραχείᾳ δελεασθείς. Τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Ματθαῖον.

Ἴστεον, ὅτι κἂν χαλεπὸν δώσωμεν ὑπὲρ τῶν προτέρων ἁμαρτημάτων δίκην, εἶτα τοῖς αὐτοῖς πάλιν ἐμπέσωμεν, χαλεπώτερα πολλῷ πεισόμεθα πάλιν. καὶ μάλα εἰκότως. Ὁ γὰρ τῇ τιμωρίᾳ μὴ γυμνούμενος βελτίων, ὡς ἀνιάθητος λοιπὸν, καὶ καταφρονητὴς, ὅτι μείζονα ἄγεται κολασθησεται.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἑβραίους Ἐπιστολῆς.

Εἰ γάρ μοι, ἐὰν ὑγιαίνας ὑπὸ νόσου μακρᾶς, πάλιν τοῖς σιτίοις ἑαυτὸν ἐκδῷς ἐκείνοις τοῖς νοσοποιοῖς, οὐχὶ καὶ τὸν πρότερον κόπον ἀπώλεσας, καὶ ἑαυτὸν μειζόνως ἔβλαψας; εἰ γὰρ τὰ φυσικὰ μεθίσαται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως. Μαξίμου ἐκ τῆς Ἀσκητικῶν Κεφαλαίων.

Ἐὰν πρὸς ὀλίγον τῶν παθῶν τὰς αἰτίας ἐκκόψαντες, τοῖς πνευματικοῖς ἐναχολησθῶμεν θεωρήμασι, μὴ ἐν αὐτοῖς δὲ ἀεὶ διαμένωμεν, αὐτὸ τοῦτο ἔχοντες ἔργον, οὐχερῶς πάλιν ὅτι τὰ τῆς σαρκὸς πάθη ἐκκοπόμεθα, μηδὲν ἄλλο ἐκεῖθεν καρπωσάμενοι, ἢ σκότωσιν παντελῆ τοῦ νοῦ, καὶ ὅτι τὰ ὑλικὰ ἐκκοπῶ, καὶ ἐν τοῖς τῆς σαρκὸς πάθεσι, δίκην χοίρων, βορβόρῳ κυλινδομένων. Πρὸς ὀλίγον γὰρ ἐξ ὑπομελείας καθαρθέντες, καὶ τῆς γνώσεως ὑπερτυχόντες, ὕστερον ἀμελήσαντες, ὡμοιώθησαν τῷ Σαοὺλ, ὃς βασιλείας καταξιωθεὶς, καὶ ἀναξίως πολιτευσάμενος, μετ' ὀργῆς φοβερᾶς ἐξ αὐτῆς ἀπεβλήθη.

Νείλου ἐκ τοῦ πρὸς Εὐκάρπιον Μοναχόν.

Ὁ γὰρ κατὰ μάταιος μόχθος τὸ δικαίου ὁ πόνος, ἀνέγκλητος δὲ τὸ ἀδίκου ὁ τρόπος, τῆς ἐν ἀμφοτέροις ῥυθμίσεως ἐναλλαγῆς. Οἷον γὰρ διῤῥῶσε, τοιοῦτον σὲ

Λευϊτ. 20.

πεί-

Δεύτ. 32. κενῶ, φησὶν ὁ Θεός. Πῦ γὰρ οἱ τοσοῦτοι κόποι τῦ μεγάλυ Μωϋσέως, ὅτι τεθνήκοτος ἐν σιγμῇ τῆς ἀντιλογίας, ἀβραχυαμφίνις τὴν εἰς τὴν Γῆν τῆς Ἐπαγγελίας εἴσοδον; Πῦ δὲ ἡ σωίσις, καὶ σοφία Σολομῶντος; καὶ τίς ἡ ὠφέλεια τῆς πολλῆς φρονήσεως ἐκείνης, καὶ ἡ προλαβοῦσα τοσαύτη εὔνοια πρὸς Θεόν, ὕστερον ἐκ γυναικομανίας εἰς εἰδωλομανίαν ἐκπεπτωκότος; Πῦ δὲ καὶ ἡ Γιεζῆ σπουδαστροφὴ πρὸς τὸν Ἐλισαῖον φιλοχρηματίας χάριν, λέπραν ἑαυτῷ ὑποσαμένυ; Τί δὲ καὶ τὸν Γεδδαὶ ὤνησεν ἡ τοσαύτη τῦ Χριστῦ πρὸς αὐτὸν διδασκαλία, καὶ θαυματουργία, ὕστερον δὶ ἀγχόνης τὸν βίον καταστρέψαντος; Οὕτω οὐχ ὁ καλῶς ἀρχόμενος, καὶ καλῶς μεταχόμενος, ἔτος τέλειος, ἀλλ' ὁ καλῶς ἀποτιθέμενος, ἔτος δίκαιος παρὰ τῷ Θεῷ.

Βασ. δ'. 5. Πράξ. 1.

ΕΡΩΤΗΣΙΣ, Δ'.

Ε'αν τις παύσηται τῆς ἁμαρτίας, ἀρκεῖ τῦτο πρὸς μετάνοιαν, ἢ ὄχι;

ΑΠΟΚΡΙΣΙΣ.

Ψαλμ. 36. Πρὸς Ρωμ. 6. Πρὸς Ρωμ. 12. Λευϊτ. 3.

Τῆς Θείας Γραφῆς λεγούσης· Ἔκκλινον ἀπὸ κακῦ, καὶ ποίησον ἀγαθόν, εὔδηλον, ὅτι χρὴ μὴ τὸ παύσασθαι τῆς ἁμαρτίας, καὶ τὰς καρπὰς τῆς μετανοίας ἀξίως ἐπιδείξασθαι. φησὶ γὰρ ὁ Ἀπόστολος· Ὥσπερ παρεστήσατε τὰ μέλη ὑμῶν δῦλα τῇ ἀκαθαρσίᾳ, καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δῦλα τῇ δικαιοσύνῃ, εἰς ἁγιασμόν. καὶ πάλιν· Ἀποσυγκύντες τὸ πονηρὸν, κολλώμενοι τῷ ἀγαθῷ. εἶπε καὶ τὰς καρπὰς τῆς μετανοίας ὑποδεικνύων ἐπάγει. Τῇ φιλαδελφίᾳ εἰς ἀλλήλυς φιλόστοργοι, τῇ τιμῇ ἀλλήλυς προηγούμενοι· τῇ σπουδῇ μὴ ὀκνηροί· τῷ πνεύματι ζέοντες· τῷ Κυρίῳ δουλεύοντες· τῇ ἐλπίδι χαίροντες· τῇ θλίψει ὑπομένοντες· τῇ προσευχῇ προσκαρτερῦντες· ταῖς χρείαις τῶν Ἁγίων κοινωνῦντες· τὴν φιλοξενίαν διώκοντες.

Τῦ Ἁγίυ Βασιλείυ ἐκ τῦ εἰς τὸ, Πρόσεχε σεαυτῷ.

Πρόσεχε σεαυτῷ, ἵνα καὶ ἀναλογίαν τῦ πλημμελήματος, καὶ τὴν ἐκ τῆς θεραπείας βοήθειαν καταδέχῃ. Μέγα καὶ χαλεπὸν τὸ ἁμάρτημα; πολλὴ σοι χρεία τῆς ἐξομολογήσεως, δακρύων πικρῶν, στυγνὸς ἀχρυπνίας, ἀδιαλείπτυ νηστείας. Κῦφον καὶ φορητὸν τὸ ἁμάρτημα; ἐξισαζέσθω καὶ ἡ μετάνοια. μόνον πρόσεχε σεαυτῷ, ἵνα γνωρίσῃς ψυχῆς ἀῤῥωστίαν, καὶ νόσον. Πολλοὶ γὰρ ἐκ τῆς ἄγαν ἀπροσεξίας μεγάλα καὶ αἰσχρὰ νοσῦντες, οὐδὲ αὐτὸ τῦτο ἴσασιν, ὅτι νοσῦσι.

Τῦ Χρυσοστόμυ ἐκ τῦ κδ' Ματθαίυ.

Ποιήσατε φησὶ καρπὰς ἀξίυς τῆς μετανοίας. τουτέστιν, ἥρπασας τὰ ἀλλότρια; δὸς λοιπὸν καὶ τὰ σά. ἐπόρνευσας; ἁγνείαν ἄσκει καὶ ἐγκράτειαν. ὕβρισας, καὶ ἔτυψας; ἀλόγει λοιπὸν τὰς ὑβρίζοντας, καὶ φιλοφρόνει τὰς τύπτοντας. ἐτρύφησας, καὶ ἐμέθυσας; νήστευε καὶ ὑδροπότει. εἶδες ἀκολάστοις ὀφθαλμοῖς κάλλος ἀλλότριον; ὑπόστρεψον τὰς ὀφθαλμάς συ τῦ μὴ ἰδεῖν ματαιότητα, ἵνα μὴ πάλιν ἀναβῇ θάνατος διὰ τῶν θυρίδων, ὡς γέγραπται. καὶ γὰρ ἀρκεῖ εἰς ὑγιείαν ἡμῶν τὸ βέλος ἐξελεῖν μόνον, ἀλλὰ καὶ τῷ τραύματι ἐπιθεῖναι φάρμακον. Τῦ Ἁγίυ Γρηγορίυ τῦ Θεολόγυ εἰς Νέαν Κυριακήν.

Ψαλ. 11. Ἱερεμ. 9. Ψαλ. 50.

Ἡ Ὄσφρησις ἐθήλυνέ σε; φεῦγε τὰς ὀδωδίας. τῇ ἀφῇ κατεμαλακίσθης; ὑπόταξον ταῖς λειότησι, καὶ ταῖς ἁπαλότησιν. ἢ ἀκοὴ παρέπεισε; θὲς θύραν τοῖς ἀπατηλοῖς λόγοις καὶ ῥᾳδιέργοις. καὶ μετ' ὀλίγον. Χθὲς ἤθα θεατερικός; σήμερον φαίνθι θεωρητικός. χθὲς λοίδορος, ἰταμός; σήμερον εὔφημος, ἥμερος. χθὲς κωμασής; σήμερον σωφρονιστής. χθὲς οἰνοπότης; σήμερον ὑδροπότης. σήμερον καταπαταλῶν ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ τὰ πρῶτα μῦρα χριόμενος; ἄυπνον χαμεύνης, καὶ ἄγρυπνος. αὐτὶ γελοιασῦ; σιωπηρὸς· αὐτὶ καλλωπισῦ; δυσειμων· αὐτὶ γαύρυ, καὶ ἀλαζόνος; ἀτελὴς τὸ φαινόμενον· αὐτὶ ὑψαυχένος; κάτω νεύων. Μαξίμυ ἐκ τῆς Κεφαλαίων.

Ψαλ. 36. Ἔκκλινον φησὶν ἀπὸ κακῦ, καὶ ποίησον ἀγαθόν. τουτέστι, πολέμησον τὸς ἐχθρὸς, ἵνα μειώσῃς τὰ πάθη, ἔπειτα δὲ νῆφε, ἵνα μὴ αὐξήσωσι πάλιν. πολέμησον, ἵνα κτήσῃ τὰς ἀρετάς. καὶ μετέπειτα νῆφε, ἵνα αὐτὰς φυλάξῃς. καὶ τῦτο αὐ εἴη τὸ ἐργάζεσθαι καὶ φυλάσσειν. Οὐ γὰρ ἡ τῶν πράξεων ἀποχὴ δικαιοῖ, ἀλλ' ἡ τῶν ἐντολῶν τήρησις μετὰ προθυμίας, κατὰ τὸν λέγοντα. Καὶ προθήσω ἐπὶ πᾶσιν τοῦτο ἀνεσίνσε. Οὕτω καὶ Ἱερεμίας φησίν. Ὥσπερ ἐγύτο ἡ σχοίνια ὑμῶν εἰς τὸ πλανᾶσθαι ὑμᾶς ἀπὸ τῦ Θεῦ, δεκαπλασιάσατε, ἐπισραφύτες ζητήσατε αὐτόν. Λέγει δὲ καὶ ὁ Σοφός· Τέκνον ἥμαρτες; μὴ προσθῇς ἔτι, καὶ περὶ τῶν προτέρων σε δεήθητι· ὡς ἀπὸ προσώπυ ὄφεως, φεῦγε ἀπὸ ἁμαρτίας. Τοιῦτον ἐστὶ τὸ, Ὅτι τὴν ἀνομίαν μυ ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μυ. Σπουδάσωμεν τοίνυν εὐαρεστῆσαι τῷ Θεῷ, ὅπως τῆς αὐτῦ Βασιλείας ἀξιωθῶμεν. Ὅτι αὐτῷ πρέπει δόξα, νῦν, καὶ ἀεὶ, καὶ εἰς τὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἔκκλ. 21.

ΕΡΩΤΗΣΙΣ, Ε'.

Ε'αν τις ἐστὶ γέρων, ἢ ἀδυνατος, ἢ ὀλιγόψυχος, καὶ ἐ δυνατὸν μονάσαι, ἢ τὰ τῦ Μοναχῦ ποιῆσαι, πῶς ἔτος δικαιῶσεται μετανοῆσαι, καὶ σωθῆναι;

ΑΠΟΚΡΙΣΙΣ.

Ματθ. 11. Ὡσηὲ 14.

Τοῦ Κυρίυ λέγοντος, ὅτι ὁ ζυγός μυ χρηστὸς, καὶ τὸ φορτίον μυ ἐλαφρόν ἐστιν, εὔδηλον ὅτι καὶ ὁ γέρων, καὶ ὁ ἀδυνατος φυλάξαι δυνατὸν τὸν νόμον αὐτῦ. Γέγραπται γὰρ, Ὅτι εὐθεῖαι αἱ ὁδοὶ Κυρίυ· καὶ δίκαιοι πορεύσονται ἐν αὐταῖς. καὶ, Παὶπε ἐνώπια τοῖς σωτῆσι, καὶ ὀρθὰ τοῖς εὐθύσι

Ψαλμ. 32. κυσι γνῶσιν· καὶ, Ὅτι δίθυς ὁ λόγος τοῦ Κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει. Οὔτε γὰρ ἀγαμίαν ἡμῖν ὥρισεν, ἵνα πάντων τῶν ἐν τῷ Κόσμῳ ἀναχώρησιν, ἀλλὰ ἀγαπᾶν τὸν Θεὸν, καὶ τὸν πλησίον, ταπεινοφροσύνῃ κατέχεσθαι, συμπαθεῖν, προσδέχεσθαι, ὑπομένειν τὰς θλίψεις, φρόνιμον εἶναι, εἰρηνικὸν, μὴ μνησικακεῖν, μὴ καταφρονεῖν, μὴ καταπείνειν, μὴ ψεύδεσθαι.

Πρὸς Ἐφεσ. 4. φησὶ γὰρ ὁ Ἀπόστολος. Ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ· ὅτι ἐσμὲν ἀλλήλων μέλη. Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. Ὁ Ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, μηδὲ δίδοτε τόπον τῷ διαβόλῳ. Ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος τὸ ἀγαθὸν ταῖς ἰδίαις χερσὶν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω. ἀλλ' εἴτις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας, ἵνα δῷ χάριν τοῖς ἀκούσι. Καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. Πᾶσα πικρία, καὶ θυμὸς, καὶ ὀργὴ, καὶ κραυγὴ, καὶ βλασφημία, ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ. Γίνεσθε εἰς ἀλλήλους χρηστοὶ, εὔσπλαγχνοι, χαριζόμενοι

Πρὸς Ἐφεσ. 5. ἑαυτοῖς, καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν. Γίνεσθε οὖν μιμηταὶ τοῦ Χριστοῦ ὡς τέκνα ἀγαπητὰ, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας. Πορνεία δὲ πᾶσα, καὶ πᾶσα ἀκαθαρσία, ἢ πλεονεξία, μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις, καὶ αἰσχρότης, καὶ μωρολογία, καὶ εὐτραπελία, τὰ οὐκ ἀνήκοντα, ἀλλὰ μᾶλλον εὐχαριστία.

Πρὸς Ῥωμ. 12. καὶ πάλιν. Μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες, προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων· εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες. Ὁρᾷς ὡς ἁδρὸν φορτικὸν, ἢ ἀδύνατον ἡμῖν νενομοθέτηται; εἰκότως ἂν ἔλεγε ὁ Κύριος. Ὁ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρὸν ἐστί.

Ζαχαρίου. Κεφ. 7.

Τάδε λέγει Κύριος Παντοκράτωρ. κρῖμα δίκαιον κρίνατε, καὶ ἔλεον καὶ οἰκτιρμὸν ποιήσατε ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· καὶ χήραν, καὶ ὀρφανὸν, καὶ προσήλυτον μὴ καταδυναστεύσητε· καὶ κακίαν ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ μὴ μνησικακεῖτε ἐν ταῖς καρδίαις ὑμῶν. καὶ θαρσεῖτε. ἔτοι οἱ λόγοι οὓς

Κεφ. 8. ποιήσετε. λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ κρῖμα εἰρηνικὸν κρίνατε· καὶ ἕκαστος τὴν κακίαν τῷ πλησίον αὐτοῦ μὴ λογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν· καὶ ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε. διότι ταῦτα πάντα ἐμίσησα, λέγει Κύριος.

Μιχαίου. Κεφ. 6.

Εἰ ἀνήγγελκοι ἄνθρωπε, τί καλόν; ἢ τί Κύριος ὁ Θεὸς ζητεῖ παρὰ σοῦ; ἀλλ' ἢ τὸ ποιεῖν κρῖμα καὶ δικαιοσύνην, καὶ ἀγαπᾶν ἔλεος, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ Κυρίου τοῦ Θεοῦ σου;

Ἡσαΐου. Κεφ. 55.

Ζητήσατε τὸν Θεὸν, καὶ ἐν τῇ ἐγγίσαι αὐτὸν ἐπικαλέσασθε. ἕως ἂν ἐγγίζῃ ὑμῖν, ἐγκαταλειπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ, καὶ ἀνὴρ ἄδικος τὰς βουλὰς αὐτοῦ, καὶ ἐπιστράφητε πρὸς Κύριον, καὶ ἐλεηθήσεσθε.

Τοῦ Σειράχ. Κεφ. 2.

Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς, καὶ ἴδετε, τίς ἐπῄσχυνε τὸν Κύριον, καὶ κατῃσχύνθη; ἢ τίς ποτε ἐνέμεινε τῷ φόβῳ αὐτοῦ, καὶ ἐγκατελείφθη; ἢ τίς ἐπεκαλέσατο αὐτὸν, καὶ ὑπερεῖδεν αὐτόν; διότι οἰκτίρμων, καὶ ἐλεήμων ἐστί.

Τοῦ Ἱερὸν Εὐαγγελίου. Λουκᾶ. Κεφ. 11.

Εἶπεν ὁ Κύριος. Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. Μαξίμου ἐκ τῶν Κεφαλαίων.

Τῶν ὑφ' ἡμῶν πραττομένων καὶ Θεὸν, τὰ μὲν κατ' ἐντολὴν πράττεται· τὰ δὲ οὐ κατ' ἐντολήν· ἀλλ' ὡς αὐτίς εἴποι καθ' ἑκάστου προσφοράν. Οἷον. Κατ' ἐντολὴν μὲν, τὸ ἀγαπᾶν τὸν Θεὸν, καὶ τὸν πλησίον, τὸ ἀγαπᾶν τοὺς ἐχθροὺς, τὸ μὴ μοιχεύειν, καὶ τὰ λοιπὰ, ἅτινα καὶ φυλαττόντες νενικήμεθα. Οὐ κατ' ἐντολὴν δὲ, τὸ παρθενεύειν, ἢ ἀγαμία, ἢ ἀκτημοσύνη, ἢ ἀναχώρησις, καὶ τὰ ὅμοια. Ταῦτα γὰρ δώρων λόγον ἐπέχουσιν, ἵνα ἐκ τινὰς τῶν ἐντολῶν καπρωθῶσαι ἐξ ἀθυμείας μὴ διαπεσῶμεν, ἀλλὰ τῶν δώρων τῶν ἀγαθῶν ἡμῶν ἐξιλεωσώμεθα τὸν Δεσπότην. Καὶ γὰρ τὰ τῶν Κοσμικῶν καπρώματα, πτώματα εἰσὶ τῶν Μοναχῶν· καὶ τὰ τῶν Μοναχῶν καπρώματα, πτώματα εἰσὶ τῶν Κοσμικῶν. Οἷον, τὰ τῶν Κοσμικῶν καπρώματα, πλοῦτος ἐστὶ, καὶ δόξα, καὶ δυναστεία, καὶ ὕφη, καὶ διάπαρκία, καὶ διπενία, καὶ τὰ ὅμοια, εἰς ἅπερ ἐλθὼν ὁ Μοναχὸς ἀπώλετο. τὰ δὲ τῶ Μοναχῶ καπρώματα, ἀκτημοσύνη, ἀδοξία, ἀδυναμία, ἐγκράτεια, κακοπάθεια, καὶ τὰ ὅμοια, εἰς ἅπερ ἐλθὼν ὁ φιλόκοσμος σῴζει πρόθεσιν, πτῶμα γίνεται μέγα, καὶ κινδυνεύει πολλάκις καὶ ἀγχόνῃ χρήσασθαι. τινὲς δὲ καὶ ἐχρήσαντο. Καὶ πάντες οἱ λόγοι τοῦ Κυρίου τὰ τέσσαρα ταῦτα σῴζουσι, τὰς ἐντολὰς, τὰ δόγματα, τὰς ἀπειλὰς, τὰς ἀγγελίας, καὶ πᾶσαν συλλαγωγίαν. σῴζει ταῦτα ὑπομένοντα, οἷον, νηστείας, ἀγρυπνίας, χαμευνίας, κόπους, καὶ μόχθους ἐν διακονίαις, προσευχὰς, ὕβρεις, ἀτιμίας, στρεβλώσεις, θανάτους, καὶ τὰ ὅμοια. Διὰ γὰρ τοὺς λόγους τοῦ χειλέους σου, φησὶν, ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.

Ψαλμ. 16.

Γισιδώρου.

Εἰ γὰρ καὶ μὴ ἀκτημοσύνην, καὶ παρθενίαν ἡμῖν ὥρισεν ὁ Χριστὸς, ἀλλ' ἐν τῇ ἐξουσίᾳ ἡμῶν τέθεικε πάντα. λέγει γάρ. Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς. καὶ, ὁ χωρῶν χωρείτω. Πάντα δὲν αὐτεθαι ταῦτα βούλεται παρ' ἡμῶν. ὅθεν φησί. Σπουδάσατε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης. Καὶ ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν

Ματθ. 19.

Ματθ. 5.

Γραμματέων, καὶ Φαρισαίων, ὃ μὴ εἰσέλθητε εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν.

Τῆ Χρυσοστόμε ἐκ τῆ εἰς τὴν Παραβολὴν τῆς Συκῆς.

Λουκ. 13. Συκῆν εἶχε τὶς ἐν τῷ ἀμπελῶνι αὐτῆ φησὶ, καὶ ἦλθε ζητῶν ἐν αὐτῇ καρπὸν, καὶ οὐχ εὗρε. Συκῆν δὲ ἔθος τῇ Γραφῇ καλεῖν τὴν ἐν ἁμαρτίαις ψυχήν· Ἀμπελῶνα, τὴν τῶν πιστῶν Ἐκκλησίαν· Ἀμπελουργὸς, τὸν Ἄγγελον. Ἐπεὶ ἦν ἐν τῇ Ἐκκλησίᾳ πολλοὶ ἀναξίως τῆς Πίστεως βιῶντες, καὶ ἄμπελος, ἀλλὰ συκῆ προσαγορεύονται, ἐκ νέας μὲν ἡλικίας ὡς εἰκὸς φυτευθέντες ἐν αὐτῇ, τῇ δὲ τῆ Βαπτίσματος ἀναγεννήσει, μέχρι δὲ γήρως τὸν ζόφον μὴ μεταβαλόμενοι, εἰκότως ἦν ὁ μακρόθυμος Θεὸς λέγει τῷ ἀμπελουργῷ, ἤτοι τῷ Ἀγγέλῳ τῆς Ἐκκλησίας· Ἰδὲ ξία ἔτη ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ εὑρίσκω, ἔκκοψον αὐτὴν, ἵνα τί καὶ τὴν γῆν καταργῇ; ὁ δὲ φησί· Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως σκάψω περὶ αὐτὴν, καὶ βάλλω κοπρίαν, καὶ τὰ ἑξῆς. Τεία μὲν ἦν ἔτη, ἐν οἷς ἔρχεται ζητῶν καρπὸν ὁ Θεὸς, αἱ τρεῖς μεθηλικιώσεις τῶν ἀνθρώπων εἰσὶ, παιδὸς, νεωτέρου, καὶ πρεσβυτέρου, ὡς καὶ ἑτέρωθι φησίν. Ἐὰν ἔλθῃ ὁ Κύριος ἐν τῇ πρώτῃ φυλακῇ, καὶ δευτέρᾳ, καὶ τρίτῃ, καὶ εὕρῃ οὕτως ποιοῦντα, μακάριος ὁ δοῦλος ἐκεῖνος. Ἄφες αὐτὴν Κύριε καὶ τοῦτο τὸ ἔτος, τὴν ὅτι πολὺ τῶν Θεῶν μακροθυμίαν παρατεινομένην μέχρις ἐσχάτου γήρως σημαίνει τῶν ἁμαρτάνοντος. Πολλοὶ γὰρ ἐν αὐτῷ τῷ γήρει κατανυγέντες, καὶ θλίψεών τε σκαφέντες καὶ διὰ πειρασμῶν, δεξάμενοι κοπρίαν ὀνειδισμῶν τε καὶ ὕβρεων, (ταῦτα δὲ νοητέον τὰ κόπρια,) τὸν ἀρετὸν ἐκαρποφόρησαν.

Τῆ αὐτῆ ἐκ τῆ εἰς τὸν Ἐξάψαλμον.

Ὦ Θεοφιλέστατε ἄνθρωπε, σκηνοπηγίασοι ἔσω ἡ φανομένη τῶν Κόσμου σκηνὴ, ἡ παντὸς ἁπλώματος, καὶ σινδόνος, καὶ καταπετάσματος συσελλομένη ταχύτερον. Ἐπεὶ ἦν σκηνοπηγία ὁ Κόσμος, ἑπτὰ ἡμέρας ἑόρταζε ἐν τῇ σκηνοπηγίᾳ. Ποίας ἑπτὰ ἡμέρας; τὰς ἑπτά σου ἡλικίας, δι' ὧν ὁδεύεις εἰς τὸν ζωὸν, ἵνα τὸν ὀγδοον ἡμέραν τὸν ἀλάτρευτον φθάσῃς τὸν μέλλουσαν, ὅτε οὐκ ἔτι θυσία, ὅτε λατρεία, ὑπὲρ ἁμαρτιῶν προσφέρεται τῷ Θεῷ. Ἀλλὰ λέγεις. Τί οὖν, ἐὰν μὴ φθάσω εἰς τὸν ἑβδόμου τῶν γήρως; Ἀλλὰ κτῆσαι τὸ μαθεῖν, καὶ ποιεῖν, καὶ τῆς προθέσεως λαμβάνεις τὸν μισθὸν τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν, ὡς φησὶν ὁ Ἀπόστολος. Πρὸς Ρωμ. 8.

Αἱ ἑπτὰ ἡλικίαι τῶν αὐτῶν.

Α'. Τὴν πρώτου ἡμέραν τοῦ τῶν βρέφος, ἵνα δι' ὕδως φωτισθῇς τῷ Βαπτίσματι. καὶ γὰρ τὸ φῶς τῇ πρώτῃ ἡμέρᾳ ἐγένετο. Β'. Τὸν δευτέραν ἡμέραν, τὸν τῶν παιδίου ἡλικίαν, ἵνα σεμνωθῇς τοῖς οὐρανίοις λόγοις. καὶ γὰρ τὸ στερέωμα τῇ δευτέρᾳ ἐγένετο. Γ'. Τὸν τρίτον τῶν μείραπος, ἵνα τῇ ἀγνείᾳ ξηραίνῃς τὴν ὑγρότητα τῶν παθῶν. καὶ γὰρ τῇ τρίτῃ ὁ Θεὸς τὴν ξηρὰν ἀπὸ τῆς ὑγρᾶς διέκρινε. Δ'. Τὸν δὲ τετάρτου τῶν νεανίσκου, τὰς τέσσαρας ἀρετὰς ἀστροφορῶν, καὶ ὡς φωστὴρ ἐν Κόσμῳ φαινόμενος. καὶ γὰρ οἱ φωστῆρες τῇ τετάρτῃ ἐγένοντο. Ε'. Τὴν

πέμ-

πέμπτου ἡλικίαν τοῦ τῶν μεσήλικος, τὰ πέντε σου ζῶα τῆς αἰσθήσεων χαλιναγωγῶν, ἵνα μὴ εἰς ἁμαρτίαν σκιρτήσωσι. καὶ γὰρ τὰ ζῶα τῇ πέμπτῃ ἐγένετο. Ϛ'. Τὸν ἕκτου τοῦ τῶν γήρους, τὸν ἐξ ἀρχῆς σου κίνησιν λόγῳ ὡς ἄνθρωπος ἀσφαλιζόμενος, καὶ τὸν πυλῶνα τῶν σώματος πλάττων, καὶ ῥυθμίζων τοῖς ἀρεταῖς. καὶ γὰρ τῇ ἕκτῃ ὁ ἄνθρωπος γέγονε. Ζ'. Τὸν ἑβδόμου, τὸν τῶν γήρους τοῦ παλαιωμένου πολιτείαν, διὰ σεβείᾳ ἀναπαύων ἐν τῇ γῇ· ὅτε ὡς λιποφόρος ἄσαχος, καὶ ὡς σῖτος ὥριμος ἀπελθόσῃ ἐν τῷ πάχῳ καὶ καιρὸν συγκομιζόμενος, καὶ ὡς ἐν ἑβδόμῃ ἀναπαυόμενος. καὶ γὰρ τῇ ἑβδόμῃ ὁ Κύριος ἀπὸ τῶν ἔργων αὐτοῦ τῶν Εὐαγγελικῶν κατέπαυσεν ἐν τῷ τάφῳ. Η'. Κατὰ τὸν ὀγδοον λοιπὸν ἀνέτειλε τὸν ἀπὸ τῆς συκῆς ἔξοδον, καὶ τὸν ἀπὸ τοῦ τάφου ἀναχώρησιν, τὸν ἐκ νεκρῶν ἔγερσιν. καὶ γὰρ τῇ ὀγδόῃ ἐκ νεκρῶν ἀνέστη ὁ Κύριος. Τῇ ὀγδόῃ φησὶν, ἡμέρᾳ ἐξόδιος, παῦ ἔργον λαξευτὸν ὑ ποιήσετε ἐν αὐτῇ. καὶ ἵστατι ἐν τῇ ὀγδόῃ λαξείας, καὶ θυσίας προσφέρειν ἐκώλυσεν; ἐπειδὴ ἡ ὀγδόη τὴν ἀνάστασιν τῶν νεκρῶν ἐσάλπιζεν. Ἐν δὲ τῇ ἀναστάσει τῶν νεκρῶν οὐκ ἔτι λοιπὸν θυσίαι, ἢ λαξείαι, ἢ προσφοραὶ ὑπὲρ ἁμαρτιῶν ἀφέσεως. Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; Διὰ τοῦτο τὰς ἑπτὰ ἡμέρας τῆς σκηνοπηγίας θυσίας προσφέρειν ἐκέλευσεν, ἵνα ἐν ᾧ ζῇς καὶ ἄγεις, ὡς ἐν σκηνῇ τῇ σαρκὶ, θυσίας προσφέρῃς καὶ τὸ γεγραμμένον. Τέκνον ἕως ζῇς, ἀξίως πρόσφερε προσφορὰς Κυρίῳ τῷ Θεῷ σου. Μνήσθητι ὅτι ὁ θανάτος οὐ χρονίει, καὶ ἅδην Ἅιδου οὐχ ὑπεδείχθησοι. Ἐν γὰρ τῇ ὀγδόῃ λοιπὸν, ἐν τῇ ἀναστάσει τῶν νεκρῶν, ὅτε ἡ ἔξοδος τῆς σκηνῆς, ὅτε ὡς ἀπὸ καλύβης καὶ σκηνῆς, τῆς σορὸς καὶ τοῦ τάφου ἐξερχόμεθα, οὐκ ἔτι λοιπὸν περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία, ὡς φησὶν ὁ Ἀπόστολος· φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς Γεέννης κατεσθίειν μέλλοντος τοὺς ἁμαρτήσαντας. ὅτε ἐξελεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. Δοξάσωμεν οὖν τὸ Πανάγιον Ὄνομα τοῦ φιλανθρώπου καὶ Σωτῆρος Θεοῦ ἡμῶν, καὶ ἀξιώμεθα τυχεῖν τῆς αἰωνίων ἀγαθῶν. Ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λουκ. 23.

Ψαλ. 6.

Ἐκκλ. 14.

Πρὸς Ἑβρ. ά. 10. Ἰωαν. ϛ.

ΕΡΩΤΗΣΙΣ, ϛ'.

Καλὸν ἐστὶν ἄρα τὸ ἐξομολογεῖσθαι τὰ ἁμαρτήματα ἡμῶν πνευματικοῖς ἀνδράσι;

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦτο καλὸν ἐστὶ λίαν, καὶ πάνυ ὠφέλιμον. ἀλλὰ μὴ τοῖς ἀπείρως καὶ ἰδιωτικῶς περὶ τὰ τοιαῦτα διακειμένοις. ἵνα μὴ διὰ τῆς ἀλόγου συμπαθείας, καὶ οἰκονομίας, ἢ διὰ τῆς ἀκαίρου καὶ ἀνεπισήμονος ἀδιακρισίας τῶν ἀποτιμιῶν, καταφρονητὴν κοινωνίας ἀνάλγητον, ἢ ῥάθυμον καὶ παρειμένον

μῶνσε ἀπεργάσηται. Ε᾽ὰν ἓν εὕρῃς ἄνδρα πνευματικὸν ἔμπειρον, δυνάμενόν σε ἰαθεῦσαι, ἀνεπαισχύντως, καὶ μὴ πίσεως ἐξομολόγησαι αὐτῷ, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώπῳ. φησὶ γὰρ ὁ Σοφός. Περὶ τῆς ψυχῆς σε μὴ αἰσχυνθῇς. ἐστὶ γὰρ αἰσχύνη ἐπάγουσα ἁμαρτίαν· καὶ ἐστὶν αἰσχύνη δόξα, καὶ χάρις. καὶ μὴ λάβῃς πρόσωπον κατὰ τῆς ψυχῆς σε, καὶ μὴ ἐκβαπῇς εἰς πτῶσίν σε, καὶ μὴ αἰσχυνθῇς ὁμολογῆσαι ἐφ᾽ ἁμαρτίας σε. Καὶ Γεννάδιος ὁ Θεολόγος. Ε᾽ὰν γὰρ φησὶν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος ὁ Θεός, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. Ἀλλὰ πολλοὶ τῆς ἀφελεστέρων ἀνθρώπων τὰ τῆς αἰσχύνης καὶ τὰ σκότος ἔργα διαφραττόμενοι, ἃ μόνον αὐτὰ ποιοῦσι, καὶ ἐν σκότει διαπορεύονται, ἀλλὰ συνωδοκοῦσι τοῖς πράττουσι, καὶ πονηρᾶς ὑποθέσεως διδάσκαλοι γίνονται. καὶ ὅτε αὐτοὶ ἔρχονται πρὸς τὸ φῶς, ὅτε ἐκείνοις εἰσέρχεσθαι διδάχωρῶσιν. Εἰκότως ἂν ἔλεγεν ὁ Κύριος περὶ τῶν τοιούτων. Οὐαὶ ὑμῖν γραμματεῖς, καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι κλείετε τὴν Βασιλείαν τῶν Οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων. ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν. Οὐαὶ ὑμῖν Γραμματεῖς, καὶ Φαρισαῖοι ὑποκριταί. ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν ποιῆσαι ἕνα προσήλυτον· καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν Γεέννης, διπλότερον ὑμῶν. Οὐαὶ ὑμῖν ὁδηγοὶ τυφλοί. Οὐδὲν ὃ ἔστως εἰς κόλασιν ἀπαραίτητον ἄγει, ὡς τὸ κωλύειν καὶ ἐμποδίζειν τὴν τῶν σῴζεσθαι βουλομένων σωτηρίαν, καὶ πολλοὺς ζηλωτὰς ποιεῖσθαι τῶν ἰδίων κακῶν. Γίνεται γὰρ ἡ τῶν ὑπακουσάντων καὶ μιμησαμένων ἀπώλεια, προσθήκη τιμωρίας τῷ διδάξαντι. Ὅτι δὲ μετὰ τῶν οἰκείων ἁμαρτημάτων ἐπακολουθοῦσαν ἔχουσι μετὰ θάνατον καὶ τὴν ἁμαρτίαν αὐτῶν τῶν βλαπτομένων, καὶ ἀπολλυμένων ψυχῶν ἐκ τῆς πονηρᾶς αὐτῶν διδασκαλίας οἱ τοιοῦτοι, ἄκουσον τί φησὶν ὁ Ἀπόστολος. Εἰσίτινων ἀνθρώπων ἁμαρτίαι πρόδηλοι, προάγουσαι εἰς κρίσιν, τισὶ δὲ καὶ ἐπακολουθοῦσι. Τοιγαροῦν ἀνεξαγόρευτα, καὶ αὐίατα ἐξ οἰκείας ῥαθυμίας, καὶ ἀναλγησίας, καὶ ἀφοβίας Θεοῦ νοσοῦσι, καὶ διὰ τοῦτο οὐκ ἔρχονται πρὸς τὸ φῶς τῆς ἐξαγορεύσεως, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτῶν. ὡς φησὶ πάλιν ὁ Κύριος. Πᾶς ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ, ὅτι πονηρά ἐστιν. Ὁ δὲ ποιῶν τὴν ἀλήθειαν ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν τῷ Θεῷ ἐστὶν εἰργασμένα. Ὡσαύτως καὶ ὁ θεῖος Ἀπόστολος, Μὴ συγκοινωνεῖτε φησὶ τοῖς ἀκάρποις ἔργοις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε. τὰ γὰρ κρυφῇ γινόμενα ὑπ᾽ αὐτῶν, αἰσχρὸν ἐστὶ καὶ λέγειν, τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται· πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστί. διὸ λέγει. ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Οἱ δὲ ἀκόπτως, μᾶλλον δὲ ἀσεβῶς λέγοντες, μηδὲν ὠφελεῖσθαι ἀπὸ τῆς πρὸς ἀνθρώπους ἐξομολογήσεως διὰ τὸ ὁμοιοπαθὲς, (μόνος γὰρ, φησὶν, ὁ Θεὸς δύ-

Ἐκκ. 4.

Κεφ. 1.

Ματθ. 23.

Πρὸς Τιμ. ά. 5.

Ἰωαν. 3.

Πρὸς Ἐφ. 5.

ναται ἁμαρτίας,) ἴδωσαν, ὅτι ταῦτα φάσκοντες, πρῶτον μὲν ὡς προκάλυμμα τῆς ἑαυτῶν βδελυρίας καὶ ἀλογίας προΐσχονται. ἐπειδὴ διαφέρονται αὐτῷ τῷ Κυρίῳ, λέγοντος πρὸς τοὺς ἑαυτοῦ Θεραπόντας. Ὅσα ἂν δήσητε ἐπὶ τῆς Γῆς, ἔσαι δεδεμένα ἐν τῷ Οὐρανῷ, καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς Γῆς, ἔσαι λελυμένα ἐν τῷ Οὐρανῷ. καὶ πάλιν. Ἄντινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίονται αὐτοῖς, ἄντινων κρατῆτε, κεκράτηνται. καὶ ὅτι, Ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ Κόσμου, καὶ τὸ ἅλας τῆς Γῆς. Ἔτι μὴν καὶ τὸ κατὰ σάρκα Ἀδελφὸν αὐτοῦ φάσκοντος· Ἐξομολογεῖσθε ἀλλήλοις τὰ παραπτώματα, καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων ὅπως ἰαθῆτε· πολὺ γὰρ ἰσχύει δέησις δικαίου ἐνεργουμένη. καὶ τὸ Ἀποστόλου λέγοντος· Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ. καὶ πρὸς τούτοις ἀθετοῦσι πάντως καὶ τὸ Βάπτισμα, καὶ πᾶσαν Θείαν Ἱερουργίαν, διὰ τὸ ὑπὸ ἀνθρώπων μὴ Ἱερουργεῖσθαι, ὑπὸ Θεοῦ δὲ ἁγιάζεσθαι. Εἴωθε γὰρ ὁ Θεὸς τὴν σωτηρίαν τῶν ἀνθρώπων, οὐ μόνον διὰ Ἀγγέλων ἐνεργεῖν, ἀλλὰ καὶ διὰ ἀνθρώπων ἁγίων. καὶ πάλαι μὲν διὰ Προφητῶν, ἐπ᾽ ἐσχάτων δὲ δι᾽ ἑαυτοῦ καὶ τῶν Θείων Ἀποστόλων, καὶ καθ᾽ ἑξῆς μέχρι τῆς συντελείας πρὸς τοὺς ἑαυτοῦ κτίσματα καὶ γνησίους θεράποντας φάσκει. Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται, καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ, καὶ, ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. Οὐκοῦν, εἴ τις ἄνθρωπος ἔστιν ὁ τοῦ ὁμολογήσιν ἀκούων, ἀλλ᾽ ὁ Θεὸς δι᾽ αὐτοῦ ἐπιτρέφει, καὶ ἐκπαιδεύει, καὶ συγχωρεῖ, καθάπερ καὶ τὸν Δαβὶδ διὰ τοῦ Νάθαν. διὸ καὶ ἔλεγεν. Εἶπα ἐξαγορεύσω κατ᾽ ἐμοῦ τοῦ ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. Κυρίῳ γὰρ οἷον ἡ ἐξαγόρευσις αὐτοῦ, εἰ καὶ διὰ τοῦ Νάθαν ἡ ἐπιτροφή. ὅθεν πάλιν φησίν. Ἐπιστρέψατέ μοι οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου, καὶ παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με. Οἱ γὰρ Ἅγιοι, ὑπηρέται εἰσὶ τοῦ Θεοῦ καὶ συνεργοὶ, καὶ οἰκονόμοι εἰς τὴν τῶν σωζεσθαι βουλομένων σωτηρίαν. καὶ τοῦτο δηλῶν ὁ Ἀπόστολος ἔλεγεν. Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους τῶν μυστηρίων Θεοῦ. καὶ πάλιν. Θεοῦ γάρ ἐσμεν συνεργοὶ, Θεοῦ γεώργιον, Θεοῦ ἐστὲ οἰκοδομή. ἄνθρωπος μὲν γὰρ ἀνθρώπῳ συνεργεῖ πρὸς μετάνοιαν, ὡς ἔφην, καὶ ὑπηρετεῖ, καὶ οἰκοδομεῖ, καὶ παιδεύει, καὶ ἐλέγχει τὰ πρὸς σωτηρίαν, κατὰ τὸν Ἀπόστολον καὶ Προφήτων. ὁ δὲ Θεὸς ἐξαλείφει τὰς ἁμαρτίας τῷ ἐξομολογουμένῳ λέγων. Ἐγώ εἰμὶ ὁ ἐξαλείφων τὰς ἀνομίας σου οὕνεκεν ἐμοῦ, καὶ τὰς ἁμαρτίας σου οὐ μὴ μνησθῶ. σὺ δὲ μνήσθητι, καὶ κριθῶμεν ἅμα. λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς.

Ματθ. 18. Ἰω. 20. Ματ. 5. Ἰακ. 5. Πρὸς Γαλ. 6. Λευ. 10.

Ἐκ τῆς Ἀριθμῶν.

Ψαλμ. 31.

ΚΑὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν λέγων. λάλησον τοῖς Υἱοῖς Ἰσραὴλ λέγων. Ἀνὴρ, ἢ γυνὴ, ὅστις ἂν ποιήσῃ ἀπὸ τῶν ἁμαρτιῶν τῶν ἀνθρώπων, καὶ παρίδων παρίδῃ, καὶ πλημμελήσῃ ἡ ψυχὴ ἐκείνη, ἐξαγορεύσει τὴν ἁμαρτίαν ἣν ἐποίησε, καὶ ἀποδώσει τὴν πλημμέλειαν τῷ κεφαλαίῳ.

Ἀριθ. 5.

Τὸ

Τῦ Γὼβ. Κεφ. 33.

Ε'Α'ν νοήσῃ ἄνθρωπος τῇ καρδίᾳ ὑπισχνῶαι πρὸς Κύριον, ἀναγγελῇ δὲ ἀνθρώπῳ τὼ ἑαυτῦ μέμψιν, τὼ δὲ ἀνομίαν αὐτῦ δείξῃ ἐξάμενος πρὸς Κύριον, δεκτὸ αὐτῷ ἔσαι. Εἰσελεύσεται προσώπῳ καθαρῷ σὼ ἐξηγορίᾳ, ἀποδώσει δὲ ἀνθρώποις δικαιοσυνίω. εἶπα τότε ἀπομέμψεται αὐτὸς ἑαυτὸν λέγων. Οἷα συνετέλεν, ϗ ὐκ ἄξια ὁ Θεὸς ἤπασέ με, ὧν ἥμαρτον ἐκοσίως. ϗὶ εἰ ἁμαρτὼν ἐκοσίως ἔκρυφα τὼ ἁμαρτίαν μυ, ὐ γὰρ διεξάπλω πολυοχλίαν πλήθυς τῦ μὴ ἐξαγορεῦσαι ἐνώπιον αὐτῶν.

Τῦ Σολομῶντος.

Παρ. 26. ϗ 28. Ε'Κκαλύπτων τὰς ἑαυτῦ ἁμαρτίας, εὔγνωστος ἐν συνεδρίῳ. ϗ ὁ ἀπακαλύπτων ἀσέβειαν αὐτῦ, ὐκ ἀποδοθήσεται. ὁ δὲ ἐξηγούμενος ϗ ἐλέγχων, ἀγαπηθήσεται. Τῦ Α'γίυ Βασιλείυ ἐκ τῆ Α'σκητικῶν.

Η' Ε'ξαγόρευσις τῆ ἁμαρτημάτων τοιῦτον ἔχει τὸν λόγον, οἷον ἔχει ἡ ἀπόδειξις τῆ σωματικῶν παθῶν. Ω'ς ἂν τὰ πάθη τῦ σώματος ὐ πᾶσιν ἀποκαλύπτωσιν ἀνθρώποις, ὐδὲ τοῖς τυχοῦσιν, ἀλλὰ τοῖς ἐμπείροις τῆς τύπων ἀπιμελείας ϗ θεραπείας, ὕτω ϗ ἡ ἐξαγόρευσις τῆ ἁμαρτημάτων ὀφείλει γίνεθαι ἀπὶ τῆ δυναμένων θεραπεύειν, ϗ τὸ γεγραμμένον. Υ'μεῖς οἱ δυνατοὶ τὰ ἀθενήματα τῆ ἀδυνάτων βαστάζετε, τυτέστιν, αἴρετε ἀφ' ἑαυτῶν τὰς θεραπείας. Α'ναγκαῖον ἂν τοῖς πεπισμένοις τὼ οἰκονομίαν ὁμολογεῖθαι τὰ ἁμαρτήματα. Γέγραπται γὰρ, ἐν μὲν τῷ Εὐαγγελίῳ, ὅτι τῷ βαπτίσματι Γωάννε ἐξωμολογοῦντο τὰς ἁμαρτίας αὐτῶν, ἐν δὲ ταῖς Πράξεσι τῆ Α'ποστόλων, ὑφ' ὧν ϗ ἐβαπτίζοντο ἅπαντες. Μεμνημένοι δὲ τῆς τῦ Θεῦ ἀποφάσεως, ἀφ' ὧν Προφήτε εἰπόντος· Οὐαὶ οἱ συνετοὶ ἑαυτοῖς, ϗ ἐνώπιον αὐτῶν ἐπιτήμονες· ϗ τῦ Α'ποστόλυ λέγοντος· Ε'πιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ ὑμῖν χάρισμα πνευματικὸν, εἰς τὸ στηριχθῆαι ὑμᾶς. τῦτο δέ ἐςι, συμπαρακληθῆαι ἐν ὑμῖν ἀφ' ἑνὸς ἑκάστυ τῆ ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε ϗ ἐμῦ· Λογιζόμεθα ἀναγκαῖον εἶναι ἀνατίθεθαι ἡμᾶς τὰς λογισμὰς ϗ τὰ πάθη ἡμῶν τοῖς ὁμοψύχοις, ϗ ἀπόδειξιν δεδωκόσι πίστεώς τε ϗ συνέσεως, ἵνα ἢ τὸ πεπλανημένον διορθωθῇ, ἢ τὸ ἡκριβωμένον βεβαιωθῇ, ϗ ἡμεῖς φύγωμεν τὸ φρενιτικὸν κεῖμα τῆ ἐπ' τῶ προφητείαν ἐν ἑαυτοῖς σωτηρίων. Οὐκ ἔξεσι τίνων ὐδὲ συμφέρει τινὶ ἑαυτῷ ἀπιτρέπειν, ἢ ποιεῖν, ἢ λέγειν ἃ νομίζει καλά.

Ματ. 3. Μάρ. 1. Πραξ. 19. Ησα. 5. Πρὸς Ρωμ. 1. Ιω. 16. Γωὰν. 5. 10. 12. Πρὸς Κορ. β'. 3.

Τὸ γὰρ Κυρίυ λέγοντος περὶ μὲν τῦ Α'γίυ Πνεύματος· Οὐ γὰρ λαλήσει ἀφ' ἑαυτῦ, ἀλλ' ὅσα ἂν ἀκύσῃ λαλήσει. περὶ δὲ αὐτῦ, ὅτι, Οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτῦ ὐδέν, ϗ, Ο'τι Ε'γὼ ἀπ' ἐμαυτῦ ὐκ ἐλάλησα, ἀλλ' ὁ πέμψας με Πατὴρ, αὐτός μοι ἔδωκεν ἐντολὴν τί εἴπω, ϗ τί λαλήσω. ϗ τῦ Α'ποστόλυ λέγοντος· Οὐχ ὅτι ἀφ' ἑαυτῶν ἱκανοί ἐσμεν λογίσαθαί τι ὡς ἐξ αὐτῶν· τίς ἂν εἰς τοσαύτην μανίαν ἐξέλθοι, ὥσε ἀφ' ἑαυτῦ τολμῆσαι τί ποιεῖν; Ο' δὲ κατ' ἰδίαν ἀρέσκειαν τὶ ποιῶν, τῆς Θεοσεβείας ἐκ

πε-

πίπτει, μὴ τῆς λεγούσης ἀποφάσεως· Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, ϗ ἐνώπιον αὐτῶν ἐπιτήμονες. Ησαΐας 5.

Γ'σιδώρε.

Τίνος εἵνεκεν ὁ Καΐν, ϗ ὁ Λάμεχ φόνυς δράσαντες, ὐχ ὁμοίως ἐκολάσθησαν; ὁ μὲν γὰρ δίκας ἔδωκεν, ὁ δὲ συγγνώμης ἔτυχεν. ἐπειδὴ ὁ μὲν ϗ ἐλεγχόμενος, ἠρνήσατο, ὁ δὲ ϗ μὴ ἐλεγχόμενος, ἐξωμολογήσατο. εἰ δὲ ϗ τὰ τῆς ἁμαρτίας ἴσα, ἀλλὰ τὰ μὴ τῶ ἁμαρτίαν ὐκ ἴσα. Ο'θεν φησί· Λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σε, ἵνα δικαιωθῇς. Οὐκοῦν μάλισα μὲν ἀποδάσωμεν μὴ πλημμελεῖν. εἰδὲ ϗ πλημμελήσωμεν, μὴ ϗ δι' ἀρνήσεως, ϗ τῆς ἀπικρύψεως τὸ πάθος ἀργαλεωτέραν ἑαυτοῖς τὼ δίκῶ ἀποδασόμεθα. Ησαΐας 43.

Διονυσίυ τῦ Α'ρεοπαγίτυ ἐκ τῦ περὶ ὁσίως νεκοιμημένων.

Φημὶ δὲ τοῖς λογίοις τοῖς ἱεροῖς ἑπόμενος, ὡς ὠφέλιμοί εἰσι πάμπαν ἐν τῷδε τῷ βίῳ τῆ ἁγίων αἱ προσδυχαὶ ϗ τόνδε τὸν ζόπον. Εἴτις τῆ ἱερῶν ἐφιέμενος δώρων, ϗ πρὸς μετοχλὼ αὐτῶν ἔξιν ἱερὼ αὐτὸν φθάσαι θέλων, ὡς τῆς οἰκείας ἀπιγνώμων βραχύτητος, ἐλθὼν δὲ ϗ ἀπί τινα τῆ ὁσίων ἀνδρῶν, ἀξιώσειν αὐτὸν γενέθαι συλλήπτορα, ϗ συνιπέτλω, ὠφεληθήσεται πάντως ἐκ τύτυ τὼ πᾶσαν ἀφκειμένην ὠφέλειαν. ἀπιτυγχάνει γὰρ ὧν αἰτεῖ θειοτάτων δώρων, ἀποδεχομένης αὐτὸν τῆς θεαρχικῆς ἀγαθότητος, τῆς τε οἰκείας ὑλαβῦς ἀπιγνωμοσυνίης, ϗ τῆς ἀπὶ τοῖς Θείοις αἰδῦς, ϗ τῆς τῆ αἰτηθεισῶν ἱερῶν αἰτήσεων ἐπαινετῆς ἀφέσεως, ϗ συγκαπαλλήλε ϗ θεοειδῦς ἕξεως. Ε'ςι δὲ ϗ τῦτο τοῖς θεαρχικοῖς κείμασι νενομοθετημένον, τὸ τὰ Θεῖα δῶρα τοῖς ἀξίοις τῦ μεταχεῖν ἐν τάξει θεοπρεπεςάτῃ δωρεῖθαι ἀφ' τῆ ἀξίων τῦ μεταδῦναι. Ταύτλω ἂν εἴτις ἀτιμάσειε τὼ ἱερὰν δικοσμίαν, ϗ πρὸς ἀθλίαν οἵησιν ἐλιλυθὼς, ἱκανὸν ἑαυτὸν οἰηθείη, πρὸς θεαρχικὼ ὁμιλίαν, ϗ τῆ ὁσίων ἀπροφρονήσειε. ϗ μλὼ οἱ τὰς αἰτήσεις ἀναξίας Θεῦ, ϗ μὴ ἱερὰς αἰτήσοι, ϗ τὼ ἔφεσιν τῆ θείων εἰ μὴ σὼ τύτων ἔχοι ϗ ἑαυτῦ κατάλληλον, ἀποδέξεται δι' ἑαυτῶν τῆς ἀνεπισήμονος αἰτήσεως.

Μαξίμε ἐκ τῆ Λόγων.

Ι'σχύσαν ϗ ἐνεργεμένην οἶδα τὸ δικαίυ τὼ δέησιν, ὁπόταν ὁ τῆς δ'χῆς τὸ δικαίυ δεόμενος, τὰ ἔργα τῆς δ'χῆς ἀφαρπάττεται, τόν τε πρότερον βίον διορθύμενος, ϗ τὼ δέησιν ἰσχυρὰν τὸ δικαίυ ποιύμενος ἀφ' τῆς οἰκείας καλῆς ἀναστροφῆς. ὐδὲν γὰρ ὄφελος τῆς τὸ δικαίυ δεήσεως, ἐκείνε τοῖς πλημμελήμασιν ἐνδαξίβοντος. ἐπεὶ ϗ ὁ μέγας Σαμυὴλ ποτε ἐπεύθει πλημμελῦντα τὸν Σαὺλ, ἀλλ' ὐκ ἴσχυσε τὸν Θεὸν ἱλεώσαθαι, μὴ λαβὼν συλλήπτορα τὸ πεύθος τὼ καθήκοσαν τῆ πλημμελῦντος διόρθωσιν, διὸ τὸ αὐονήτε πεύθος ὁ Θεὸς καπαύων τὸν ἑαυτῦ θεράποντα, φησὶ πρὸς αὐτόν. Ε'ως πότε σὺ πεύθεις ἀπὶ Σαὺλ; ϗ ἐγὼ ἐξδεύωσα αὐτὸν τῦ μὴ βασιλεύειν ἀπὶ Γσραήλ. Καὶ πάλιν Γερεμίας ὑπὲρ τῆ Γουδαίων ὐκ εἰσαπύεται προσδυχόμενος, ὐκ ἔχων εἰς προσδυχὼ δυνάμιν τὼ ἀπὸ τῆς πλανης αὐτῶν ἀπιστροφώ. ὅθεν τῦ ἀκοντῆς προσδύχεθαι ϗ τῦτον ἀπάγων ὁ Θεὸς φησί. Καὶ σὺ μὴ προσδύχε

Βασ. ά. 16. Γερεμ. Κεφ. 7.

περὶ

περὶ τὰ λαὰ τέτε, καὶ μὴ ἀξία ἐλεηθῆναι αὐτὰς, καὶ μὴ προσέλθῃς μοι περὶ αὐτῶν, ὅτι οὐκ εἰσακέσομαί σε. Πολλῆς γὰ ἐστὶ βλασφημίας, δι' ἀψυχῆς δικαίων ἐπιζητεῖν σωτηρίαν τὸν κατὰ βάθεσιν τοῖς ὀλεθρίοις ἡδόμενον, κἀκείνων αἰτεῖσθαι συγχώρησιν, οἷς ἐγκαυχᾶται κατ' ἐνέργειαν προθέσει σπιλάδων.

Τῦ Ἁγίε Γρηγορίε τῦ Θεολόγε ἐκ τῦ εἰς τὰ Φῶτα.

ΜΗ' ἀπαξιώσῃς ἐξαγορεῦσαί σε τὼ ἁμαρτίαν· εἰδὼς, ὅπως Ἰωάννης ἐβάπτισεν, ἵνα τὼ ἐκεῖθεν αἰσχύνην κατὰ τὼ ἐνταῦθα φύγῃς. ἐπειδὴ μέρος κ τέτο τῆς ἐκεῖθεν κολάσεως. κ δείξῃς, ὅτι τὼ ἁμαρτίαν ἔπω μεμίσηκας, βδελυγματίσας αὐτὼ, κ θαμβήσας, ὡς ἀξίαν ὕβρεως.

Τῦ Χρυσοσόμε ἐκ τῦ κζ Ἰωάννε.

ΜΙμησώμεθα τὼ Σαμαρεῖτιν γυναῖκα κ ἡμεῖς, κ ὅπ τοῖς ἰδίοις ἁμαρτήμασιν ἀνθρώπες μὴ αἰσχυνώμεθα. Ὁ γὰρ αἰσχυνόμενος ὅπ σωτηρίας ἀνθρώποις ἀποκαλύψαι τὰς ἑαυτῦ ἁμαρτίας, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἐνώπιον ἐνὸς, κ δυτέρε, ἀλλὰ κ τῆς Οἰκεμένης ἁπάσης ὁράσεως βδελυγματίζεται.

Τῦ αὐτῦ ἐκ τῆς πρὸς Κορινθίες, Α'. Ἐπισολῆς.

Ε'κκλ. 33.

ΩΣπερ γὰρ οἱ εἰς φρέαρ ἐμπεσόντες, οὐκ ἂν ῥαδίως ἀνέλθοιεν, ἀλλ' ἑτέρων δεήσονται τῶ ἀναγόντων αὐτὰς, ἔτω κ οἱ εἰς βάθος ἐλθόντες ἁμαρτημάτων. Διὸ χαλάσωμεν σχοινία πρὸς τὰς τοιάτας, κ ἀνιμησώμεθα. κ γὰρ Θεὸς βοηθεῖ. ὁ γὰρ βέλεται τὸν θάνατον τῦ ἁμαρτωλῦ, ὡς τὸ ὀπσρέψαι κ ζῆν αὐτόν.

Τῦ αὐτῦ ἐκ τῦ εἰς τὸν Ν'. Ψαλμόν.

ΤΟ'τε λοιπὸν ἀπῆλθε πρὸς τὸν Δαβὶδ Νάθαν, ὁ Προφήτης πρὸς Προφήτην ὑπάγει. πῶς ἂν ἑαυτὸν ὁ θεραπδεύει καίπερ Προφήτης ὢν ὁ Δαβίδ; Ἀλλ' ὥσπερ οἱ ἰατροὶ, ὅτε νοσῶσι, χρῄζυσιν ἑτέρων ἰατρῶν· κ γὰρ ἡ ἀῤῥωσία τὼ τέχνε λυμαίνεται· ἔτω δὴ κ ἐνταῦθα.

Τῦ αὐτῦ ἐκ τῆς πρὸς Ἐφεσίες.

Κεφ. 5.

ΤΑ' δὲ κρυπτὰ πάντα φησὶν, ἐλεγχόμενα ὑπὸ τῦ φωτὸς φανερῦται. Ὡς περ γὰρ τὸ ξαῦμα, ἕως ἂν ἐμφωλδύῃ κάτω, κ καλύπτεται ἄνωθεν, βλάβας βλάπτει, κὰ ἐδεμιᾶς ἀπολαύσει θεραπείας, ἔτω κ ἡ ἁμαρτία, ἕως μὲν ἂν κρύπτεται, καθάπερ ἐν σκότει, μετὰ ἀδείας τολμᾶται πολλῆς, ἐπειδὰν δὲ φανερωθῇ, γίνεται φῶς ὁ ἐργασάμενος αὐτό. Ὅταν γὰ νηθεσθῇ, ὅταν μετανοήσῃ, ὅταν ἀφέσεως τύχῃ, οὐχὶ ἐξεκάθηρας αὐτῦ τὸ σκότος; οὐχὶ τότε ἐθεράπδσας αὐτῦ τὸ τραῦμα καλῶς; οὐχὶ τὸ ἄκαρπον ψυχὸ ἐξεκαλέσω πρὸς καρπόν; Τοιαῦτα τοῖς φίλοις ἡμῶν χαριζώμεθα δῶρα, ἵνα τὸ ψυχὸ αὐτῶν ἐξέλωμεν ἀπὸ τῆς ὀργῆς τῦ Θεῦ, κ ἐκ τῦ βάθες τῆς ἁμαρτίας. Δῆσον ἂν αὐτὸν, ἕως ἂν ἱλεώσῃ τὸν Θεόν, μὴ ἀφῇς λελυμβνον, ἵνα μὴ πλέον δεθῇ τῇ τῦ Θεῦ ὀργῇ. Ἂν γὰρ μὴ δήσῃς, τὰ ἁῤῥήκτα αὐτὸν μβει δεσμά. Μηδὲ ὠμότητος εἶναι νόμιζε τὸ τοιῦτον κ ἀπαν-

ἀπανθρωπίας, ἀλλὰ τῆς ἄκρας ἡμερότητος, κ τῆς ἀρίστης ἰατρείας, κ πολλῆς τῆς κηδεμονίας. Ἀλλ' ἱκανὸν ἔδωκαν χρόνον τιμωρίας. Πόσον εἰπέ μοι; ἐνιαυτὸν, ἔτη δύο, κ τρία; Ἀλλ' ὁ τῦτο ζητῶ, χρόνε πλῆθος, ἀλλὰ ψυχῆς διόρθωσιν. Τῦτο τοίνυν ὀπδειξον, ἢ κατενύγησαν, ἢ μετεβάλοντο, κ τὸ παῦ γέγονεν. ὡς οὐ μὴ τῦτο ᾖ, ὠδὴ ὄφελος τῦ χρόνε. Ἀλλ' ὠδὲ γὰρ εἰ πολλάκις ἐπεδέθη τὸ τραῦμα ζητῶμεν. ἀλλ' εἰ ὤνησέ τι ὁ δεσμός; εἰ μὴ ὠφέλησε, κ ἐν χρόνῳ βραχεῖ μηκέτι προσκείθω. εἰδὲ μηδὲν ὤνησε, κ μὴ δέκα ἐνιαυτὰς προσκείθω. Καὶ ὅρος ἔτος ἕως λύσεως τῦ δεδεμβνε τὸ κέρδος. Ἂν ἔπω κ ἡμῶν αὐτῶν, ὡς τῶ λοιπῶν ἐπιμελώμεθα, κ μὴ πρὸς ἀνθρώπων βλέπωμεν δόξαν, ἢ αἰσχύνην, ἀλλὰ τὼ ἐκεῖθεν πόλασιν, κ τὸ ὄνειδος ἐννοῶμεν, κ πρὸ πάντων τὸν Θεὸν παροξύνεσθαι, σφόδρα τῆς μετανοίας ἐπιθήσομεν φάρμακα, κ ὀπὶ τὼ καθαρὰν ἥξομεν ὑγιείαν ταχέως.

Τῦ αὐτῦ ἐκ τῦ κζ Ἰωάννε.

ΕΙ' μὴ ἀπαλλαγῆτε τῶ κακῶν, μὴ ἐπαίνητε τῶ ἱερῶν αὐλῶν. Τὰ γὰ ὡρας ἐμπεπλησμβνα πρόβατα, κ νόσε γέμοντα, ὁ δεῖ μᾶλλον τῶ ὑγιαινόντων σωαγελάζεσθαι, ἀλλ' ἀπελαύνειν τῆς ποίμνης, ἕως ἂν τὼ νόσον ἀποθῶνται. Μέλη γὰ Χρισῦ ἐσμβ. Μὴ τοίνυν μέλη πόρνης χρώμεθα. Οὐκ ἔσιν ὁ τόπος ὅτος πορνεῖον, ἀλλ' Ἐκκλησία. τὰ δὲ μέλη τῆς πόρνης ἐὰν ἔχῃς, μὴ σῇς εἰς Ἐκκλησίαν, ἵνα μὴ ἐξυβρίσῃς τὸν τόπον.

Προς Κορ. α. 6.

Τῦ αὐτῦ ἐκ τῶ Ἀναβαθμῶν.

ΤΟ'ν γὰρ ἀπάθαρτον κ βέβηλον ὁδὲ ἀπβλῶσαι τῶ ἱερῶν ἀβολων θέμις. ὥσε εἴτις ἄξιός ἐστιν ἀπβαίνειν, κ ἀλογεῖν ἄξιος ἐσίν. Ὁ γὰ Οἶκος τῦ Θεῦ τῶ Οὐρανῶ ἔοικε. κ καθάπερ ἐκεῖ τῶ αὐτικειμβνων δυνάμεων ἀπβλῶσαι ὁ θέμις, ἔπως ὁδὲ ἐν τῶ Οἴκῳ τῦ Θεῦ. Εἰ γὰρ ἀπὶ τῦ Ἰεδαϊκῦ ναῦ ὁ πᾶς τόπος ἄπασιν ἰῶ βατὸς, ἀλλὰ πολλοὶ κὰ διάφοροι διορισμοὶ, κ ὁ μὲν τῶ Ἀρχιερεῖ μόνῳ, κ τῦτο ἅπαξ τὸ ἐνιαυτῦ, ὁ δὲ τοῖς Ἱερεῦσιν, ὁ δὲ τοῖς Ἰεδαίοις, ὁ δὲ τοῖς Προσηλύτοις. πόσης ἐννόησον ἁγιωσύνης σοι δεῖ, τῶ πολλῷ μείζονα δεξαμβνῳ, ὧν ἐδέξαντο τὰ Ἅγια τῶ Ἁγίων τότε; Οὐ γὰ Χερβὶμ ἔχεις, ἀλλὰ τὸν τῶ Χερβὶμ Δεσπότην ἐνοικοῦντα, ὁδὲ σάμνον, κ μάννα, κ πλάκας, κ τὴν ῥάβδον Ἀαρὼν, ἀλλὰ Σῶμα, κ Αἷμα Δεσποτικὸν, κ πνεῦμα αὐτὶ τῦ χράμματος. Οὗσῳ δὲ μειζόνων ἠξιώθης συμβόλων, κ φρικτῶν μυστηρίων, τοσῦτῳ μεῖζον κ ὑπδέσιος εἶ τῆς ἁγιωσύνης, κ πλείονος κολάσεως, εἰ παραβαίνεις τὰ ὁπτεταγμένα.

Τῦ Σολομῶντος.

Ε'κκλ. 4.

ΦΥ'λαξον τὸν πόδασον ἐν ᾧ ἂν πορδῇ εἰς οἶκον Κυρίου.

Ἡσαΐε. Κεφ. 58.

ΕΓγίζειν Θεῷ ὁπθυμεῖσιν ὡς λαὸς δικαιοσυνῶν πεποιηκὼς, κ νείσιν Θεῦ αὐτῦ μὴ ἐγκαταλελοιπώς.

Ὡσηέ. Κεφ. 12.

Ἔλεον καὶ κρίσιν φυλάσσε, καὶ ἔγγιζε πρὸς τὸν Θεόν σε διὰ παντός.

Ἐν τῇ Λευϊτικῇ. Κεφ. 15.

Ἐὰν λαβεῖς ποιήσατε τοὺς υἱοὺς Ἰσραὴλ ἀπὸ τῶν ἀκαθαρσιῶν αὐτῶν. Καὶ οὐκ ἀποθανοῦνται διὰ τὴν ἀκαθαρσίαν αὐτῶν, ἐν τῷ μιαίνειν αὐτοὺς τὸ σκήνωμά μου τὸ ἐν αὐτοῖς.

Ἐκ τῆς Ἀποστολικῶν Διαταξέων.

Ἀγαθ. 12. Ὅτι δὲ τὸν ἁμαρτήσαντα δεῖ ἀφορίζειν καὶ τὰ ἁμαρτήματα, φησὶν ὁ Θεὸς πρὸς Μωσῆν, ἵνα τὴν ἀξίαν Μαρίας ἀφεθῶσι αὐτῇ. Ἀφορισθήτω ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας, καὶ μετὰ ταῦτα εἰσελθέσεται. Οὕτως ἐν καὶ ἡμεῖς, τοὺς ἐφ' ἁμαρτίαις λέγοντας μετανοεῖν, ἀφορίζειν δεῖ χρόνον ὁρισμένον, καὶ τὴν ἀναλογίαν τοῦ ἁμαρτήματος, ἔπειτα μετανοοῦντας προσλαμβάνεσθαι ὡς πατέρες υἱούς.

Μαξίμου ἐκ τῆς Ἀσκητικῶν Κεφαλαίων.

Ὁ πάθος λέγων, ἢ ἁμάρτημα ἀδελφοῦ, καὶ δύο αἰτίας πάντως λέγει, ἢ ἵνα αὐτὸν διορθώσηται, ἢ ἵνα ἄλλον ὠφελήσῃ. Εἰδὲ ἐκτὸς τούτων λέγει, εἴτε αὐτῷ, εἴτε ἄλλῳ, ὀνειδίζων, ἢ ἐξευρίζων αὐτὸν, λέγει, καὶ ὁ μὴ ἐκφύγῃ τὴν Θείαν ἐγκατάλειψιν· ἀλλ' ἢ τῷ αὐτῷ, ἢ ἄλλῳ πταίσματι παύτως ἁλώσεται, καὶ ὑπὸ ἑτέρων ἐλεγχθεὶς καὶ ὀνειδισθεὶς, καταισχυνθήσεται.

Ἰωάννου τῆς Κλίμακος.

Μὴ λοπὲς θεραμβυόμενοι, ἃ προκόψσιν ὅτι τὸ χεῖρον, ἀλλ' ἰαθήσονται. Οὐδὲν γὰρ ἕτω τοῖς δαίμοσι καὶ τοῖς ἐναλογισμοῖς ἰσχὺ καθ' ἡμῶν δίδωσιν, ὡς τὸ τὰς ἀπεξαγορεύσεις ἐν τῇ καρδίᾳ σιτίζεσθαι. Ψυχὴ δὲ ἐξαγόρευσιν ἐννοουμένη, ὡς ὑπὸ χαλινὸν, ὑπ' αὐτῆς κατέχεται μὴ ἐξαμαρτάνειν. Τὰ γὰρ ἀπεξαγορεύοντα, ὡς ἐν σκότει λοιπὸν ἀδεῶς πράττομεν. Μὴ ἀπατῶ, ὦ ψυχὴ, καὶ ὑπάκουε Κυρίῳ, πνεύματι οἰήσεως, καὶ μὴ ὡς ἐξ ἑτέρου δήθεν προσώπου τὰ σὰ πλημμελήματα τῷ διδασκάλῳ ἀπάγγελλε. Οὐ γάρ ἐστιν ἐκτὸς αἰσχύνης ἀπαλλαγῆναι. Γυμνὸν γυμνῷ σὸν μώλοπα τῷ ἰατρῷ, εἰπέ, καὶ μὴ αἰσχυνθῇς. Ἐμὸν τὸ τραῦμα, πάτερ, ἐμὴ ἡ πληγὴ, ἐξ οἰκείας ῥαθυμίας, καὶ οὐκ ἐξ ἑτέρου προσγινομένη· οὐδεὶς ταύτης αἴτιος, οὐκ ἄνθρωπος, οὐ πνεῦμα, οὐ σῶμα, οὐ τι ἕτερον, ἀλλ' ἢ ἐμὴ ἀμέλεια. Γνοὺς καὶ τῷ ἤθει, καὶ τῷ λογισμῷ ὡς κατάδικος ὅτι τῇ Ἐξομολογήσει, εἰς γῆν νευδικῶς, καὶ εἰ δυνατὸν καὶ τοὺς τοῦ ἰατροῦ πόδας, ὡς τοῦ Χριστοῦ, δάκρυσι βρέχων. Ἔθος γὰρ πολλάκις τοῖς δαίμοσιν, ἢ μὴ ἐξομολογεῖσθαι ἡμῖν ὑποβάλλειν, ἢ ὡς ἐκ προσώπου ἑτέρου τοῦτο ποιεῖν, ἢ τινὰς ὅτι τῇ ἑαυτῶν ἁμαρτίᾳ καταμέμφεσθαι ὡς αἰτίους. Διὰ τοῦτο γὰρ καὶ ὁ Ἰωάννης πρὸ τοῦ βαπτίσματος τὴν ἐξομολόγησιν ὑπεζητεῖ ἀπὸ τῶν προσερχομένων, οὐκ αὐτὸς ταύτης δεόμενος, ἀλλὰ τὴν σωτηρίαν αὐτῶν πραγματευόμενος. Μὴ θαμβηθῶμεν καὶ μὴ ἐξομολογήσιν πολεμώμενοι. Ἄμεινον γάρ, λογισμοῖς, καὶ μὴ οἰήσει παλαίειν. Ὁ δὲ Θεὸς λυτρώσεται ἡμᾶς ἐκ τῆς τοῦ διαβόλου παγίδος, ὅπως δυρεθῶμεν

δυρε-

δυρεσθέντες ἐνώπιον αὐτοῦ, καὶ μὴ αἰσχυνόμενοι, ὅταν ἀποδώσῃ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΡΩΤΗΣΙΣ, Ζ'.

Καλὸν ἄρα τὸ κοινωνεῖν συνεχῶς, ἢ ἐκ διαλειμμάτων;

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Ἀποστόλου λέγοντος· Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν, καὶ ἕτως ἐκ τοῦ Ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ Ποτηρίου πινέτω· ὁ γὰρ ἐσθίων, καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει, καὶ πίνει, μὴ διακρίνων τὸ Σῶμα καὶ Αἷμα τοῦ Κυρίου, καὶ διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί· εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα, κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ Κόσμῳ κατακριθῶμεν· Εὔδηλον, ὅτι χρὴ προαγνίζειν, καὶ προκαθαίρειν ἑαυτοὺς ἀπὸ πάσης ἐναντίας πράξεως, καὶ ἕπως προσιέναι τῇ Θείᾳ Μυσταγωγίᾳ, ἵνα μὴ εἰς ὄλεθρον ψυχῆς καὶ σώματος γένηται. φησὶ γὰρ ὁ Θεὸς διὰ Μωσέως πρὸς τὸν Ἰσραήλ. Πᾶς ἄνθρωπος, ὃς ἂν προσέλθῃ ἀπὸ παντὸς τοῦ σπέρματος ὑμῶν πρὸς τὰ ἅγια, ὅσα ἂν ἁγιάσωσιν υἱοὶ Ἰσραὴλ τῷ Κυρίῳ, καὶ ἡ ἀκαθαρσία αὐτοῦ ἐπ' αὐτῷ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἀπ' ἐμοῦ. καὶ πάλιν. Εὐλαβεῖς ποιεῖτε τοὺς υἱοὺς Ἰσραὴλ ἀπὸ τῶν ἀκαθαρσιῶν αὐτῶν, καὶ οὐκ ἀποθανοῦνται διὰ τὴν ἀκαθαρσίαν αὐτῶν, ἐν τῷ μιαίνειν αὐτοὺς τὸ σκήνωμά μου τὸ ἐν αὐτοῖς. Ἐντεῦθεν καὶ ὁ Ἀπόστολος λέγει πρὸς τοὺς ἀναξίως κοινωνοῦντας, ὡς εἴρηται. Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοὶ, τουτέστιν ἀσθενοῦσι καὶ τελευτῶσι. Διὸ δὴ καὶ ὁ Θεῖος Δαβὶδ, ὅτε ἔμελλον ἐσθίειν, καὶ οἱ σὺν αὐτῷ τοὺς ἄρτους τοὺς τῆς προθέσεως, οἵτινες ὑπῆρχον προτύπωσις τοῦ Σώματος τοῦ Χριστοῦ, τοῦτο διαθέως ἠρώτησε διὰ τοῦ Ἀρχιερέως, εἰ καθαροὶ εἰσὶν ἀπὸ πάσης γυναικὸς, καὶ τότε δέδωκεν αὐτοῖς τοὺς ἄρτους τῆς προθέσεως.

Τοῦ Χρυσοστόμου ἐκ τῆς πρὸς Ἐφεσίους Ἐπιστολῆς.

Πολλοὺς ὁρῶμεν τοῦ Σώματος, καὶ τοῦ Αἵματος τοῦ Χριστοῦ μετέχοντας ἁπλῶς καὶ ὡς ἔτυχε, καὶ σωφροσύνῃ μᾶλλον καὶ νόμῳ, ἢ λογισμῷ, καὶ διανοίᾳ καθαρᾷ ἑπόμενοι μετέχουσιν. Ἂν ὅτιοῦν, φησὶν, ὁ τῆς Ἁγίας Τεσσαρακοστῆς καιρὸς καὶ τὸ Πάσχα, οἷος ἂν εἴη μετέχει τῆς Μυστηρίων. Ἀλλ' οὐχὶ ἑορτὰς ὅπτηρεῖν, ἀλλὰ σωφροσύνῃ καθαίρειν, καὶ τότε μετέχειν. ὁ γὰρ ἀκάθαρτος καὶ ἀνάξιος, οὐδὲ ἐν ἑορτῇ δίκαιος ἂν εἴη μετέχειν τῆς Ἁγίας καὶ φρικώδους Σαρκός. Ἐννόησον δὲ ὅτι οἱ τῆς παλαιᾶς θυσίας μετέχοντες πολλοὶ ἐκέχλωντο τῇ φειδοῖ, προηγνίζοντο γὰρ, καὶ πάντοθεν ἐκαθαίροντο. Σὺ δὲ Θυσίᾳ προσιὼν, ὧ καὶ Ἄγγελοι φείδονται, καιρῶν σῴζοδοις τὸ σῶγμα πε-

ειοείζεις, ϗ μιαραῖς χερσὶ, ϗ χείλεσι καταπολμᾷς τὸ Σώματος ϗ Αἵματος τοῦ Χριστοῦ; ϗ βασιλέα μὴν ἐκ αὖ ἔλοιο καταφιλῆσαι ὀδωδότος σε τοῦ σώματος, τὸν δὲ Βασιλέα τοῦ Οὐρανοῦ ψυχῇ καταφιλεῖς ὀδωδείᾳ; ὕβρις τὸ τοιοῦτον πρᾶγμα ἐστίν. Οὐκοῦν εἰ τῆς μεταλήψεως ἐκ εἰ ἄξιος, ὁ δὲ τῆς ψυχῆς ϗ τῆς σάρκος τοῦ Ἁγίου. Ἀκούεις γὰρ τοῦ κύριος λέγοντος· Οἱ ἐν μετανοίᾳ προσέλθετε· ὅσοι δὲ μὴ μετέχουσιν, ἐκ εἰσὶν ἐν μετανοίᾳ.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἑβραίους Ἐπιστολῆς.

Πολλοὶ τῆς Θυσίας ταύτης ἅπαξ τοῦ ἐνιαυτοῦ μεταλαμβάνουσιν· ἕτεροι δὲ δὶς, ἄλλοι δὲ πολλάκις. πρὸς ὃς ἅπαντας ἡμῖν ὁ λόγος ἐστὶν, ϗ πρὸς τοὺς ἐνταῦθα μόνον, ἀλλὰ ϗ πρὸς τοὺς ἐν τῇ ἐρήμῳ καθιζομένους. Ἐκεῖνοι γὰρ ἅπαξ τοῦ ἐνιαυτοῦ μετέχουσι, πολλάκις δὲ ϗ δὶς δύο ἐτῶν. Τί οὖν; τίνας ἀποδεξώμεθα; τοὺς ἅπαξ, τοὺς πολλάκις, ἢ τοὺς ὀλιγάκις; Οὔτε τοὺς ἅπαξ, οὔτε τοὺς πολλάκις, οὔτε τοὺς ὀλιγάκις, ἀλλὰ πάντως τοὺς μὴ καθαρᾶ συνειδότος, τοὺς μὴ βίᾳ ἁλόντος· οἱ τοιοῦτοι ἀεὶ προσίπωσαν· οἱ δὲ μὴ τοιοῦτοι, μήτε ἅπαξ. Τί δήποτε; Ὅτι κρῖμα ἑαυτοῖς λαμβάνουσι, ϗ τιμωρίαν, ἀναξίως μεταλαμβάνοντες, ϗ κατάκριμα, ϗ κόλασιν. ϗ μὴ θαυμάσῃς. Ὥσπερ γὰρ ἡ τροφὴ φύσει ὅσα θρεπτικὴ, ἐὰν εἰς κακόσιτον ἐμπέσῃ, πάντως ἀπόλλυσι ϗ διαφθείρει, ϗ γίνεται νόσου ἀφορμὴ, οὕτω δὴ ϗ τὰ τῆς Ἁγίων Μυστηρίων. Τραπέζης ἀπολαύεις πνευματικῆς, ϗ πάλιν συμφύρεις βορβόρῳ τὸ σῶμα σου; Μύρῳ χρίεις, ϗ πάλιν δυσωδίας πληροῖς; Μετ' ἐνιαυτὸν τῆς Μεταλήψεως μετέχων, τὰς τεσσαράκοντα ἡμέρας οὐκ ἀρκεῖ σοι πρὸς καθαρισμὸν τῶν ἁμαρτημάτων παντὸς τοῦ χρόνου, ϗ πάλιν ἑβδομάδος παρελθούσης ἐκδίδως σαυτὸν τοῖς προτέροις; Εἰπὲ δήμοι, ἐὰν ὑγιαίνας τεσσαράκοντα ἡμέρας ἀπὸ νόσου μακρᾶς, πάλιν αὐτὸν ἐκβῶς τοῖς νοσοποιοῖς σιτίοις, οὐχὶ ϗ τὸν πρότερον κόπον ἀπώλεσας, ϗ σαυτὸν μειζόνως ἔβλαψας; εἰ γὰρ τὰ φυσικὰ μισθίσανται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως. Ἡμέρας τεσσαράκοντα ἀπονέμεις τῷ ὑγιείαν τῇ ψυχῇ, τάχα δὲ οὐδὲ τεσσαράκοντα, ϗ προσδοκᾷς ἐξιλεώσασθαι τὸν Θεόν; παίζεις ταῦτα λέγων; Οὐκοῦν ϗ ὁ Ἱερὸς Ὑπομνεῖ λέγων· τὰ Ἅγια τοῖς ἁγίοις· τέτευχεν, εἴτις ἐκ ἔστιν ἅγιος μὴ προσίπω, οὐχ ἁπλῶς φησὶν ἁμαρτημάτων καθαρὸς, ἀλλὰ ἅγιος.

Τοῦ Ἁγίου Βασιλείου ἐκ τῆς πρὸς Καισάριον Πατρίκιον Ἐπιστολῆς.

Τὸ δὲ ἀναγκάζεσθαί τινα, μὴ παρόντος Ἱερέως, τὴν κοινωνίαν τῇ ἰδίᾳ χειρὶ λαμβάνειν, μηδαμῶς εἶναι βαρὺ, φανερὸν ἐστὶν ἀποδεικνύναι, ἀφ' τὸ ϗ τὴν μακρὰν συνήθειαν ϗ δι' αὐτῶν τῶν πραγμάτων πιστώσασθαι. πάντες γὰρ οἱ τὰς ἐρήμους μονάζοντες, ὅθα μὴ ἔστιν Ἱερεὺς, κοινωνίαν οἴκοι κατέχοντες, ἀφ' ἑαυτῶν μεταλαμβάνουσιν. Ἐν Ἀλεξανδρείᾳ δὲ ϗ ἐν Αἰγύπτῳ, ἕκαστος ϗ τῶν ἐν λαῷ τελούντων, ὡς ἐπὶ τὸ πλεῖστον, ἔχει κοινωνίαν ἐν τῷ οἴκῳ αὐτοῦ, ϗ ὅτε βούλεται, μεταλαμβάνει δι' ἑαυτοῦ. Ἅπαξ γὰρ τοῦ Ἱερέως τε-

λειώ-

λειώσαντος τὴν Θυσίαν, ϗ δεδωκότος, ὁ λαβὼν αὐτὸν ϗ μεταλαμβάνων, ὡς ἀφ' τοῦ Ἱερέως μεταλαμβάνων πιστεύειν ὀφείλει. Καὶ γὰρ ἐν τῇ Ἐκκλησίᾳ ὁ Ἱερεὺς ὑπεδίδωσι τὸν μερίδα, ϗ κατέχει αὐτὸν ὁ ὑποδεξάμενος μετ' ἐξουσίας ἁπάσης, ϗ ὅπως προσάξει τῷ σώματι τῇ ἰδίᾳ χειρί. Ταὐτὸν ἐστὶ πίνων τῇ δυνάμει, εἴτε μίαν μερίδα δέξεταί τις ἀφ' τοῦ Ἱερέως, εἴτε πολλὰς ὁμοῦ.

ΕΡΩΤΗΣΙΣ, Η'.

Ἐκ πόσων τρόπων ἡ πορνεία, ϗ οἱ ἐνυπνιασμοὶ ἐν τῷ ἀνθρώπῳ γίνονται;

ΑΠΟΚΡΙΣΙΣ.

Καθὼς οἱ Πατέρες φασὶν, ἐκ τεσσάρων. Ἐκ φυσικῆς πυρώσεως ἐξαπορμήσης, ἐκ πολυφαγίας, ϗ πολυποσίας, ϗ πολυϋπνίας, ϗ ἀργίας, ἢ ἐξ ὑψηλοφροσύνης, ἢ ἐκ τοῦ κρίνειν ἑτέρους ἁμαρτάνοντας, ἢ ἐκ φθόνου δαιμόνων, ὅταν ἴδωσιν ἡμᾶς κατὰ Θεὸν προκόπτοντας. Ἔνεσι δὲ ϗ ἀπὸ χαυνότητος, ϗ ἀσθενείας σώματος γίνεσθαι ἐνυπνιασμὸν, ϗ ἔστι πάλιν ἐκ πονηρᾶς συνηθείας τῆς σαρκὸς συνωθείσης εἰς μολυσμὸν, ϗ πορνείαν. Δύο γὰρ εἰσὶ ῥύσεις ἐνυπόστατοι ἐκ τοῦ σώματος· μία πολλάκις μολύνουσα, ϗ μία ἀγιάζουσα· τέτευχεν ἡ σπορὰ, ϗ τὸ δάκρυον. Καὶ ὥσπερ πᾶσα ἁμαρτία, ἣν ἂν ἐποίησεν ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστὶν, ὁ δὲ πορνεύων, ὡσανεὶ ἐκ τῆς οἰκείας σαρκὸς προσάγει θυσίαν τῷ πονηρῷ τὴν ἑαυτοῦ σπορὰν· ὅπω ϗ ὅσα ἂν ἀγαθὰ ποιήσει ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστὶ, τὸ δὲ δάκρυον ἐξ αὐτῆς τῆς οὐσίας ἡμῶν προσάγεται τῷ Θεῷ, καθάπερ ϗ τὸ τῶν Μαρτύρων αἷμα. Ὅθεν χρὴ μὴν τὴν μετάνοιαν, ϗ τὰ δάκρυα, φυλάττεσθαι τῆς ἁμαρτίας, ϗ μὴ πάλιν μολύνειν τὸν χιτῶνα, ϗ τὸ σῶμα. Χαλεπὸν γὰρ τὸ σωνηθῆσαι πλύνειν τὸ ἱμάτιον τοῦ σώματος, ϗ πάλιν μολύνειν αὐτό. τὸ γὰρ πολλάκις πλυνόμενον, ϗ μολυνόμενον, ϗ καταπεπαλαιωμένον, σαθρὸν ϗ ἄχρηστον γίνεται· ϗ λοιπὸν γηράσαν ϗ παλαιωθὲν, ὅτε πλυθῆναι δύναται. Καγὼ ἑώρακα ἄνδρας ἑκατονταετεῖς ἀδυνάτους, ϗ ὅλως χεδὸν τῷ σώματι τρέμοντας, ἀποθλῖψαι δὲ τῆς σωματικῆς ἁμαρτίας μὴ δυνηθέντας διὰ τὴν χρονίαν συνήθειαν. ὅπω χαλεπωτέρα πάντων ἐστὶ τῶν παθῶν ἡ συνήθεια ἡ κακίστη. Διὰ τοῦτο παραινῶν ὁ Ἀπόστολος φησίν. Ἀποθώμεθα τὰ ἔργα τοῦ σκότους, ϗ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτὸς, ὡς ἐν ἡμέρᾳ εὐχημόνως περιπατήσωμεν, μὴ κώμοις, ϗ μέθαις, μὴ κοίταις ϗ ἀσελγείαις, μὴ ἔριδι ϗ ζήλῳ, ἀλλ' ἐνδύσασθε τὸν Παντοπλίαν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ϗ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. ϗ πάλιν. Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ

ἡμῶν

Πρὸς Κορ. α. 6.

Πρὸς Ρωμ. 13.

Πρὸς Ρωμ. 6.

ὑμῶν σώματι, εἰς τὸ ὑπακοὴν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτῆ. Πλὴν εἰδέναι χρὴ, ὅτι πολλὰ καὶ διάφορα εἰσὶ περὶ τῆ Δικαίῳ Κριτῆ τὰ κρίματα, καὶ αἱ ἀντιδόσεις, ἃς μέλλει ποιεῖν ἑκάστῳ εἰς τὸ σῶμα ἁμαρτανόντων. Ἄλ-
Δευ. 12. λως γὰρ κρίνεται ὁ πιστὸς, καὶ ἄλλως ὁ ἄπιστος. Ὅτε γὰρ φησὶ τὸ θέλημα τῆ Κυρίε αὐτῆ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς. Καὶ ἄλλο τὸ κρῖμα τῆ ἐν νεότητι πορνεύοντος, καὶ ἄλλο τῆ ἐν γήρει. Ἄλλο τὸ τῆ ἀγάμε, καὶ
Σοφ. 6. ἕτερον τῆ γυναῖκα ἔχοντος. Καὶ ἄλλο πάλιν τῆ πονηρᾶ σωφρονοῦντος, καὶ ἄλλο τῆ τὼ σεμνὼ ἔχοντος. Καὶ ἄλλο τὸ εἰς μίαν ἁμαρτήσαι, καὶ ἄλλο εἰς τὰς πολλὰς μολυνθῆναι. Ἄλλο τὸ κρῖμα τῆ Διδασκάλε, καὶ Γέροντος, καὶ ἄλλο
Γεν. 19. τῆ ἰδιώτε. Δικαίως γὰρ φησὶ δικαίως ἐπαθήσονται. Ἄλλο τὸ ἀπὸ ἕξεως καὶ συνηθείας πονηρᾶς, καὶ ἄλλο τὸ κατὰ συναρπαγὴν. Ἄλλω πάλιν συγγνώμην ἔχει ὁ πίπτων, καὶ ὁ θλιβόμενος, καὶ ὀδυνώμενος, καὶ ἄλλως ὁ ἁμαρτά-
Σοφ. 10. νων, καὶ ἐν ἀμεριμνίᾳ ζημιούμενος. καὶ πάλιν. Ἄλλως κολάζεται ὁ κατὰ φύσιν τῇ φύσει χρώμενος, καὶ ἄλλως καὶ πικρῶς, καὶ ὑπὲρ πᾶσαν ἁμαρτίαν τιμωρηθήσεται ὁ τὴν παρὰ φύσιν τῆ Σοδόμων ἀπώλειαν ζηλοτυπούμενος, ὧντινα δὲ τὰ ἄλογα πράττουσιν, ὥσπερ ἡ Θεία Γραφὴ διηγεῖται περὶ τῆς σοφίας φη-
Σοφ. 10. σί. Αὖτη δίκαιον ἐξ ἀπολλυμένων ἀσεβῶν ἐρρύσατο, φυγόντα καταβάσιον πῦρ Πενταπόλεως, ἧς ἔτι μαρτύριον τῆς πονηρίας καπνιζομένη καθέστηκε χέρσος, καὶ ἀτελέσιν ὥραις καρποφοροῦντα φυτά. Οὕτω δὴ καὶ ὁ Θεῖος Πέτρος
Πέτ. β'. 2. τὴν παστροφὴν τῆ Σοδόμων μνημονεύσας ἐπάδει λέγων. Οἶδε Κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν, μάλιστα δὲ τοὺς ὀπίσω σαρκὸς ἐν ἐπιθυμίᾳ μιασμοῦ πορευομένους, καὶ
Ἰούδ. Ἐπις. κυριότητος καταφρονοῦντας. Ὡσαύτως δὲ καὶ Ἰούδας Γαλιλαῖος συνάδει φάσκων. Ὡς Σόδομα καὶ Γόμορρα, καὶ αἱ περὶ τὰς αὐτὰς πόλεις τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι, καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας, πρόκεινται δεῖγμα, πυρὸς αἰωνίε δίκην ὑπέχουσαι. ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι, σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξαν δὲ βλασφημοῦσι. καὶ ἑξῆς. Οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τῶ Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τῶ Βαλαὰμ μισθῶ ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τῶ Κορὲ ἀπώλοντο, καὶ, οἷς ὁ ζόφος τῶ σκότους εἰς αἰῶνας τετήρηται. Εἰ γὰρ ἐκεῖνοι Νόμον μὴ μεμαθηκότες, μηδὲ Προφήτας ἀναγινώσκοντες, διὰ τὸν μυσαρὰν ἐργασίαν ἐκείνων, πυρὸς καὶ θείε θυμάλωμα γεγόνασι, πόσῳ μᾶλλον ἡμεῖς ἐσμὲν ἄξιοι τιμωρίας, οἱ Νόμον καὶ Προφήτας, καὶ Ἀποστόλας συνεχῶς ἀναγινώσκοντες, καὶ χείρονα ποιοῦντες; Διὰ τοῦτο γὰρ καὶ τοιαῦτα πραττόντων τινῶν, τοιοῦτος ἐμφρησμὸς ὁ γίνεται, ἐπειδὴ πῦρ ἡτοίμασαι ἕτερον χαλεπώτερον, καὶ μηδέποτε σβεννύμενον, ὡς γέγραπται· ὅτι ὁ σκώληξ αὐτῶν ὁ τελευτᾷ, καὶ τὸ πῦρ ὁ σβεσθήσεται.
Ἡσαΐε 66. Ἀκούσαν οἱ γυναικὶ συνεζυγμένοι, καὶ ὑπὸ τρυφῆς, καὶ ἀπάτης, καὶ μᾶλλον ὑπὸ ἀφοβίας Θεῦ καταλιμπάνοντες αὐτὰς, καὶ εἰς ἀκαθαρσίας, καὶ παρὰ

φύσιν

φύσιν συμφυρόμενοι, οἵτινες ἀδεμίαν ἀπολογίαν ἕξουσιν ἐν ἡμέρᾳ κρίσεως. Τί γὰρ καὶ ἀπολογήσονται, ὁρῶντες ἑτέρας σοὶ αὐτοῖς ὄντας, καὶ παρθενίαν φυλάξαντας; Ἀκούσατε δὲ πάλιν καὶ τῆ Ἀποστόλε περὶ τῶν τοιούτων λέγοντος. Ὅτι καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα, καὶ εἰς ἀκαθαρσίας φησὶ, τὸ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν αὐτοῖς. καὶ πάλιν. Οὐκ οἴδατε ὅτι Ναὸς Θεῦ ἐστὲ, καὶ τὸ Πνεῦμα τῆ Θεῦ οἰκεῖ ἐν ὑμῖν; εἴτις τὸν ναὸν τῆ Θεῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τῆ Θεῦ ἅγιος ἐστὶν, οἵτινες ἐστὲ ὑμεῖς. καὶ αὖθις. Θεὸς δὲ μυκτηρίζεται· ὃ γὰρ σπείρει ἄνθρωπος, τοῦτο καὶ θερίσει· ὅτι ὁ σπείρων εἰς τὴν σάρκα αὐτῆ, ἐκ τῆς σαρκὸς θερίσει φθοράν· ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα, ἐκ τῆ πνεύματος θερίσει ζωὴν αἰώνιον. καὶ πάλιν. Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὔτε κλέπται, οὔτε μέθυσοι, οὔτε λοίδοροι, οὐχ ἅρπαγες, Βασιλείαν Θεῦ οὐ κληρονομήσουσι. καὶ αὖθις. Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ Βήματος τῆ Χριστῆ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν. καὶ πάλιν. Ἑκάστε τὸ ἔργον φανερὸν γενήσεται· ἡ γὰρ ἡμέρα Κυρίε δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται· καὶ ἑκάστε τὸ ἔργον ὁποῖόν ἐστὶ, τὸ πῦρ δοκιμάσει. Ἡσαΐε. Κεφ. 5.

Πρὸς Ρ'ωμ. ι. Πρὸς Κορ. ά. 3. Πρὸς Γαλ. 6. Πρὸς Κορ. ά. 6. Πρὸς Κορ. β'. 5. Πρὸς Κορ. ά. 3.

Ὀργὴ οἱ ἀπατώμενοι τὰς ἁμαρτίας αὐτῶν ὡς χοινίον μακρὸν, καὶ ὡς ζυγὸν ἱμάντεως τὰς ἀνομίας αὐτῶν. Ἱερεμίας. Κεφ. 4.

Υἱοὶ ἄφρονες εἰσὶ, καὶ ἀσύνετοι, σοφοὶ εἰσὶ τῆ κακοποιῆσαι, τὸ δὲ καλὸν ποιῆσαι οὐκ ἐπέγνωσαν· καὶ, Εἰ ἀλλάξεται αἰθίοψ τὸ δέρμα αὐτῆ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς, καὶ ὑμεῖς δυνήσεσθε εὖ ποιῆσαι, μεμαθηκότες κακά. Τῶ Ἁγίε Βασιλείε ἐκ τῶ εἰς τὸν Α'. Ψαλμόν.

Κεφ. 13.

Ἐγχῆς μοὶ ἦν ἄξιον, μὴ προσφαύσασθαι τῶ κακῶ, δεύτερος δὲ πλῆς δεύτερος μοὶ τοῦ πεῖραν, ὥσπερ ἰοβόλε πληγὴν ἀποφύγειν, καὶ τὸ γεγραμμένον ὑπὸ τῆ Σολομῶντος περὶ τῆς φαύλης γυναικός. Μὴ ἐπιθῇς τὸν ὄμμα σοῦ πρὸς αὐτὴν, ἀλλὰ ἀποπήδησον, μὴ χρονίσῃς. Νυῦ δὲ οἶδα τινὰς ἐν νεότητι, πρὸς τὰ τῆς νεότητος, καὶ τὰ τῆς σαρκὸς πάθη κατολισθήσαντας, καὶ μέχρι πολιᾶς καὶ τελευτῆς διὰ συνήθειαν τῶ κακῶ ταῖς ἁμαρτίαις ἐνδεμείναντας. Ὥσπερ γὰρ οἱ ἐν βορβόρῳ κυλινδούμενοι χοῖροι ἀεὶ προσπλάττουσιν ἑαυτοῖς τὸν πηλὸν, ὅπως καὶ ὅτι τὸ ἐκ τῆς ἡδονῆς αἶσχος καθ' ἑκάστην ἡμέραν προσαναμάσσονται. Μακάριον μοὶ ἦν τὸ μὴ γνωσθῆναι τὸ ποιμνίον. Εἰδὲ κατὰ συναρπαγὴν τῶ ἐχθρῶ ἐδέξω τῇ ψυχῇ βελήματα ἀσεβείας, μὴ σῇς ὅτι τῆς ἁμαρτίας. Εἰδὲ καὶ τοῦτο πέπονθας, μὴ ἐνιδρυθῇς τῷ κακῷ· διότι τὸ φιλοπόνως προσκαθέζειν ταῖς ἁμαρτίαις ἔξιν τινὰ δυσκίνητον ταῖς ψυχαῖς ἐμποιεῖ. παλαιωθὲν γὰρ πάθος ψυχῆς, καὶ κακῶ μελέτη χρόνῳ βεβαιωθεῖ-

Παρ. 9.

σα,

σα, δυσίατος ἐστὶν, ἢ καὶ ἀνίατος παντελῶς, εἰς φύσιν ὡς τὰ πολλὰ τῶν ἔθνων μεθισαμένη.

Γσιδώρου ἐκ τῆς Ἐπιστολῶν.

ΕΝ γὰρ τοῖς παίσμασιν, ὁ τὸ εἶδος ζητεῖται μόνον τῆς ἁμαρτήματος, ἀλλὰ καὶ ἡ γνώμη τοῦ ἁμαρτάνοντος, καὶ τὸ ἀξίωμα, καὶ ὁ καιρὸς, καὶ ὁ τόπος, καὶ ἡ ῥίζα· καὶ μὴ τὴν ἁμαρτίαν, εἰ ἦλθη, εἰ ἐλυπήθη, εἰ ἀναλγήτως διετέθη, εἰ ἔμεινεν, εἰ μετέγνω, εἰ ἐκ προαιρέσεως, εἰ κατὰ ἀπάτην, εἰ κατὰ μελέτην, εἰ κατὰ ἕξιν κακὴν καὶ συνήθειαν. Καὶ πολλὰ ἕτερα εἰσὶ, δι' ὧν ὁ βάσανος αὐτὸν χωρεῖ. καὶ καιρὸς διαφοραὶ ἐξετάζεται, καὶ πολιτείας κατάστασις. Ὁ γὰρ πρὸ Νόμου, καὶ μὴ Νόμου, καὶ μὴ τὴν Χάριν τὴν αὐτὴν ἁμαρτίαν ἁμαρτὼν, ὁ τὴν αὐτὴν δίκην ὑφέξεται, ἀλλ' ὁ μὲν ἡμερωτέραν, ὁ δὲ ἀκριβεστέραν, ὁ δὲ ἀπαραίτητον. Ταῦτα γὰρ πάντα διαῤῥήδην ἐν ταῖς Θείαις Γραφαῖς κεκήρυκται.

Θεοδωρήτου ἐκ τῆς Θεραπευτικῆς.

Ο Τ' δὲ γὰρ ἐξ ἴσου ὑποτίνος ὀργῆς, καὶ θυμῶ τινα παροξυνόμενον παίσαι τὸν πέλας, καὶ ἀφεῖναι τῷ θανάτῳ. ὁ τοῦτο τὸν προβεβλοσάμενον. ὁδὲ ὅτι τύπτει γε παίοντα, καὶ τὸν παίσαντα ἐξ ὑπουλῆς καὶ λόχης καὶ προνοίας θηρεῦσαι τὸν θάνατον. Τὸ μὲν γὰρ ἰσὸν ἀπρασία θυμοῦ· τὸ δὲ πονηρίας ἐσχάτης. Καὶ τὸ μὲν ἀκ ὅλον· τὸ δὲ ὅλον τῆς γνώμης. Οὕτω καὶ ταῖς τῆς ἡδυπαθείας ἀκ ἅπαντες ὁμοίως ἀνθρωποι ἀναπίπτουσιν ἁμαρτίαις. Ἀλλ' οἱ μὲν ἥκιστα ἀναργαζόμενοι τὰ διαφερῆ τῆς σωμάτων ἀναπείρονται. ἐὰν ὅταν δὲ καὶ ὁρῶσιν ἐξαίφνης, καὶ καταβάλλωνται τῷ πάθει τοῦ λογισμοῦ τῆς ἡγεμονίας ἐξισάμενοι. Οἱ δὲ βίον ἔχουσι, τὸ τοιαύτη διαφορᾷ τοὺς ὀφθαλμοὺς ἐστιγμένοι. Καὶ οἱ μὲν ὑδὲ σίτου καὶ ποτὸν ἀπολαύουσιν ἀδεῶς, ἡττῶνται δ' ὅμως παλαίοντες, ἐπειδὴ παλαίειν ὑπισημόνως ἀ βάλονται. Οἱ δὲ ὑπερμαζῶσι καὶ ξυφῶσι, καὶ παῦ εἶδος ὑπνοῦσι χλιδῆς καὶ ξυφῆς, καὶ τὰς ἄλλας ὀρέξεις ἐρεθίζουσι παντοδαπαῖς ὑπνοίαις. Καὶ μύτοι καὶ σβεννυμένων ἀχαλῶσι. Τοσαύτη τοίνυν πλανομένων διαφορά. Οὐ χρὴ ἓν ἅπασι χαλαπαίνειν ὁμοίως. Ἀλλὰ τοὺς μὲν προδήλως τὸν συώδη βίον ἀπαζομένους μυσάττεσθαι. τοῖς δ' ἄλλοις καὶ συμβουλεύειν, καὶ παραινεῖν, καὶ χεῖρα ὀρέγειν, καὶ θεραπεύειν ὑπομελῶς, καὶ προσφέρειν τῆς ὑγιείας τὰ φάρμακα. ἐκείνους δὲ ἐὰν ὑπομείνωσι θηριωδῶς βιοτεύοντες, καὶ πρέποντας θρηνήσωμεν, καὶ ὑποθανοῦσι τὸ Σαρδαναπάλου ὑπογεγραμμα προσενέγκωμεν. τῷ γὰρ δὴ ἐκείνου ὑπογέγραπται τάφῳ. σίχοι. Τόσ' ἔχω, ὅσ' ἔφαγον, καὶ ἐφύβρισα, καὶ μετ' ἔρωτος. Τερπν' ἔπαθον, τὰ δὲ πολλὰ καὶ ὄλβια πάντα λέλειπται. Καὶ γὰρ ἐγὼ παῖς εἰμι, Νίνου μεγάλης βασιλεύσας. Ἀλλὰ γὰρ καὶ τοῦτο ψευδῶς γεγραφότες ἐπέγραψαν. ὃ γὰρ ἔχει ὁ τελευτήσας ὅπερ ἔφαγε, καὶ ἔπιεν, ἀλλ' εἰς τὴν δυσώδη φθορὰν ἐκεῖνα κεχώρικεν. ἔχει δὲ μόνα τοῦ ἀφανοῦς βίου τὴν δυσωδίαν, ἢ τὴν ψυχὴν διλυκῶς ἀλγύνει, καὶ αἰσχρὰ ξυνειδυῖα αὐτῆς τὰ κάκιστα, καὶ μεμνημένη ὧν ἀφανόμως εἰργάσατο. Α'. Ἄνοια, ὡς ὁ Λάβαν. Β'. Ἀπίστια, ὡς ἡ Εὔα. Γ'. Συναρπαγὴ, ὡς ὁ Πέτρος. Δ'. Λήθη, ὡς ὁ Μωϋσῆς, μὴ ἀγαπήσας τὸν Θεὸν ἐν τῇ πέτρᾳ. Ε'. Τυραννὶς, ὡς ὁ Δαρεῖος ἐνδὺς τὸν Δανιήλ. ς'. Ἀπιστία, ὡς ἡ γυνὴ τοῦ Λώτ. Ζ'. Καταφρόνησις, ὡς Γιεζῆ, τοῦ Ἐλισαίου. Η'. Ἡ πονηρὰ ἀφίθεσις, ὡς οἱ Φαρισαῖοι κρύπτοντες τοὺς ἀνάσασιν.

Μαξίμου ἐκ τῆς Κεφαλαίων.

Ο Τ' χ εἷς λόγος τῆς τοῦ αὐτοῦ ἁμαρτίαν κατ' ἐνέργειαν ἁμαρτανόντων ἐστὶν, ἀλλὰ διάφοροι. οἷον. ἄλλο ἐστὶ τὸ ἀπὸ ἕξεως ἁμαρτάνειν, καὶ ἄλλο τὸ κατὰ συναρπαγήν. ὃς μὲν πρὸ τῆς ἁμαρτίας εἶχε τοῦ ἐνθυμήσιν, ὃς δὲ μὴ τοῦ ἁμαρτίαν, ἀλλὰ καὶ σφόδρα ὅτι τῷ γεγονότι ὀδυνᾶται. ὁ δὲ ἀπὸ ἕξεως ἐν τῷ ἐναντίῳ. καὶ πρῶτον γὰρ ἐκ ἐπαύετο κατὰ διάνοιαν ἁμαρτάνων, καὶ μὴ τὸ πρᾶξαι, τῆς αὐτῆς ἐστὶ διαθέσεως. Κατὰ γὰρ τέσσαρας τρόπους ἁμαρτάνει ὁ ἄνθρωπος· κατὰ Συναρπαγὴν, κατὰ Ἀπάτην, κατὰ Ἄγνοιαν, καὶ κατὰ Διάθεσιν. Καὶ αἱ μὲν πρῶται δύο εἰς ὀλιγωσιν καὶ μετάνοιαν ἔρχονται. ὁ δὲ ἐκ διαθέσεως ἁμαρτάνων, καὶ μήτε πειρασμῷ, μήτε τῷ χρόνῳ εἰς μετάνοιαν ἐρχόμενος, αἴτιον ἔχει τοῦ νόσου. καὶ τὸ μὲν ὑπερθυμητικὸν τῆς ψυχῆς πυκνότερον ἐρεθιζόμενον, ἕξιν φιλησυχίας δυσίατον τῇ ψυχῇ ἐντίθησιν. ὁ δὲ θυμὸς συνεχῶς παρασύρομενος, δειλὸν καὶ ἄνανδρον αὐτὸν ἀπεργάζεται. Γῶνται δὲ τὸν μὲν ἄσκησις ὑπερταπεινῆς νηστείας, καὶ ἀγρυπνίας, καὶ προσευχῆς. τὸν δὲ, χρηστότης, καὶ φιλανθρωπία, ἀγάπη, καὶ ἔλεος. Καὶ ἐκ τῶν ὑποκειμένων τῇ ψυχῇ παθῶν λαμβάνουσιν οἱ δαίμονες τὰς ἀφορμὰς τοῦ κινεῖν ἐν ἡμῖν τοὺς ἐμπαθεῖς λογισμούς. εἶτα διὰ τούτων πολεμοῦντες τὸν νοῦν, ἐκβιάζονται αὐτὸν εἰς συγκατάθεσιν ἐλθεῖν τῆς ἁμαρτίας· ἡττηθέντος δὲ αὐτοῦ, ἄγουσιν αὐτὸν εἰς τοῦ κατὰ διάνοιαν ἁμαρτίαν· καὶ ταύτης ἀποτελεσθείσης, φέρουσιν αὐτὸν λοιπὸν αἰχμάλωτον εἰς τοῦ πρᾶξιν. Πάντες οὖν οἱ ἐμπαθεῖς λογισμοὶ, ἢ τὸ ὑπερθυμητικὸν τῆς ψυχῆς ἐρεθίζουσιν, ἢ τὸ θυμικὸν ἐκπαράσσουσιν, ἢ τὸ λογιστικὸν ὑπισκοτίζουσι. Καὶ ἐκ τούτου συμβαίνει τὸν νοῦν ὀφθαλμιᾶσαι πρὸς τοῦ πνευματικοῦ θεωρίαν, καὶ τοῦ τῆς προσευχῆς ἐνδημίαν.

Γρηγορίου τῆς Κλίμακος.

ΕΝ τισὶ τούτοις τοῖς ψυχικωτάτοις ξόποις πᾶς πόλεμος δαιμονιώδης ἐν ἡμῖν σωίσεται, ἢ ἐξ ἀμελείας, ἢ ἐξ ὑπερηφανίας, ἢ ἐκ φθόνου δαιμόνων. Καὶ ἔστι πρὸ τοῖς πνευματικοῖς πολλάκις τινὰ διατελέσαντα πάθη ἐν Θεῷ οἰκονομικῶς καταλιμπανόμενα, ἵνα δι' ἐλεγχῶν τινῶν, καὶ ἁμαρτημάτων ἑαυτὸς λίαν καταμεμφόμενοι, πλοῦτον ἄσυλον ταπεινοφροσύνης κτησώμεθα.

Τοῦ Ἁγίου Ἀθανασίου ἐκ τῆς Ἀποκρίσεων.

Ἄ Γνοιάσι τινὲς, ἢ ὑπὸ Θεοῦ σκεπόμενοι, ἢ ψυχάς τινος ὑπάρχοντες κράσεως, ἢ ἐξ ἀσκήσεως ἑαυτὸς βιαζόμενοι, καὶ τινὰ μὴ κατακείροντες, ἢ ὑπερηφανίαν, ἢ φιλαργυρίαν αὐέχοντες, καὶ ὑπὸ τοῦ Σατανᾶ

καταφρονηθέντες, ὡς ἱκανῆς ἔσης τῆς οἰήσεως, καὶ τῆς φιλαργυρίας ὑπὲρ ὅλα τὰ πάθη, ἐνόχους αὐτοὺς ποιῆσαι τῆς αἰωνίου κολάσεως.

Τοῦ Χρυσοστόμου ἐκ τοῦ ε'. Ψαλμοῦ.

Ἐπειδὴ ὦ Χριστιανὲ τὸν Χριστὸν ἐνεδύσω διὰ τοῦ Βαπτίσματος, ἀσφαλίζου, μὴ τοῦ βασιλικοῦ πορφύραν σήψῃς, μὴ τὸν ἄσηπτον χιτῶνα σηπώσῃς, μὴ πορνείᾳ τὸ ἱμάτιον ἀσβολώσῃς, μὴ μοιχείᾳ τὸ ἔνδυμα βορβορώσῃς, μὴ ἁρπαγῇ φθείρῃς, μὴ βλασφημίᾳ μιάνῃς, μὴ αἱρετικῇ κακοδοξίᾳ ἀπολέσῃς, μὴ Ναυατικῇ ἀπανθρωπίᾳ ῥαχώσῃς, μὴ Εὐνομιανῇ ἀνομοιότητι βάψῃς, μὴ Ἀρειανικῇ ἑτεροουσιότητι ῥᾳδιάφαλτον ποιήσῃς, μὴ Μακεδονικῇ πνευματομαχίᾳ φορέσῃς, μὴ ἀθεΐᾳ Ἑλλήνων ἀπολέσῃς, μὴ Ἰουδαϊκῆς ἀπιστίας βρῶμον ὀζέσαι ποιήσῃς. ἀσφαλίζου τὸ τῆς ψυχῆς σου κιβώτιον σῶμα, καὶ καλῶς τήρει τὸ τοῦ Βαπτίσματος ἱμάτιον. μύεσον αὐτό, θυμίασον, βάλε πολλῶν προσευχῶν θυμιάματα, λέγε τῷ Θεῷ· Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου. Σωφρόνως τὸ ἱμάτιον τοῦ Βαπτίσματος ταῖς προσευχαῖς, καὶ ταῖς γονυκλισίαις τήνασε, ἵνα μὴ οἱ σῆτες τοῦ φαύλου λογισμοῦ τοῦτο διαφθείρωσιν. Οἴδασιν οἱ ῥᾳθέμβιοι Ἄγγελοι ὁποῖόν σοι τὸν χιτῶνα παρέθεντο, καὶ εἰς τὰ ἄνω βασιλικὰ βραβεῖα ἔγραψαν· ὁποῖόν σοι ἐδόθη ἱμάτιον αὐτοὶ ἔρχονται ἀπαιτῆσαι αὐτὸ ἀπὸ τῆς ψυχῆς σου. Ἐὰν μὴ εὕρωσιν ἄσπιλον τί ποιήσεις; οὐκ ἔτι κολυμβήθραν δίψεις, οὐχ Γερία. ἐκεῖ ποταμὸς πυρὸς ἐστὶν, Γορδανὴς οὐκ ἔστιν. Ἐρωτήσατε τοὺς ὧδε τοῦ βασιλέως ἱματιοφύλακας, καὶ παρ' ἐκείνων μάθετε πῶς ἀναγράφονται τοὺς τὰ βασιλικὰ καὶ ὁμάλιθα ἱμάτια λαμβάνοντας, πῶς τοὺς ἐπηρεμοῦντας τῷ ἱματίῳ μαργαρίτας ἀριθμῷ ῥᾳδιδόασι, καὶ ῥᾳδιλαμβάνουσι, πῶς τοιαῦτα ἀπαιτοῦσιν, οἷα καὶ παρέδωκαν. Εἰδὲ καίπου εἰς μαργαρίτης ἐκπεσὼν ἀπόλυται, μὴ πόσης ζημίας, καὶ θλίψεως τὸ ἀπολυόμενον αἰτιαθίσεται; Εἰ δὲ ὁμὰ φθαρτὸν μαργαρίτην τοσαύτη ἀσφάλεια, τὸν Οὐράνιον Μαργαρίτην πῶς δεῖ ἀσφαλίζεσθαι πλεῖον; τίνες οἱ τοῦ χιτῶνος μαργαρίται; Αἱ ἀρεταί. Ἄκουσον τοῦ καλοῦ ἱματιοφύλακος Παύλου λέγοντος. Ἐνδύσασθε ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ, ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, ταπεινοφροσύνην, καὶ τὰ ἑξῆς. Ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου. παραχωῶ δὲ λέγει τοῦτο ἐκ τῆς ἁμαρτίας γινομένου. Καθάπερ γὰρ ὅταν πνεύματα ῥαγδαῖα εἰς πέλαγος ἐμπνεύσῃ πάντα ταράττει, καὶ ἡ βυθία ἄνω φέρεται ψάμμος, καὶ οἱ πλέοντες ἐν κινδύνῳ, ἕτω δὴ καὶ ἐφ' ἡμῶν ταράττεται ἡ ψυχὴ, κινεῖται τὸ σῶμα, πάντα πλήρεται τοῦ χειμῶνος, καὶ μεσὸν ἡμῖν τὸ σκάφος παραχῦς, καὶ σκότος πολὺ, καὶ πάντα οἴχεται ἀπολιμπάνοντα τὸν οἰκεῖον τόπον, καὶ πολλὴ ἡ σύγχυσις. Τοῦτο μάλιστα καὶ ἐν ὀργαῖς, καὶ ἐν ἀσελγείαις συμβαίνειν εἴωθε· τοῦτο καὶ ἐν θυμῷ, καὶ ἐν συμφοραῖς. Πάντα γὰρ ταῦτα παράττει καὶ ψυχὴν καὶ ὄσα, καὶ αἱ κόραι διαστρέφονται, καὶ ἀδὲ οἱ ὀφθαλμοὶ καὶ τάξιν βλέ-

Ψαλμ. 140.

Πρὸς Κολ. 3. Ψαλμ. 6.

πουσιν.

πουσιν. Ἀλλ' ὥσπερ ἱππέως θορυβηθέντος, ἁπάντως οἱ ἵπποι φέρονται, ἕτω καὶ τοῦ λογισμοῦ θορυβηθέντος, πάντα συγχεῖται καὶ διαστρέφεται, καὶ τὴν οἰκείαν ὁδὸν ἀπόλλυσι. Καὶ πῶς αὕτη γίνεται ἡ παραχή; Οὐ γὰρ ὥσπερ ἐν θαλάσσῃ διὰ τὴν πνευμάτων ἐμβολὴν, ἕτω καὶ ἐν τῇ ψυχῇ διὰ τινα ἀδόκητον εἰσασιν, ἀλλὰ διὰ τὴν ἡμετέραν ῥαθυμίαν συμβαίνει. Καὶ γὰρ τοῦ ῥᾳθυμεῖν, καὶ τοῦ μὴ ῥᾳθυμεῖν, ἡμεῖς κύριοι τῆς ἐπιθυμίας ἀναπομπῆς. Ἂν γὰρ σὺ μὴ τὴν φλόγα ἀνάψῃς, οὐ καίεται ἡ κάμινος, ἂν μὴ ξυλα τῇ ὕλῃ, ἂν μὴ τὰς διμόρφους ὄψεις διεργάσῃ, ἂν μὴ τὰ ἄλλα κάλλη πολυφραγμονήσῃς, ἂν μὴ εἰς θέατρα διανομίας ἀναβλύσῃς, ἂν μὴ πτύσῃς τὴν σάρκα τῇ ξυφῇ, ἂν μὴ καταποντίσῃς οἴνῳ τὸν λογισμὸν, οὐκ αἴρεται ἡ φλὸξ, οὐκ ἀνάπτεται ἡ κάμινος, οὐ γίνεται χαλεπώτερον τὸ θηρίον, οὐ διατέμνεται καθάπερ ὑπὸ πνευμάτων ἀγρίων τῆς διανοίας τὸ καθαρόν. Ἀρκεῖ δὲ ταῦτα φησί; Οὐκ ἀρκεῖ ταῦτα· ἀλλὰ καὶ ἕτερα δεῖ προσθεῖναι· ψυχὰς διωκτικὰς, ἁγίων συνουσίαν, νηστείαν σύμμιξον, δίαιταν λιτὴν, ἀσχολίας ἀναγκαίας, φόβον τοῦ Θεοῦ, τὴν μέλλουσαν κρίσιν, τὰς ἀφορήτους κολάσεις, τὰς ἐπαγγελίας τῶν ἀγαθῶν, διὰ τούτων ἁπάντων δυώσαι χαλινῶσαι τὴν λυττῶσαν ἐπιθυμίαν, καὶ σῶσαι τὴν κυμαινομένην θάλασσαν.

Σεραπίωνος.

Ὅταν δὲ πολυχρονίῳ ἀσθενήσῃ, καὶ μελέτην, τῶν πνευματικῶν ἐν ἕξει γένηται τις τῶν καλῶν, καὶ μάθῃ ποῖα τῇ ἰδίᾳ μνήμῃ ἡμᾶς ὀφείλει παρασκευάζειν, τότε ἰσχύσει τοῦ πολεμίου τὰς προσβολὰς διόλου ἀποκρούσασθαι. Οὐ χρὴ τοίνυν τῆς ἡμετέρας καρδίας τὸν μετεωρισμὸν, ἢ τῇ ἀνθρωπίνῃ φύσει, ἢ τῷ παύτης Κτίσῃ Θεῷ ἀπογράφειν, ἀλλὰ τῇ τῆς προαιρέσεως ῥαθυμίᾳ.

Γωσίππου ἐκ τῶν Μακκαβαίων.

Ζητῶμεν τοίνυν εἰ αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ λογισμός. Διακείνομαι δὲ, τίποτε ἔξω λογισμός, καὶ πάθος, καὶ πόσαι παθῶν ἰδέαι, καὶ εἰ πάντων ἐπικρατεῖ τούτων. Καὶ λογισμὸς μὲν ἔστι νοῦς ὀρθὸς λόγῳ προτιμῶν τὸν τῆς σοφίας βίον. Σοφία δέ ἐστι γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων, καὶ τῶν τούτων αἰτιῶν. Αὕτη δὲ τοίνυν ἐστὶν ἡ τοῦ νόμου παιδεία, δι' ἧς τὰ θεῖα σεμνῶς, καὶ τὰ ἀνθρώπινα συμφερόντως μανθάνομεν. Τῆς δὲ σοφίας ἰδέαι καθεστήκασι τέσσαρες, Φρόνησις, Δικαιοσύνη, Σωφροσύνη, Ἀνδρεία. Κυριωτάτη δὲ πάντων ἐστὶν ἡ φρόνησις. Ἐξ ἧς δὲ τῶν παθῶν ὁ λογισμὸς κρατεῖ. Παθῶν δὲ φύσεις εἰσὶ προηγεμονικώτεραι δύο, Ἡδονὴ, καὶ Πόνος. τούτων δὲ ἑκάτερον καὶ πρὸς τὸν ψυχικὸν πέφυκε. Πολλαὶ δὲ καὶ πρὸς τὸν ἡδονικὸν χαραί. Καὶ πρὸ μὲν τοῦ πόνου ἐστὶ φόβος, μετὰ δὲ τὸν πόνον λύπη. Θυμὸς δὲ κοινὸν πάθος ἐστὶν ἡδονῆς καὶ πόνου. Ἐν τῇ ἡδονῇ δέ ἐστι καὶ κακοήθης διάθεσις, πολυεπιθυμητικώτατη πάντων ὅσα τῶν παθῶν. κατὰ μὲν τὸν ψυχικὸν, ἀλαζονεία καὶ βλασφημία, καὶ φιλαργυρία, καὶ φιλοδοξία, καὶ φιλονεικία, καὶ βασκανία. κατὰ

δὲ τὸ σῶμα, παντοφαγία, καὶ λαιμαργία, καὶ μονοφαγία. καθάπερ δυοῖν τοῦ σώματος καὶ τῆς ψυχῆς φυτῶν ὄντων, ἡδονῆς τε, καὶ πόνου. πολλαὶ δὲ τούτων εἰσὶ τῶν φυτῶν ἀδιαφυάδες, ὧν ἑκάστω ὁ παντεωργὸς λογισμὸς περικαθαίρων, καὶ ἀποκνίζων, καὶ ἀμπλέκων, καὶ ἐπάρδων, καὶ πάντα τρόπον μεταχείων, ἐξημεροῖ τὰς τῶν παθῶν ὕλας. Ὁ γὰρ λογισμὸς, τῶν μὲν ἀρετῶν ἐστὶν ἡγεμών, τῶν δὲ παθῶν αὐτοκράτωρ. Σωφροσύνη δὲ τοίνυν ἐστὶν ὑπακρατεία τῶν ὑπὸ θυμιῶν. Τῶν δὲ ὑπὸ θυμιῶν, αἱ μὲν εἰσὶ ψυχικαὶ, αἱ δὲ σωματικαὶ, ἀμφοτέρων δὲ τούτων ὑπακρατεῖν φαίνεται ὁ λογισμός. Ἐπεὶ πόθεν κινδύνῳ ὑπὸ τὰς ἀπειρημένας τροφὰς, ἀποτρεφόμεθα τὰς ἐξ αὐτῶν ἡδονάς; Οὐχ ὅτι δυνάται τῶν ὀρέξεων κρατεῖν ὁ λογισμός; ἐγὼ μὲν οἶμαι· ἀνέχεται γὰρ τὰ τῶν ὀρέξεων πάθη ὑπὸ τὸ σώφρονος λογισμοῦ, καὶ φιμοῦνται πάντα τὰ τοῦ σώματος κινήματα ὑπὸ τοῦ λογισμοῦ. Οὕτω γὰρ καὶ ὁ σώφρων Γωσὴφ ἐπαινεῖται. ὅτι νέος ὢν, καὶ ἀκμάζων πρὸς συνουσιασμὸν, ἠκύρωσε τῷ λογισμῷ τὸν τῶν παθῶν οἶστρον. Οὐ μόνον δὲ τὴν ὑπὸ τῆς ἡδυπαθείας οἰστρηλασίαν ὁ λογισμὸς ὑπακρατεῖν φαίνεται, ἀλλὰ καὶ πάσης ἡδυπαθείας καὶ ὑπο-
Δεύτ. 5. θυμίας. Λέγει δ' ἔν ὁ νόμος. Οὐκ ὑπὸθυμήσεις τῷ γυναῖκα τοῦ πλησίον σου, οὐδὲ ὅσα τῷ πλησίον σου ἐστίν. Ἐπεὶ τίνα τρόπον, εἰ μονοφάγος τις ὢν τὸ ἦθος, καὶ γαστρίμαργος, καὶ μέθυσος, μεταπαιδεύεται, εἰμὴ δηλονότι κύριός ἐστι τῶν παθῶν ὁ λογισμός; Πάλιν δὲ, καὶ ἀπὸ τῶν βιαιοτέρων παθῶν κρατεῖν ὁ λογισμὸς φαίνεται, φιλαργυρείας, καὶ κενοδοξίας, καὶ ἀλαζονείας, καὶ βασκανίας. Πάντα γὰρ ταῦτα τὰ κακοήθη πάθη ὁ σώφρων νοῦς ὑποτίθεσθαι βιάζεται, ὥσπερ καὶ τὸν θυμὸν, καὶ τοῦτο δεσπόζει. Θυμώμενος γέγονε Μωϋσῆς καὶ Δαβὶδ, καὶ Ἀβεσσαλὼμ, ἀλλ' οὐθυμῶ τι κατ' αὐτῶν ἐποίησεν, ἀλλὰ λογισμῷ τὸν θυμὸν διήτησε. Δυνατὸς γὰρ ὡς ἔφην ὁ σώφρων νοῦς καὶ τῶν παθῶν ἀρχεύσαι, καὶ τὰ μὲν αὐτῶν μεταθεῖναι, τὰ δὲ ἀκυρῶσαι. Ἐπεὶ ἀπὸ Γακὼβ τοὺς περὶ Συμεὼν καὶ Λευὶ αἰτιᾶται, ἀπὸ τοῦ τοὺς Σικιμίτας αἰφνίδιον ἀποκτεῖναι, λέγων·
Γεν. 34. Ἐπικατάρατος ὁ θυμὸς αὐτῶν; Ὀπλίνα γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον κατεσκεύασε, τοὺς τρόπους αὐτῷ καὶ τὰ ἤθη περιέφυτευσε. καὶ δὴ ὑπὸ πάντων, τὸν ἱερὸν ἡγεμόνα νοῦν ἀπὸ τῶν αἰσθητηρίων ἐνέδρονσε. καὶ τοῦτο νόμον ἔδωκε, καθ' ὃν πολιτευόμενος, βασιλεύσει βασιλείαν σώφρονά τε, καὶ δικαίαν, καὶ ἀνδρείαν. Πῶς ἔν, εἴποι τις, εἰ τῶν παθῶν δεσπότης ἐστὶν ὁ λογισμὸς, λήθης καὶ ἀγνοίας ὑ δεσπόζει; καὶ ἔστι νομιδῆ γελοῖος ὁ λόγος. Οὐ γὰρ τῶν ἑαυτοῦ παθῶν κρατεῖν ὁ λογισμὸς πέφυκεν, ἀλλὰ τῶν σωματικῶν. οἷον. Ἐπιθυμίαν τις ὑ δύναται ἐκκόψαι ἡμῶν. ἀλλὰ μὴ δηλωθεῖσαι τῇ ὑπὸθυμίᾳ δύναται ὁ λογισμὸς ἀπαχθῆναι. Θυμόντις ὑ δύναται ἐκκόψαι τῆς ψυχῆς. ἀλλὰ τῷ θυμῷ δυνατὸν τὸν λογισμὸν βοηθῆσαι. Κακοήθειάντις ἡμῶν ὑ δύναται ἐκκόψαι. ἀλλὰ εἰς τὸ μὴ καμφθεῖσαι τῇ κακοηθείᾳ δύναιτ' ἂν ὁ λογισμὸς συμμαχῆσαι. Οὐ γὰρ ἐκριζωτὴς ἐστὶ τῶν παθῶν ὁ λογισμὸς, ἀλλ' αὐ-

παγω-

ταγωνιστής. δυνατὸς γὰρ ἐστὶν ὁ σώφρων νοῦς νικῆσαι τὰς τῶν παθῶν ἀνάγκας, καὶ σβέσαι τὰς τῶν οἴστρων φλεγμονὰς, καὶ τὰς τῶν σωμάτων ἀλγηδόνας, καθ' ὑπερβολὴν ὕσας καταπαλαῖσαι, καὶ ἀποπτῦσαι πάσας τὰς τῶν παθῶν ὑπερατείας. Ἀλλ' ἴσως εἴποι τις. ὑ πάντες δυνατοῦσι τῶν παθῶν. ὅτι ὑδὲ πάντες φρόνιμον ἔχουσι τὸν λογισμόν. ἀλλ' ὅσοι τῆς δυσσεβείας φρονοῦσιν, ἐξ ὅλης τῆς καρδίας, ἔστι μόνοι δυνανται κρατεῖν τῶν τῆς σαρκὸς παθῶν.

Μαξίμου.

Αἱ μὲν ἀρεταὶ φυσικαὶ ἐν ἡμῖν ὑπάρχουσαι, καὶ ὑπῆσις ἐν ἅπασιν ἀνθρώποις. ἡ δὲ ἀνισότης ἐκ τοῦ μὴ ὑπῆσις ἐνεργεῖν τὰ τῆς φύσεως γίνεται. Ὡς εἴπερ πάντες ἴσως ἐφ' ᾧ καὶ γεγόναμεν ἐνεργοῦμεν τὰ φυσικὰ, μία ἂρα ἐδείκνυτο ἐν πᾶσιν ὥσπερ καὶ φύσις, οὕτω καὶ ἀρετὴ, τὸ μᾶλλον, καὶ ἧττον ὑπιδεχομένη. Καὶ ἐκ δὲ ἀσκήσεως φησὶν ἡμῖν ἡ ἀρετὴ, ἀλλ' ἐκ δημιουργίας. Πῶς πόνῳ καὶ ἀσκήσει τὰς ἀρετὰς κτώμεθα; Ἀλλ' ἡ ἄσκησις, καὶ οἱ ταύτῃ ἐπόμενοι πόνοι, πρὸς τὸ μόνον διαχωρίσαι τοῦ ἐμφυρεῖσαν δι' αἰσθήσεως ἀπάτην τῇ ψυχῇ ἐπενοήθησαν τοῖς φιλαρέτοις, ὑ πρὸς τὸ ἔξωθεν προσφάτως ὑπαγαγεῖν τὰς ἀρετάς. Ἔγκειται γὰρ ἡμῖν ἐκ δημιουργίας ὡς εἴρηται. Οὕτω καὶ ἅμα τελείως διακριθῇ ἡ ἀπάτη, ἅμα καὶ τοῦ τῆς ψυχῆς καὶ τοῦ τῆς κατὰ φύσιν ἀρετῆς λαμπρότητα ἐπιδείκνυται ἡ ψυχή. Εἰ γὰρ ὁ μὴ ἄφρων, φρόνιμος πάντως, καὶ ὁ μὴ δειλὸς, ἢ θρασὺς, ἀνδρεῖος, καὶ ὁ μὴ ἀπόλαστος, σώφρων, καὶ ὁ μὴ ἄδικος, δίκαιος. Ἆρα τῇ ἀφαιρέσει τῆς περὶ φύσει καὶ μόνον διαφαίνεσθαι εἰώθασιν, ὥσπερ καὶ τῇ τοῦ ὑποβολῇ ἡ τοῦ σιδήρου καὶ φύσιν αὐγὴ καὶ ἡ λαμπρότης. Ἀντίκειται δὲ τῇ μὲν φρονήσει ἡ πονηρία, καὶ ἡ ἀλήθεια, καὶ ἀληθιότης. τῇ δὲ δικαιοσύνῃ ἡ πλεονεξία, καὶ ἡ μειονεξία. τῇ δὲ σωφροσύνῃ ἡ πορνεία. τῇ δὲ ἀνδρεία ἡ θρασύτης, καὶ ἡ δειλία. Καὶ ὅτε τῇ σαρκὶ κατ' ἀρχὰς συνεκτίσθη ἡ ἡδονὴ καὶ ὀδύνη, ὅτε τῇ ψυχῇ ἡ λήθη καὶ ἡ ἄγνοια, ὅτε τῷ νῷ τῷ τυπῶσθαι καὶ μετατυπῶσθαι τοῖς εἴδεσι τῶν γεγονότων. Τούτων γὰρ ἡ προβάσις ἐξεῦρε τοῖς γένεσιν. Οἱ τοίνυν τῆς σαρκὸς ἐξελὼν τοῦ ἡδονῆ, καὶ τοῦ ὀδύνῃ, τοῦ πρακτικοῦ ἀρετῶ κατώρθωσεν. Οἱ δὲ τῆς ψυχῆς ἐξαφανίσας τοῦ λήθῃ, καὶ τοῦ ἄγνοιαν, τοῦ φυσικοῦ διώυσεν διαφερόντως θεωρίαν. Οἱ δὲ τὸν νοῦν τῶν πολλῶν ἀπολύσας τύπων, τοῦ θεολογικοῦ ἐκτήσατο μυσαγωγίαν, μόνῳ τῷ καὶ φύσιν, καὶ ὄντως Φωτὶ τῆς θεότητος καταλαμπόμενος, καὶ τοῦ φύσιν πρὸς ἑαυτοῦ ἀπεκατέστησεν ἄρτιον. σαρκὸς γὰρ καὶ ψυχῆς, καὶ νοῦ, ταῦτα τυγχάνει πρῶτα τε καὶ καθολικώτερα πάθη. Οἱ δὲ τὰ πάντα ἐν σοφίᾳ ποιήσας ἀξιώσοι ἡμᾶς μεταχεῖν τῆς αὐτοῦ Βασιλείας, καὶ τυχεῖν τῶν αἰωνίων αὐτοῦ ἀγαθῶν. Αὐτῷ γὰρ πρέπει τιμὴ, καὶ κράτος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΡΩ-

ΕΡΩΤΗΣΙΣ, Θ'.

Πόσοι τρόποι ἐγκαταλείψεως εἰσὶν, εἴτε εἰς θλίψεις, εἴτε εἰς ἀθυμίας, ἢ καὶ εἰς ἁμαρτίας, καὶ πῶς γνώσωμεν τὴν ἐκ τοῦ Θεοῦ παιδείαν, ἢ τὸν ἐκ τοῦ Διαβόλου πειρασμόν;

ΑΠΟΚΡΙΣΙΣ.

Πολλοὶ μὲν καὶ διάφοροι εἰσὶν ἐγκαταλείψεως τρόποι. Κατὰ δύο δὲ σκοπὸς τοῦ Θεοῦ πᾶσαι αἱ ἐγκαταλείψεις γίνονται, ἢ πρὸς ὑπερφρονισμὸν, ὡς Πατὴρ πρὸς υἱὸν, ἢ καὶ ἀποστροφὴν, ὡς Βασιλεὺς πρὸς ἐχθρόν. οἷα καὶ τοῦ Γεδεὼν ὑστερον ἐγκατάλειψις. Ἐγκατελείφθη ὁ Λάζαρος, καὶ ὁ Παράλυτος πρὸς ἄφεσιν ἁμαρτιῶν. φησὶ γάρ. Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε. Ἐπαιδεύθη ὁ Παῦλος δι' ὄγκον καταθυμάτων, ἵνα μὴ ὑπεραίρωμαι φησίν. Ἐπαιδεύθη Γὼβ, ἵνα δικαιότερος γένηται, ὡς φησὶν ὁ Θεὸς πρὸς αὐτόν. Μὴ ἀποποιοῦμαι τὸ κεῖμα, μηδὲ οἶμαι ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα δίκαιος ἀναφανῇς. Παρεδόθησαν καὶ οἱ Προφῆται εἰς αἰχμαλωσίαν, πρὸς τύπον καὶ ὠφέλειαν τοῦ λαοῦ. Χρὴ μέντοι τὸν ἐγκαταλιμπανόμενον, ἐρευνᾶν εἰς ἑαυτὸν τὴν αἰτίαν τῆς ἐγκαταλείψεως, καὶ διορθοῦσθαι πάντως, δι' ἣν ἢ ὑπὸ ἐχθρῶν καταδυναστεύεται, ἢ ὑπὸ φίλων ὑβρίζεται, ἢ ὑπὸ ἐλαττόνων καὶ ἀγροικοτέρων ὀξυθυμεῖται καὶ ἀτιμάζεται, ἢ εἰς πάθη ἀτιμίας, καὶ θλίψεις, καὶ ἀρρωστίας παραδίδοται, καὶ κεῖμα δίκαιον Θεοῦ. Πολλάκις γὰρ, ἢ ἐξ ὑπερηφανίας καὶ μεγαλαυχίας, ἢ ἐκ τοῦ κενεῖν ἄλλως, ἢ ἐκ τοῦ μνησικακεῖν, ἢ ἐκ τοῦ μὴ μέμφεσθαι ἑαυτοὺς καὶ κατακρίνειν, ἢ ἐκ προλαβόντων ἁμαρτημάτων παραδιδόμεθα εἰς ψυχικὰ, καὶ σωματικὰ πάθη. Εἰ γὰρ ἑαυτοὺς φησὶ διεκρίναμεν, οὐκ ἂν ἐκρινόμεθα, κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ Κόσμῳ κατακριθῶμεν. Πολλάκις γὰρ τὸν ἁμαρτάνοντα, καὶ μὴ μετανοοῦντα, βάλλει ὁ Θεὸς εἰς πειρασμοὺς καὶ θλίψεις, καὶ διὰ τῶν πειρασμῶν ἔρχεται εἰς ἐπίγνωσιν, ὥσπερ ὁ Ναβουχοδονόσωρ ἔπαθε, καὶ ὁ Μανασσῆς. Ἐν κημῷ γὰρ φησὶ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄξεις τοῦ μὴ ἐγγιζόντων πρὸς σέ. Καὶ ἡ μὲν ἐκ Θεοῦ παιδεία, καὶ ὁ πειρασμὸς, πρὸς τὸ συμφέρον ἐπερχόμενοι τῷ ἀνθρώπῳ, οὐδέποτε τοῦ ἀγαθοῦ ἐλπίδα ἀποκόπτουσιν ἐκ τῆς ψυχῆς. οἷος ἦν ὁ Γὼβ λέγων τῷ Θεῷ. Ὑπομεῖνόν με ἕως οὗ πάλιν γένωμαι, καὶ τάξεις μοι χρόνον, ἐν ᾧ μνείαν ποιήσῃ μου. Καὶ πάλιν· Μακάριος ἄνθρωπος, ὃν ἤλεγξεν ὁ Κύριος. νουθέτημα δὲ Παντοκράτορος μὴ ἀπαναίνου. Αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησιν. ἔπαισε, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο. ἐξάκις ἐν ἀναγκῶν ἐξελεῖταί σε, ἐν δὲ τῇ ἑβδόμῳ οὐ μὴ ἅψηταί σου τοῦ κακοῦ. Ὁ δὲ

Γωὴ. 5. Πρὸς Κορ. β'. 12. Γὼβ. 40.

Πρὸς Κορ. ά. 11.

Ψαλμ. 31.

Γὼβ. 14. καὶ 5.

ἐκ

ἐκ τοῦ Διαβόλου, καὶ συγχώρησιν Θεοῦ ἐπερχόμενος πειρασμὸς, ἀθυμίας καὶ ὀργῆς, καὶ ἀπελπισίας πληροῖ τοῦ ψυχοῦ. Οὐ μόνον δὲ, ἀλλὰ καὶ ἐξ ἰδίας πολλάκις ἀμελείας καὶ αὐθαδείας, συμφοραῖς καὶ πειρασμοῖς, καὶ ἀσθενείαις περιπίπτομεν. οἷον πάσχουσιν οἱ θεωροῦντες χειμερινὸν ἀέρα ἕπεσθαι, καὶ τὸ λιμένος τοῦ ναῦν ὑπεξάγοντες, καὶ ἄλλοις κινδύνοις καὶ πειρασμοῖς προσπίπτοντες ἑαυτοὺς ὑπορρίπτοντες. Τῆς Ἐξόδου. Κεφ. 15.

Ἐκεῖ ἔθετο Κύριος τῷ Μωϋσῇ δικαιώματα καὶ κρίσεις, καὶ ἐκεῖ αὐτὸν ἐπείραζε, καὶ εἶπεν. Ἐὰν ἀκοῇ ἀκούσῃς τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιήσῃς, καὶ φυλάξῃς πάντα τὰ δικαιώματά μου, πᾶσαν νόσον, ἣν ἐπήγαγον τοῖς Αἰγυπτίοις, οὐκ ἐπάξω ὅτι σέ. Ἐγὼ γὰρ εἰμὶ Κύριος ὁ ἰώμενός σε. Τοῦ Δευτερονομίου. Κεφ. 8.

Καὶ μνησθήσῃ πάσαν τὴν ὁδὸν, ἣν ἤγαγέ σε Κύριος ὁ Θεός σου ἐν τῇ ἐρήμῳ, ὅπως ἂν κακώσῃ σε καὶ πειράσῃ σε, καὶ φανερωθῇ τὰ ἐν τῇ καρδίᾳ σου, εἰ φυλάξῃς τὰς ἐντολὰς αὐτοῦ, ἢ οὔ, καὶ ἐκάκωσέ σε, καὶ ἐλιμαγχόνησέ σε, καὶ γνώσῃ τῇ καρδίᾳ σου, ὅτι ὡς εἴτις ἄνθρωπος ἐκπαιδεύσει τὸν υἱὸν αὐτοῦ, οὕτω καὶ Κύριος ὁ Θεός σου παιδεύσει σε, καὶ ἵνα κακώσῃ σε, καὶ ἵνα ἐκπειράσῃ σε, καὶ εὖσε ποιήσῃ ἐπ' ἐσχάτου σου. Τῶν Κριτῶν. Κεφ. 2.

Καὶ ἀφῆκε Κύριος τὰ ἔθνη ταῦτα τοῦ μὴ ἐξᾶραι αὐτὰ τὸ πάχος, καὶ οὐ παρέδωκεν αὐτὰ ἐν χειρὶ Ἰησοῦ. ὥστε πειρᾶσαι ἐν αὐτοῖς τὸν Ἰσραὴλ, εἰ φυλάξωνται τοῦ ὁδὸν Κυρίου πορεύεσθαι ἐν αὐτῇ, ὃν τρόπον ἐφύλαξαν οἱ Πατέρες αὐτῶν, ἢ οὔ. Τοῦ Δαβίδ. Ψαλ. 25. καὶ 117. καὶ 93. καὶ 2.

Δοκίμασόν με Κύριε, καὶ πείρασόν με. καὶ, Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος. καὶ, Μακάριος ἄνθρωπος, ὃν αὐ παιδεύσῃς Κύριε. καὶ, Δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος. Τοῦ Σολομῶντος. Σοφ. Κεφ. 3.

Ὀλίγα παιδευθέντες οἱ Ἅγιοι, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτοὺς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι. καὶ, Διὸ τοὺς παραπίπτοντας κατὰ μικρὸν ἐλέγχεις, καὶ ἐν οἷς ἁμαρτάνουσιν ὑπομιμνήσκων νουθετεῖς, ἵνα ἀπαλλαγέντες τῆς κακίας πιστεύσωσιν ἐπὶ σὲ Κύριε. Τῆς Ἰουδήθ. Κεφ. 8. Σοφ. 12.

Ἐξομολογήσωμαι Κυρίῳ τῷ Θεῷ ἡμῶν, ὃς πειράζει ἡμᾶς, καθὰ καὶ τοὺς Πατέρας ἡμῶν. Μνήσθητε ὅσα ἐπείρασε τὸν Ἀβραὰμ, καὶ τὸν Ἰσαὰκ, καὶ τὸν Ἰακὼβ, καὶ ἐπύρωσεν εἰς ἐπασμὸν τὰς καρδίας αὐτῶν, ὅτι εἰς νουθεσίαν μᾶς γέγραπται Κύριος πάντας τοὺς ἐγγίζοντας αὐτῷ. Τοῦ Σειράχ. Ἐκκ. Κεφ. 2.

Πᾶν ὃ ἐὰν ἐπενεχθῇ σοι δέξαι, καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον. ὅτι ἐν πυρὶ δοκιμάζεται ὁ χρυσὸς, καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου. καὶ, Ἕως καιροῦ ἀνθέξεται μακρόθυμος, καὶ ὕστερον ἀποδώσει αὐτῷ εὐφροσύνη, καὶ χείλη πιστῶν Ἐκκ. 1.

ἐκ-

Ε'κκλ. 38. ἐκδικηθήσονται σωθέσιν αὐτῶ. καὶ, Ε'ν ἀῤῥωστήματί σε μὴ ἀβλέπε, ἀλλ' εὔξαι Κυρίῳ, καὶ αὐτὸς ἰάσεταί σε. Ἀπόθεσον πλημμέλειαν, καὶ εὔθιον χεῖρας, καὶ ἀπὸ πάσης ἁμαρτίας καθάρισον καρδίαν. Τῦ Ὡσηέ. Κεφ. 10.

ΙΝα τί παρεσιωπήσατε ἀσέβειαν, καὶ τὸν καρπὸν αὐτῆς ἐξυγήσατε; Μιχαίε. Κεφ. 7.

ΟΡγιῶ Κυρίε ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ ἕως τῦ δικαιῶσαι αὐτὸν τὴν δίκην με, καὶ ποιήσει τὸ κρίμά με, καὶ ἐξάξει με εἰς φῶς, καὶ ὄψομαι τὴν δικαιοσύνην αὐτῦ. Ναούμ. Κεφ. 1.

ΧΡηστὸς Κύριος τοῖς ὑπομένουσιν αὐτὸν ἐν ἡμέρᾳ θλίψεως, καὶ γινώσκων τὰς διαβεβηκυίας αὐτόν. Τῦ Ησαΐε. Κεφ. 21.

ΝΥνὶ σοι ἀνάξω, καὶ παρακαλέσω ἑμαυτόν. διότι ἐπλήθη ἡ ὀσφύς με ἐκ λύσεως, καὶ ὠδίνες ἔλαβόν με ὡς τὴν τεκοῦσαν. ἠδίκησα τῦ μὴ ἀκοῦσαι. ἐπλάνησα τῦ μὴ βλέπειν. ἡ καρδία με πλανᾶται. ἡ ἀνομία με βαπτίζει. ἡ ψυχή με ἐφόβησε εἰς φόβον. Καὶ ὅταν ἡ ὀργὴ τῦ θυμῦ με γένηται, φησὶν ὁ Θεὸς, πάλιν ἰάσομαι. καὶ, Χρόνον μικρὸν ἐγκατέλιπόν σε, καὶ μετ' ἐλέους μεγάλου ἐλεήσωσε. Καὶ ἐν θυμῷ μικρῷ ἀπέστρεψα τὸ πρόσωπόν με ἀπὸ σοῦ, καὶ ἐν ἐλέει αἰωνίῳ δοξάσω, καὶ ἐλεήσωσε, εἶπεν ὁ ῥυόμενός σε Κύριος. Καὶ ὀργὴ εἰς τὸν αἰῶνα ἐκδικήσω ὑμᾶς, λέγει Κύριος, καὶ δέ ἀπαντὸς ὀργισθήσομαι ὑμῖν. Πνεῦμα γὰρ παρ' ἐμῦ ἐξελεύσεται, καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα. δι' ἁμαρτίαν βραχύ τι ἐλύπησα αὐτὸν, καὶ ἐπάταξα αὐτὸν, καὶ ἀπέστρεψα τὸ πρόσωπόν με ἀπ' αὐτῦ, καὶ ἐλυπήθη, καὶ ἐπορεύθη συγκὸς ἐν ταῖς ὁδοῖς αὐτῦ, καὶ ἑώρακα τὰς ὁδὸς αὐτῦ, καὶ ἰασάμην αὐτὸν, καὶ παρεκάλεσα αὐτὸν, καὶ ἔδωκα αὐτῷ παράκλησιν ἀληθινήν. Βαρούχ. Κεφ. 4.

ΤΕκνα, μακροθυμήσατε τὴν παρὰ τῦ Θεῦ ἐπελθοῦσαν ὑμῖν ὀργήν. Καταδίωξε γάρ σε ὁ ἐχθρός σε; καὶ ὄψει αὐτῦ τὴν ἀπώλειαν ἐν τάχει, καὶ ἐπὶ ῥαχίας αὐτὸν ἐπιβήσῃ. Θαρσεῖτε τέκνα, καὶ βοήσατε πρὸς τὸν Θεόν· ἔσαι γὰρ ὑμῶν ὑπὸ τῦ ἐπαγαγόντος μνεία. Ὡς γὰρ ἐγνόετο ἡ διάνοια ὑμῶν εἰς τὸ πλανηθῆναι ὑμᾶς ἀπὸ τῦ Θεῦ, δεκαπλασιάσατε ἐπιστραφέντες ζητῆσαι αὐτόν. Ο' γὰρ ἐπαγαγὼν ὑμῖν τὰ κακὰ, ἐπάξει ὑμῖν τὴν αἰώνιον εὐφροσύνην μετὰ τῆς σωτηρίας ὑμῶν. Τῦ Εὐαγγελίε. Γωάν. Κεφ. 16.

ΕΙπεν ὁ Κύριος, ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ Κόσμος χαρήσεται, ὑμεῖς δὲ λυπηθήσεσθε· ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεσθαι. καὶ, Παραδοθήσεσθε ὑπὸ γονέων, καὶ ἀδελφῶν, καὶ συγγενῶν, καὶ φίλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ Ο'νομά μου. Ε'ν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Λεκ. 21.

Γακώβε τῦ Α'δελφοθέε. Κεφ. 1.

ΜΑκάριος ἀνὴρ, ὃς ὑπομένει πειρασμὸν, ὅτι δόκιμος γενόμενος, λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν.

Πέτρε τῦ Α'ποστόλε. Α'. Κεφ. 2.

ΤΟῦτο γὰρ χάρις, εἰ διὰ συνείδησιν Θεῦ ὑποφέρει τις λύπας, πάσχων ἀδίκως. Ποῖον γὰρ κλέος εἰ ἁμαρτάνοντες, καὶ κολαφιζόμενοι ὑπομενεῖτε; καὶ, Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χρισῦ, μακάριοι· ὅτι τὸ τῆς δόξης καὶ τὸ τῦ Θεῦ Πνεῦμα ἐφ' ὑμᾶς ἀναπαύσεται. Μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φονεὺς, ἢ κλέπτης, ἢ κακοποιὸς, ἢ ὡς ἀλλοτριοεπίσκοπος· εἰ δὲ ὡς Χρισιανὸς, μὴ αἰσχυνέσθω. Κεφ. 4.

Παύλε τῦ Α'ποστόλε. Πρὸς Κορινθίους, Α'. Κεφ. 4.

ΛΟιδορούμενοι εὐλογοῦμεν· διωκόμενοι ἀνεχόμεθα· βλασφημούμενοι παρακαλοῦμεν· ὡσπερεὶ καθάρματα τῦ Κόσμε ἐγενήθημεν πάντων περίψημα ἕως ἄρτι. καὶ, Οὐ μόνον δὲ, ἀλλὰ καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες ὅτι ἡ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. καὶ, Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι, καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται. Τέκνον με, μὴ ὀλιγώρει παιδείας Κυρίε, μηδὲ ἐκλύε ὑπ' αὐτῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός. Τίς γάρ ἐστιν υἱὸς, ὃν οὐ παιδεύει πατήρ; καὶ τὰ ἑξῆς. Πᾶσα δὲ παιδεία, πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης, ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσιν εἰς σωτηρίαν. Κεφ. 4.

Τῦ Α'γίε Βασιλείε ἐκ τῦ εἰς τὴν ἀρχὴν τῶν Παροιμιῶν.

ΤΑύτην ἔν τε παιδείαν γνῶναι, καὶ τῆς τυχούσης ἐστὶ διανοίας. Διὸ πολλοὶ πρὸς τὸ τῶν γινομένων ὄπιπονον ἀπαγορεύσαντες, τὸ τῆς ἐκβάσεως ὠφέλιμον ὑπὸ ἀμαθείας ἐκ ἀναμένουσιν, ἀλλὰ δυσαναχετήντες πρὸς τὸ τῆς ὀπιμελείας αὐσηρὸν, τοῖς τῆς ἀμαθείας ἀῤῥωστήμασιν ἐναπέμειναν. Διὰ τῦτο θαύματος ἄξιαι τῶν δικαίων αἱ φωναὶ τῶν λεγόντων. Κύριε μὴ τῷ θυμῷ σε ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σε παιδεύσῃς με· ἃ γὰρ τὴν παιδείαν παραιτῦνται, ἀλλὰ τὴν ὀργήν. Τέτῳ παρεπλήσιον ἐστὶ καὶ τὸ, Παίδευσον ἡμᾶς Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ, καὶ τὸ, Η' παιδεία Κυρίε ἀνοίγει με τὰ ὦτα. Αὕτη γὰρ ἡ παιδεία πολλῶν χρημάτων ἐστὶ τιμιωτέρα. Διὸ φησὶν ὁ Σολομών. Λάβετε παιδείαν, καὶ μὴ ἀργύριον. ἵνα ἐν καιρῷ παρασάσεως, ἢ τῦ σώματος κάμνοντος, ἢ τῶν καὶ τὸν οἶνον πεπονηκότων, μήποτε πονηρὰν ὑπόνοιαν λάβῃς περὶ Θεῦ, ἀλλ' ἐν ὑπομονῇ πολλῇ δέχῃ αὐτῦ τὰς πληγὰς, παιδευόμενος ἐν οἷς ἥμαρτες, καὶ λέγεις καὶ σὺ, Τῷ ὀργῷ Κυρίε ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ. Καὶ τὸ, Ἀγαθόν μοι ὅτι ἐταπεινωσάς με, οἷος καὶ ὁ Παῦλος λέγων· Παιδευόμενοι ὑπὸ Κυρίε, καὶ μὴ θανατούμενοι.

Προς Ρωμ. 5. Προς Εβρ. 12. Κεφ. 4. Ψαλ. 6. Ιερ. 10. Μιχ. 7. Ψαλμ. 118. Προς Κορ. β'. 6. Παρ. 8.

Τῶ αὐτῶ ἐκ τῆς Ἀσκητικῶν.

Οὕτω καὶ οἱ παλαιοὶ τὴν εἰς Θεὸν ἐλπίδα διὰ πόνων πολλῶν ἐδιδάσκοντο. Καταπονέμενος γὰρ ὁ Γωσὴφ ὅτι δέκα καὶ τρισὶν ἔτεσι, πράσει συκοφαντίαις, δεσμωτηρίοις, μὴ τὰς λαμπρὰς ἐκείνας καὶ μεγάλας ὑποσχέσεις τῶ Θεῶ, τὰς διὰ τῆς ἐνυπνίων. ἀλλ' ὕστερον παρ' ἐλπίδα, Κύριος Αἰγύπτου καθίσταται. Δαβὶδ δὲ ὁ μόνον ὑποσχεσιν, ἀλλὰ καὶ χρίσμα Βασιλέως λαβὼν, ἐκινδύνευσεν, ἔφυγε, κατεκρύπτετο, πρὸς ἀλλοφύλους ἀπεδίδρασκε, φθόνῳ τῶ τότε βασιλεύοντος ἐλαυνόμενος. ἀλλ' ὕστερον καὶ τῶ παραδιώκοντος τὴν πῶσιν ἐώρακε, καὶ τὴν βασιλείαν ἀπέλαυε. Πολλὰ γὰρ τὰ συμβαίνοντα τοῖς Δικαίοις πειρατήρια, καὶ γυμνάσματα τῆς ἐλπίδος, πόσῶν χρόνον μὴ πληροῦσθαι τῆς ἐλπιζομένων, ἀλλὰ τῆς ἐναντίων ἀπαντώντων. Τί γὰρ προσδοκᾶν ἰῶ εἰκὸς τὸν Γωσὴφ πιπρασκόμενον; πῶς τὴν προσκυνήσιν κεχωρηκέναι νομίζειν, ἰῶ ἐπηγγείλατο τὰ ἐνύπνια; Τί δὲ ὁ Δαβὶδ ὁ κεχρισμένος Βασιλεὺς κακοπαθῶν ὡς αἰχμάλωτος, καὶ φυγὰς ὡς κακοποιός; Τί δὲ περὶ τῶ χρίσματος εἶχε λογίζεσθαι; Ἀλλ' ἐκ ἀπήλπιζον τὰς τῆς ἀγαθῶν ὑποσχέσεις, διὰ τὰς τῆς κακῶν περιπώσεις. διὰ τῶτο ἕμενον ἀβλαβεῖς, ὅδον πλέον τῆς εἰς Θεὸν ἐλπίδος ζητοῦντες. διὸ καὶ ἐπέτυχον τῆς ἐλπίδος. Τί δ' ἂν εἴποις περὶ τῶ Ἀβραὰμ, ὡς εἰς θυσίαν προσφέρειν καλούμενος τὸν υἱόν; περὶ ὃ ἐχρη-
Γεν. 21. ματίζετο, Ὅτι ἐν Γσαὰκ κληθήσεταί σοι σπέρμα. Πῶς ἐκ ἐδίσασεν, ἢ εἶπεν. Ὦ Δέσποτα τὸν Γσαὰκ προσοίσω; καὶ πῶς τὰ τῆς ἐπαγγελίας πληρωθήσεται; Ἀλλ' ὅδον τοιῶτον ἐνενόησεν, ἢ ἐλάλησε. διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Οὕτως γὰρ ματαία ἐλπὶς ἅπασα, πλὴν τῆς εἰς Θεὸν ἐλ-
Ψαλμ. 33. πίδος. Εἴτε πλούτῳ τις ἐλπίζει, Πλούσιοι ἐπτώχευσαν, καὶ ἐπείνασαν, οἱ
Ἱερ. 17. δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθῶ. Εἴτε ἐπ' ἀνθρώπῳ τις πέποιθεν, Ἐπικατάρατος ὁ ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, καὶ σηρίζει σάρκα βραχίονος αὐτῶ ἐπ' αὐτὸν, καὶ ἀπὸ Κυρίου ἀποστῇ ἡ καρδία αὐτῶ. καὶ, Εὐλογημένος ὁ ἄνθρωπος, ὃς πέποιθεν ὅτι τῷ Κυρίῳ, καὶ
Ψαλμ. ἔσται Κύριος ἐλπὶς αὐτῶ. καὶ, Ἀγαθὸν πεποιθέναι ὅτι Κύριον, ἢ πεποι-
117. καὶ 32. θέναι ἐπ' ἄνθρωπον. Ἀγαθὸν ἐλπίζειν ὅτι Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχοντας. καὶ, Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δυνάμιν, καὶ γίγας ἐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτῶ· Ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτῶ ἐ σωθήσεται. Γὰρ οἱ ὀφθαλμοὶ Κυρίου ὅτι τοὺς φοβουμένους αὐτὸν, τοὺς ἐλπίζοντας ὅτι τὸ ἔλεος αὐτῶ, ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ. Μαξίμου ἐκ τῆς Κεφαλαίων.

Πάντα μὲν ἄνθρωπον ἐκ ψυχῆς ἀγαπητέον, ὅτι τῷ Θεῷ δὲ μόνῳ τὴν ἐλπίδα θετέον, καὶ ἐξ ὅλης ἰσχύος αὐτὸν θεραπευτέον. Ἐφ' ὅσον γὰρ ἡμᾶς αὐτὸς σωτηρεῖ, οἵτε φίλοι πάντες ἡμᾶς περιέπουσι, καὶ οἱ ἐχθροὶ πάντες πρὸς ἡμᾶς ἀδυνατοῦσιν. Ἐπὰν δὲ αὐτὸς ἡμᾶς ἐγκαταλίπῃ, οἵτε φί-

λοι

λοι πάντες ἡμᾶς ὑποσρέφονται, καὶ οἱ ἐχθροὶ πάντες καθ' ἡμῶν ἐνισχύουσι. Καὶ ὅταν σοι ἐπέλθῃ ἐξ ἀπροσδοκήτου πειρασμὸς, μὴ τὸν δι' ὃ αἰτιῶ, ἀλλὰ τὸ διατί ζήτει, καὶ διόρθωσιν. Ἐπεὶ εἴτε δι' ἐκεῖνα, εἴτε δι' ἄλλα, πιεῖν εἶχες πάντως τῆς τῶ Θεῶ κεμμάτων τὸ ἀψίνθιον. Καὶ ἢ δι' ἑαυτῆς ἡμᾶς οἱ δαίμονες ἐκπειράζουσιν, ἢ τοὺς μὴ φοβουμένους τὸν Κύριον καθ' ἡμῶν ὁπλίζουσι. Καὶ δι' ἑαυτῶν μὲν, ὅταν ἐκ τῆς ἀνθρωπίνων ἰδιάσωμεν, ὥσπερ καὶ τὸν Κύριον ἐν τῇ ἐρήμῳ. Διὰ ἀνθρώπων δὲ, ὅταν μετ' αὐτῶν σωδιαζώμεθα, ὥσπερ καὶ τὸν Κύριον διὰ τῆς Φαρισαίων. ἀλλ' ἡμεῖς εἰς τὸν Θεὸν τὸν Ποιητὴν ἡμῶν ἀποβλέπομεν, ἀμφοτέρωθεν αὐτοὺς ἀποκρουσώμεθα.

Τῶ αὐτῶ ἐκ τῆς Κεφαλαίων.

Οἱ καὶ τὸν βίον τοῦτον ὑπὸ τῆς Θείας Προνοίας εἰς δυσέβειαν ἐγγυμναζόμενοι διὰ τῆς ξιῶν τοῦτων πειρασμῶν δοκιμάζονται. οἷον· ἢ διὰ τῆς τῆς ἡδέως δόσεως, ὡς ὅτι ὑγιείας, καὶ δυνηνίας, καὶ χρημάτων, καὶ δόξης, καὶ τῆς ὁμοίων· ἢ διὰ τῆς ὀδυνηρῶ ἐμποιούντων τῷ σώματι· οἷον, νοσημάτων, καὶ βασάνων, καὶ τῆς ὁμοίων· ἢ διὰ τῆς τῇ ψυχῇ προσγινομένων λογισμῶν ἀναθάρτων, ἁμαρτίας ῥυπώντων, καὶ δόγματα ψευδῆ. Καὶ πρὸς μὲν τοὺς πρώτους λέ- Λευ. 14.
γει ὁ Κυριος· Εἴτις ἐκ ὑποτάσσεται πᾶσι τοῖς ὑπάρχουσιν αὐτῶ, ὁ δυνατά μὰ εἶναι μαθητής. Πρὸς δὲ τοὺς δευτέρους, καὶ ξίτους· Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν. Γωάννου τῆς Κλίμακος.

Μὴ θαμβοῦ καὶ τοὺς σοὺς προσφιλεῖς ἐχθραίνοντας σοι θεώμενος. Δαιμόνων γὰρ ἐργαλεῖα οἱ ἀσθενέστεροι, καὶ μάλισα ἐν τοῖς ἐχθροῖς αὐτῶν.

Τῶ Χρυσοσόμου ἐκ τῆς πρὸς Κορινθίους Α'. Ἐπισολῆς.

Οὐδὲν ὄφελος ἡμῖν ἐσὶ καὶ τὰ δοκιμῶμεν, τῷ Θεῷ δὲ προσκρούομεν. Καὶ ὁδεὶς κίνδυνος πᾶν πάντες ἡμᾶς ὑποσρέφονται καὶ μισῶσιν, ὁ δὲ Θεὸς ὑποδέχεται καὶ φιλεῖ. Ἢ γὰρ ὄντως χάρις, ἢ ὄντως εἰρήνη διὰ τῶ Θεοῦ. Ἄσατον γὰρ τὸ τῆς ἀνθρώπων γένος. Καὶ ὁ φίλοι μόνον, ὁδὲ ἀδελφοὶ, ἀλλ' ἤδη καὶ πατέρες μεταβαλλόμενοι, πολλάκις ὑπὸ μικρᾶς αἰτίας τοῦτον, ὃν ἐθρήνησαν, καὶ ἀνέθρεψαν, ὡς πολέμιον ἤλασαν. καὶ παῖδες πατέρας ἐξέβαλον. Σκόπει δέ. Εἶχε γὰρ ὁ Δαβὶδ χάριν διὰ Θεῷ, εἶχε χάριν ὁ Ἀβεσαλὼμ διὰ ἀνθρώποις. οἷον ἦν τέλος ἑκάτερος ἔχε; καὶ τίς μᾶλλον ὁδοκίμησεν ὕστερον; Εἶχε χάριν ὁ Ἀβραὰμ διὰ τῷ Θεῷ, ὁ δὲ Φαραὼ Γεν. 18.
διὰ ἀνθρώποις, χαριζόμενοι δὲ αὐτῷ τὴν γυναῖκα τὸ Δικαίε παρέδωκαν. Τίς ἦν λαμπρότερος γέγονε; παντὶ πε δῆλον. Καὶ τί λέγω περὶ δικαίων; Εἶχον χάριν οἱ Γσραηλῖται διὰ Θεῷ, ἐμισοῦντο δὲ διὰ ἀνθρώπων τῷ Αἰγυπτίων· ἀλλ' ὅμως τῷ μισούντων διελεγχόντο, καὶ ἐκράτησαν, καὶ κατέβαλον. Τοῦτο τοίνυν ἀποδάσωμεν ἅπαντες, καὶ δῆλος ᾖ τις, καὶ ἐλεύθερος, ἐχέτω διὰ τῷ Θεῷ χάριν δρεῖν, καὶ ἔτω διὰ ἀνθρώποις ἐπέρασος ἔσαι καὶ ἀποδεκτος.

Τῷ αὐτῷ εἰς τὸν ε'. Ψαλμόν.

Πολλοὶ τοίνυν ἐν τοῖς οἴκοις πολέμους ἔχουσι. Καὶ ὁ μὲν ὑπὸ γυναικὸς πολεμεῖται, ὁ δὲ ὑπὸ τέκνων πολιορκεῖται. ἄλλος ὑπὸ ἀδελφοῦ, ἕτερος ὑπὸ οἰκέτου δαμάζεται. καὶ ἕκαστος ἀκηδίᾳ, καὶ δυσχεραίνει, καὶ μάχεται, καὶ πολεμεῖ, καὶ πολεμεῖται. Καὶ οὐδεὶς ἑαυτὸν λογοθετεῖ ἐννοῶν, ὅτι εἰ μὴ ἁμαρτίας ἔσπειρον, οὐκ ἂν ἐν τῷ οἴκῳ αὐτοῦ ἄκανθαι καὶ βόβολοι ἀνέβησαν. εἰ μὴ ἀσινθῆρας ἁμαρτιῶν ἔκρυψεν, οὐκ ἂν ὁ οἶκος αὐτοῦ κατεφλέγετο. Ὅτι γὰρ ἁμαρτιῶν εἰσὶ καρποὶ τὰ οἰκεῖα κακά, καὶ δημίας ἐμφυλίους διὰ τὰς ἁμαρτάνοντος χειροτονεῖ ὁ Θεός, μάρτυς ἡ Θεία Γραφή. Πολεμεῖσε ἡ γυνή, εἰσελθόντι ὡς θηρίον ἀπαντᾷ, τῇ γλώσσαν ὡς μάχαιραν ἔχει καὶ ἀκονᾷ. λυπηρὸν μὲν τὸ φάγμα, ὅτι ὁ βοηθὸς ἀντίπαλος γίνεται. Ὅμως ἑαυτὸν ἐρεύνησον, μήπως ἐν νεότητι εἰς γυναῖκα ἐνεωτέρισας, καὶ τὸ γυναικεῖον βαῦμα διὰ γυναικὸς θεραπεύεται, καὶ τῇ ἀλλοφίαν σπεδόνα ἡ ἰδία χειρουργεῖ, κἂν ἀγνοῇ ἡ τέμνουσα, ἀλλ' οἶδεν ὁ ἰατρὸς Θεός. Αὐτὸς γὰρ αὐτῷ διὰ σοῦ ὡς σιδήρῳ ἐχρήσατο. Ὥσπερ οὖν ὁ σίδηρος οὐκ οἶδεν ὃ ἐνεργεῖ, τῷ δὲ διὰ τοῦ σιδήρου ἰατρείαν οἶδεν ὁ ἰατρὸς, ὅπως, κἂν ἀγνοῇ ἡ γυνὴ ἡ πλήτουσα, καὶ ὁ ἀνὴρ ὁ πληττόμενος τῇ αἰτίαν τῆς πληγῆς, ἀλλ' ὁ Θεὸς ὡς ἰατρὸς οἶδε τὸ συμφέρον σοι. Ὅτι δὲ γυνὴ πονηρὰ ἁμαρτιῶν ἐστὶ κόνδυλος, μάρτυς ἡ Θεία Γραφὴ λέγουσα. Γυνὴ πονηρὰ ἀνδρὶ ἁμαρτωλῷ δοθήσεται, ὡς πικρὰ ἀντίδοτος αὐτῷ δοθήσεται, τὰς χυμὰς τῆς ἁμαρτιῶν ἀλίσκουσα. Ὅτι δὲ καὶ ὑπὸ τέκνων πολιορκεῖσθαι ἁμαρτίας ἐστὶ βάσανος, μάρτυς ὁ Δαβὶδ διὰ τοῦ Ψαλμὸν κοίτου ὑπὸ τοῦ υἱοῦ Ἀβεσαλὼμ πολεμούμενος. Ὅτι δὲ καὶ ἀδελφοὶ ἀδελφοὺς διὰ ἁμαρτίας ἐπολέμησαν, μάρτυς ἡ Βίβλος τῆς Κτιτῶν. Ὅτε γὰρ εἰς τὴν παλλακίδα τοῦ ὁδοιπόρου οἱ τῆς φυλῆς Βενιαμὶν ἐξεπόρνευσαν, ἡ δὲ τὴν ἄμεμπτον ὕβριν μὴ ἐνεγκοῦσα ἀπέθανεν· αἱ δὲ σύνδεκα Φυλαὶ τὴν μίαν φυλὴν ἐπολέμησαν· καὶ ἐπειδὴ αἱ σύνδεκα φυλαὶ ἐνικήθησαν, καὶ ὅτι κἀκεῖνοι ἐξωλοθρεύθησαν, ὡς γέγραπται. Ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ. Ὑπὸ ἀδελφῶν ἦν πολεμούμενος, μὴ κατ' ἐκείνων σκάζε, ἀλλ' ἑαυτὸν λογοθέτει καὶ ἀνέξεταζε· ζητῶν διὰ ποίας ἁμαρτίας οἱ ἀδελφοὶ πολέμιοι. Οὐχ ὅτι πάντες διὰ ἁμαρτίας ὑπὸ ἀδελφῶν πολεμοῦνται. Καὶ γὰρ ὁ Γωσὴφ ὑπὸ τῶν ἀδελφῶν ἐπολεμεῖτο, καὶ οὐ πάντως διὰ ἁμαρτήματα. Καὶ ὁ Γὼβ ὑπὸ γυναικὸς ἐπεβουλεύετο, καὶ οὐ πάντως διὰ ἁμάρτημα. ἀλλ' ὅτι οἱ πλείονες τῶν ἀνθρώπων διὰ ἁμαρτίας οἰκειακὰς πολεμίους ἔχομεν. Πολλάκις δὲ καὶ φίλοι εἰς ἐχθρὰς διὰ ἁμαρτίας μεταβέπονται, καὶ οἱ πάλαι ἀγαπῶντες μισοῦσι καὶ ἀποστρέφονται· τῷ Θεῷ τὸ τοιοῦτον μῖσος διὰ ἃς οἶδε λόγους ἐμβάλλοντος. Οὕτω γὰρ περὶ τῶν Αἰγυπτίων γέγραπται. Ὅτι μετέστρεψε τὴν καρδίαν αὐτῶν τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ. Οὐκ ὢν δὲ τὸ μῖσος ἀπὸ Θεοῦ ἐδόθη, εἰ μὴ πρότερον κακῶς ἐφιλίαζον. Οἷς γὰρ ἡ φιλία ἀπωλείας πρόξενος,

Βασ. β'. 16. Κεφ. 19. Κεφ. 20. Ψαλμ. 72. Γὼβ. 2. Ψαλμ. 104.

ξενος, τούτοις τὸ μῖσος ἀρετῆς ὑπόθεσις. Καὶ τί λέγω περὶ τῶν οἰκειακῶν κακῶν; Ὅπερ καὶ αὐτὸ ἡμῶν τὸ σῶμα, τὸ πάντων ἡμῶν οἰκειότερον καὶ προσφιλέστερον, ἔστιν ὅτε καὶ αὐτὸ ἁμαρτάνοντας ἡμᾶς πολεμεῖ, διὰ πυρετῶν καὶ νόσων, καὶ ἀλγηδόνων ἀμυνόμενοι, καὶ τὸ δοῦλον σῶμα τῷ δεσποίνῃ ψυχῇ μαστίζει ἁμαρτήσασαν. Καὶ μάρτυς ὁ Χριστὸς τῷ ἰαθέντι λέγων. Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. Καὶ νῦν ἁμαρτανόντων ἡμῶν, ὁ Θεὸς ἡμῖν ἐπεγείρει τοὺς ἐχθρούς. Ἀλλὰ πολεμώμενοι, μὴ ἀντιπολεμήσωμεν αὐτοῖς. ἀλλὰ μᾶλλον ἑαυτοὺς λογοθετήσωμεν, καὶ εἴτι ἡμάρτομεν διορθωσώμεθα, καὶ ὀψόμεθα τοὺς ἐχθροὺς ἡμῶν πίπτοντας πρὸ τῶν ὀφθαλμῶν. Διὰ τοῦτο δὲ καὶ παρηγγέλθημεν μὴ ἀμύνασθαι τοὺς ἐχθροὺς ἡμῶν. ἐπειδὴ δι' ἁμαρτίας αὐτοὺς πολλάκις ὁ Θεὸς ἐπεγείρει καθ' ἡμῶν, καὶ ὅσον αὐσόμεθα πολεμοῦντες ἐκείνους, ὃς ὁ Θεὸς ἐπεγείρει καθ' ἡμῶν. Θέλεις ἰδεῖν τὰ πτώματα τῶν πολεμούντων σε; Μετανόησον ἐφ' οἷς ἥμαρτες, καὶ οἱ ἐχθροὶ πίπτουσι. Τῷ αὐτῷ ἐκ τῶν Ἀναβαθμῶν.

Διὰ τοῦτο πειρασμοὶ καὶ θλίψεις, καὶ σώματος θνητοῦ, καὶ πολλαὶ τῶν φαγμάτων ἐμφάσεις, καὶ πάθη καὶ νοσήματα, ἵνα μύριοι χαλινοὶ ἐμβάλλωνται τῇ ψυχῇ ῥᾳδίως ἐπαιρομένῃ, καὶ πρὸς ὄγκον ὑψουμένῃ. Μὴ τοίνυν θορυβοῦ πειραζόμενος, ἀλλ' ὡς φάρμακα δέχου τὴν συμφοράν, καὶ δυσωπῶ πλείονος τυχεῖν αὐτοῦ. Τῷ αὐτῷ ἐκ τοῦ πρὸς Σπαγείριον.

Εἰ δὲ βλέπεις τινὰς βιωτικοῖς ἐντρεφομένους φάγμασι, καὶ ἐν ἀνέσει διάγοντας, μὴ θαυμάσῃς. Καὶ γὰρ καὶ τοῦτο προεῖπεν ὁ Χριστὸς, ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ Κόσμος χαρήσεται. Καὶ ὅπου τῶν προτέρων δὲ ῥημάτων, Βαβυλώνιοι μὲν, οἱ μηδὲ τὸν Θεὸν εἰδότες, ἐν πλούτῳ καὶ δυναστείᾳ ἦσαν καὶ τιμῇ, Ἰουδαῖοι δὲ ἐν αἰχμαλωσίᾳ καὶ δουλείᾳ, καὶ τοῖς ἐσχάτοις κακοῖς, καὶ Λάζαρος μὲν, ὁ τῶν Οὐρανῶν ἄξιος, πλήκτρωμος ταῖς τῶν κυνῶν προσκειτο γλώτταις, λιμῷ μαχόμενος διηνεκεῖ, ὁ δὲ Πλούσιος ἐν τιμῇ, καὶ ὑγιείᾳ, καὶ ἀνέσει, καὶ τρυφῇ. Ἀλλ' ὅμως οἶδεν ὅτε ἐκεῖνος ἀπὸ τοῦ λιμοῦ, καὶ τῶν βαυμάτων παρεβλάβη, ὅτε ὕπος ἀπὸ τῆς δημεσίας ἐκέρδανε. Διὰ τοῦτο φησὶν ὁ Σοφός. Τέκνον εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν καρδίαν σου εἰς πειρασμόν, καὶ καρτέρησον, καὶ μὴ ταράξῃς ἐν καιρῷ ἐπαγωγῆς, ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς, καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Ὅθεν φησὶν ὁ Δαβίδ. Δοκίμασόν με Κύριε, καὶ πείρασόν με. Ὡς γὰρ τὸ χρυσίον εἰς τὴν κάμινον ἐμβάλλων, οἶδε καὶ μέχρι τίνος αὐτὸ πυρωθῆναι δεῖ, καὶ πότε ἀναπαυθῆναι. Οὐ μία τοίνυν διὰ τὸν Θεὸν γυμνασίας ἰδέα. οὐδὲ πάντων ἅπαντες δέονται, κἂν ἐν τοῖς αὐτοῖς ὦσι. Καὶ γὰρ νοσοῦντες πολλοὶ τὰς αὐτὰς νόσους, οὐ πάντων ἐδεήθησαν φαρμάκων, ἀλλ' ἑτέρων μὲν ἕτεροι, ἑτέρων δὲ ἐκεῖνοι. Διάτοι τοῦτο ποικίλοι καὶ διάφοροι τῶν μασίγων οἱ ξόανοι. Καὶ ὁ μὲν νόσῳ δοκιμάζεται μακρᾷ, ὁ δὲ βαρυτάτῃ πονίᾳ, ἄλλος τὸ

Ἰακ. 5.

Ἰωάν. 16.

Ἐκκ. 2.

Ψαλμ. 25.

βιά-

βιάζεσθαι καὶ ἀδικεῖσθαι, ἕτερος τὸ σῶμα παύτων ὑποῤῥίπτεσθαι, καὶ λοιδορεῖσθαι, καὶ ἁμαβάλλεσθαι ἐφ' οἷς οὐδὲν ἑαυτῷ συνοιδε, καὶ πονηρᾶς δοξης ἀνέχεσθαι βάρος, ἄλλος τὸ συνεχεῖς καὶ ἐπαλλήλους θανάτους παίδων, καὶ τῷ αὐτῷ προσηκόντων ἰδεῖν.

Ἀθανασίε ἐκ τῷ Ἐρωτήσεων.

Γερ. 2. ΤΑ τῷ πιστῶν νήπια πρὸς σωφρονισμὸν τῷ γονέων πολλάκις τελευτῶσι. Φησὶ γὰρ ὁ Θεὸς διὰ Ἱερεμίε πρὸς τὸν σκληροξάχιλον Ἰσραὴλ, ὅπω φησί. Μάτην ἐπάταξα τὰ τέκνα ὑμῶν, παιδείαν οὐκ ἐδέξασθε, μάχαιρα κατέφαγε τὰς προφήτας ὑμῶν, ὡς λέων ὀλοθρεύων, καὶ οὐκ ἐφοβήθητε. Καὶ ὁ αὐτὸς Προφήτης περὶ τῷ αὐτῶν φησίν. Ἐμαστίγωσας αὐτὰς Κύριε, καὶ οὐκ ἐπόνεσαν· συνετέλεσας αὐτὰς, καὶ οὐκ ἠθέλησαν δέξασθαι παιδείαν· ἐστερέωσαν τὰ πρόσωπα αὐτῶν ὑπὲρ πέτραν, καὶ οὐκ ἠθέλησαν ὑποστραφῆναι. Δύο πίναω ὡς οἶμαι ἀγαθὰ ἐν τούτῳ τῷ Θεῷ πραγματευόμεθα. Ἕν μὲν, ὅπως καθαρὰ ἀπελθόντες, σωτηρίας ἐκεῖ τύχωσιν. Ἴσως γὰρ ὅτι πάνυ πονηρὸν βίον ζήσαι μέλοντα οἰκονομικῶς ὁ Θεὸς προήρπασε. Δεύτερον δὲ, ὅπως καὶ οἱ τούτων γονεῖς σωφρονέστεροι γενόμενοι, τὰ τοῖς τέκνοις μέλοντα καὶ γενήσεσθαι δοθῆναι χρήματα, εἰς ψυχὰς λοιπὸν ἀνέμεσιν ὑπὲρ σωτηρίας ἑαυτῶν. Κἀκεῖνα μὲν ὁδὸν παρεβλάβησαν τελευτήσαντα, καὶ ἔτοι δὲ, εἴγε βέλονται, τὰ μέγιστα ὠφελήθησαν, σωφρονέστεροι γενόμενοι.

Διαδόχε ἐκ τῷ Ἀσκητικῶν Κεφαλαίων.

Ἡ Παιδευτικὴ ἀναχώρησις φέρει μὲν λύπην πολλὴν, καὶ ταπείνωσιν, καὶ ἀπελπισμὸν σύμπαν τῇ ψυχῇ, ἵνα τὸ φιλόδοξον αὐτῆς καὶ ὑπερήφανον μέρος τρεπόντως εἰς ταπείνωσιν ἔρχηται, ὑθέως δὲ καὶ φόβον Θεοῦ, καὶ δάκρυα ἐξομολογήσεως ἐπάγει τῇ καρδίᾳ, καὶ τῆς καλλίστης σιωπῆς πολλὴν ἐπιθυμίαν. Ἡ δὲ κατ' ἀποστροφὴν τοῦ Θεοῦ γνώμη, ἀπελπισμὸς ὁμοῦ καὶ ἀπιστίας, καὶ ὀργῆς, καὶ τύφε τὴν ψυχὴν πληρωθῆναι ἀναχωρεῖ.

Εὐσεβίε Παμφίλε ἐκ τῷ πρὸς Μαξῖνον.

Βασ. β'. 12. Ὁ Γὰρ Νάθαν διὰ τῆς εἰρημένης αὐτῷ πρὸς τὸν Δαβὶδ παραβολῆς διδάσκει, ὅτι κατὰ τὸν μέγαν πειρασμὸν συνέβη τῷ Δαβὶδ τὸ ἁμάρτημα. Παρίστησι δὲ ὁ λόγος, ὅτι μὴ εἰς πρόσωπον ἕτερον, μηδὲ ἐνώπιον παντὸς τοῦ λαοῦ διελέχθη αὐτῷ, ἀλλ' εἰσελθὼν φησὶ πρὸς αὐτόν. Ὁ δὲ Δαβὶδ οὐ μόνον τοῖς καθ' αὐτὸν ἐξαγορεύει τὸ πλημμεληθὲν, ἀλλὰ καὶ εἰς τὰς μετέπειτα ἀνθρώπες τὸν Ψαλμὸν ἐπιγράφει εἰρῆσθαι αὐτῷ· Ἵνα εἰσέλθῃ πρὸς Βηρσαβεὲ, καὶ ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν Προφήτην. Οἶμαι δὴ ἐν τῷ πονηρῷ πνεύματι ἐνδεδόσθαι αὐτὸν διὰ μίαν φωνὴν ἐκείνην, ἐν ᾗ ἔφη. Ἐγὼ εἶπα ἐν τῇ διὰ Ψαλμὸν 29. μου οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. Τὸ γὰρ μέγα φρονῆσαι ποιῆσον προσιέσθαι ῥῆμα· Ὅτι οὐκ ἀπόστε σαλευθείην. μόνει δὲ ἄδεπτος καὶ ἀπαθὴς ἐν τῇ διὰ Ψαλμὸν 126. θείᾳ αὐτοῦ. Τέρογμον ἦν ἐν ᾧ καὶ ὑπῆφανον, καὶ ἐκ ὅμοιον τῷ, Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες,

καὶ

καὶ τὰ ἑξῆς. Ἀλλ' ὅγε Ἱερὸς Ἀπόστολος ταῦτα εἰδὼς, οὐκ ἐτόλμησε φάναι, Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα, περφροντίκει δὲ λέγων. Μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. καὶ παραινεῖ λέγων. Μηδεὶς καυχάσθω ἐν ἀνθρώποις· ὁ δὲ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω. καὶ, Ὃ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ, ὁ γὰρ ὁ ἑαυτὸν σωτῆσῶν ἐκεῖνος ἐστὶ δόκιμος, ἀλλ' ὃν ὁ Κύριος σωτίσῃσι. Καὶ πάλιν ἡ Προφητεία. Μὴ καυχᾶσθε, καὶ μὴ λαλεῖτε ὑψηλὰ ἐκ ὑπεροχῆς, μηδὲ ἐξελθέτω μεγαλορρημοσύνη ἐκ τῶ στόματος ὑμῶν. Ἀλλὰ καὶ ὁ Σολομὼν φησί. Μὴ καυχῶ τὰ εἰς αὔριον· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπῦσα. Ὁ δέγε Δαβὶδ ἐν ἀγαθῶν διδασκαλίᾳ τῷ Θεῷ χρώμενος, καὶ ὅτι μέγα φρονήσας ἀρετῆς, ἐτόλμησε φάναι, Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. Διὸ καὶ σκάνδαλον καταλείπεται ὑπὸ τῶ σωτῆργήτος αὐτῷ τὰ ἀγαθὰ Κυρίε, καὶ συμπλέκεται αὐτῷ πνεῦμα πονηρόν. Ὅθεν φησίν. Ἐγὼ εἶπα ἐν τῇ διδασκαλίᾳ μου οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. Ἀπέστρεψας δὲ τὸ πρόσωπόν σε, καὶ ἐγενήθην ταραγμένος. Διδάσκων, ὅτι πρότερον εἶπεν, Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα, μὴ παύτα δυσαρεστοῦντος τῶ Θεῶ τὸ Πρόσωπον αὐτῶ, ἀλλὰ τοῦ μεγαλορρήμονα φονεύω, ὁμολογεῖ ταραχθαι. εἶτα ὠφεληθεὶς ὅτι τύποις, τὰ πάλαι κατορθώματα αὐτῶ, οὐκ ἔτι ἑαυτῷ, ἀλλὰ τῷ Θεῷ ἐπηρεάφει λέγων. Κύριε ἐν τῷ θελήματί σε παρέχε τῇ κάλλει μου δυνάμιν. Ὅτε μὲν ἀπέστρεψας τὸ πρόσωπόν σε, καὶ ἐγενήθην ταραγμένος, τότε ἔγνων, ὅτι καὶ πάλαι τῷ σῷ θελήματι, καὶ ἐκ τῆς σῆς χάριτος καὶ δωρεᾶς ὑπῆρχε τοῦ τοῦ ἐμοῦ ψυχοῦ τὸ κάλλος. Διὸ φησίν. Ὑψωθείς δὲ ἐταπεινώθην καὶ ἐξεπορήθην. Ἀλλὰ ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σε· καὶ ἔγνων Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σε, καὶ ἀληθείᾳ ἐταπείνωσάς με.

Τῦ Ἁγίε Βασιλείε ἐκ τῷ Ἀσκητικῶν.

ΤΑ ἐλαττώματα τῷ βλαβῶν γίνονται πολλάκις κατ' οἰκονομίαν πρὸς τὸ συμφέρον, τοῦ Θεοῦ συγχωροῦντος ἐνίοτε ὀλισθῆσαι, πρὸς θεραπείαν ἐπάρσεως προλαβούσης, οἷον ἐστὶ τὸ ὑπὸ τῦ Πέτρου ἐρημοῦν, καὶ ἐπ' αὐτῷ γεγραμμένον. Μὴ γένοιτο δὲ ὑμᾶς καυχᾶσθαι, εἰ μὴ ἐν τῷ ὀνόματι Ἰησῦ Χριστῦ τῦ Μεγάλε Θεῦ, καὶ Σωτῆρος τῷ ψυχῶν ἡμῶν.

Πρὸς Κορ. α. Κεφ. 9. 10. καὶ 1.

Παρ. 27.

Ψαλμ. 29.

Ψαλμ. 118.

Ματθ. 26.

ΕΡΩΤΗΣΙΣ, Ι.

Πόθεν ὁρῶμεν τινὰς πιστοὺς σωματικὰ παίσματα ποιοῦντας ὑπὸ Θεοῦ δὲ ἐνεργεισμένους, καὶ κινδύνων διασωζομένους;

ΑΠΟΚΡΙΣΙΣ.

Ἐκκ. 7. ΤΑ τοῦ Θεοῦ κρίματα ἀκατάληπτα εἰσὶ, καὶ ἀνερμήνευτα· καὶ διὰ τοῦτο ὀφείλει κατανοεῖν ἄνθρωπον ἕως τῆς ἡμέρας ἐκείνης, λέγει ὁ Ἐκκλησιαστής. Ἔστι δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ, καὶ ἔστιν ἀσεβὴς μένων ἐν κακίᾳ αὐτοῦ. Καὶ εἰσὶ δίκαιοι, ὅτι φθάνει πρὸς αὐτοὺς ὡς ποίημα τῶν ἀσεβῶν. καὶ εἰσὶν ἀσεβεῖς, ὅτι φθάνει πρὸς αὐτοὺς ὡς ποίημα τῶν δικαίων. Τινὲς μὲν γὰρ θεωροῦνται ἴσως τινὰ ἐλαττώματα φανερῶς ὁρώμενοι ἔχειν, κρυπτῶς δὲ μεγάλα κατορθώματα πρὸς Θεὸν ἐργαζόμενοι, καὶ παρ' ἡμῖν μὲν ἁμαρτωλοὶ εἶναι νομίζονται, ᾧδε δὲ τῷ Θεῷ δίκαιοι τυγχάνουσι. Τινὲς δὲ δι' ὀλίγων προγονικῶν, ὡς ὁ Σολομὼν διὰ τὸν Δαβὶδ, φιλανθρωπίας ἀξιοῦνται. Φησὶ γὰρ ὁ Θεὸς πρὸς αὐτόν. Ἀνθ' ὧν ἐφύλαξας τὰς ἐντολάς μου, καὶ τὸ προσάγματί μου, ἃ ἐνετειλάμην σοι, διαρρήσων διαρρήξω τὴν βασιλείαν σου ἐκ χειρός σου, καὶ δώσω αὐτὴν τῷ δούλῳ σου. πλὴν ἐν ταῖς ἡμέραις σου οὐ ποιήσω, διὰ Δαβὶδ τὸν πατέρα σου. Ἄλλοι δέ πάλιν, νῦν μὲν πονηροὶ ὄντες, μετανοῆσαι δὲ γνησίως ἐν ὑστέροις μέλλοντες, ἤδη ἀπὸ τοῦ νῦν ὡς δίκαιοι παρὰ Θεῷ φρονοῦνται, ὡς ὁ Ἀπόστολος Παῦλος. Ἕτεροι δὲ, μετανοίας σύνεκα καὶ ἐπιστροφῆς, χρηστότητος Θεοῦ ἀπολαύουσιν, ἥτις τοῖς μὴ σωιζομένοις, ἀλλὰ μᾶλλον καὶ σκληρυνομένοις, ἐφόδιον γίνεται τῆς ἐκεῖ τιμωρίας, ὡς ὁ κατὰ τὸν Λάζαρον πλούσιος. Φησὶ γὰρ ὁ Ἀπόστολος. Ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει, κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύψεως, καὶ δικαιοκρισίας Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Καὶ τοῦτο εἰδὼς ὁ Θεῖος Δαβὶδ παραινεῖ λέγων. Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ, ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίαν. καὶ, Ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται, καὶ οἱ ἐχθροὶ τοῦ Κυρίου ἅμα τῷ δοξασθῆναι αὐτὸν καὶ ὑψωθῆναι, ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον. καὶ, Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον, διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Διοδὲ, Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ἁμαρτωλὸς, καὶ πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ, ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσεται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσεῖται, καὶ μαρανθήσεται, καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ μὴ εὑρήσεις αὐτὸν ἐρεῖς. Πῶς ἐγένετο εἰς ἐρήμωσιν ἐξάπινα; ἐξέλιπεν, ἀπώλετο διὰ τὴν ἀνομίαν αὐτοῦ, ὡσεὶ ἐνύπνιον καταλείψας ἀλλο-

Ἐκκ. 8.

Βασ. γ'. 11.

Λευ. 16. Πρὸς Ῥωμ. 2.

Ψαλμ. 36.

Ψαλμ. 91.

Ψαλμ. 48.

Ψαλμ. 36.

Ψαλμ. 72.

τείοις

τείοις τὸν πλοῦτον αὐτοῦ, καὶ πᾶς ὁ παλαίπωρος τοῦ παλαιπώρου πλούτου ἐκεῖνος, καὶ ἡ ματαία καὶ ψυχοφθόρος ἐκείνη προσκαιρος δόξα, καθάπερ ἐνύπνιον ἀπελέγχθη. Εἰκότως ἂν ἔλεγεν ὁ Σοφός· Μὴ ζηλώσῃς δόξαν ἁμαρτωλοῦ, καὶ οὐκ οἶδας τί ἔσται ἡ καταστροφὴ αὐτοῦ. καὶ μὴ δόξοις ἐν δόξαις ἁμαρτωλῶν, ἀλλὰ μνήσθητι, ὅτι ἕως ἅδου οὐ μὴ δικαιωθῶσι. Καὶ ὁδὸς ἁμαρτωλῶν ὡμαλισμένη ἐκ λίθων, καὶ ἐπ' ἐσχάτων αὐτῆς βόθρος ἅδου.

Ἐκκλ. 9.

Ἐκκλ. 21.

Τοῦ Χρυσοστόμου ἐκ τῆς πρὸς Κορινθίους.

Τίνος οὕνεκεν Ἀβραὰμ ἐπλούτει, ὁ δὲ Γαιὼβ ἄρτου ἐδέετο; οὐχὶ δίκαιος ἦν καὶ οὗτος; Διατί τοίνυν ὁ μὲν ἐπλούτει, ὁ δὲ ἐθεράπευον; ὅτι μισθῷ ἐδούλευε; μᾶλλον δὲ, ὁ μὲν Ἦσαῦ ἐπλούτει βέβηλος ὤν, ὁ δὲ Γαιὼβ ἐν δουλείᾳ ἦν τοσοῦτον; Διατί πάλιν ὁ μὲν Γοὰκ ἐν ἀδείᾳ ἔζησε τὸν ἅπαντα χρόνον τῆς ζωῆς αὐτοῦ, ὁ δὲ Γαιὼβ ἐν μόχθοις, καὶ παλαιπωρίαις; Διὸ καὶ ἔλεγεν. Αἱ ἡμέραι τῆς ζωῆς μου μικραὶ καὶ πονηραί. Διατί ὁ μὲν Δαβὶδ Προφήτης ὤν, τὸν ἅπαντα χρόνον αὐτοῦ ἐν κινδύνοις καὶ πόνοις ἔζησεν, ὁ δὲ υἱὸς αὐτοῦ Σολομὼν τεσσαράκοντα ἔτη πάντων ἀνθρώπων ἀδεέστερον διῆλθε, εἰρήνης ἀπολαύων βαθείας, δόξης, καὶ τιμῆς, καὶ τρυφῆς ἅπαν εἶδος ὅπων; Τί δήποτε καὶ ἐν τοῖς Προφήταις, ὁ μὲν μειζόνως, ὁ δὲ ἐλαττόνως ἐθλίβετο; Πάντως, ὅτι τὸ ἑκάστου συμφέρον ἔπως ἦν. Διὸ καὶ ἐφ' ἑκάστῳ ἐπιλέγειν χρή. Τὰ κρίματα Κυρίου ἄβυσσος πολύ.

Γεν. 29. καὶ 47.

Ψαλμ. 35.

Τοῦ αὐτοῦ ἐκ τῆς κατὰ Ματθαῖον Εὐαγγελίας.

Μὴ ἀπαπώμεθα, μηδὲ ῥᾳθυμοῦμεν, μηδὲ ἐκ παντὸς τρόπου τὸν αἴσιον ὑπεκπωμεν βίον. Οὗ γὰρ φησὶν ἀγαπᾷ Κύριος παιδεύει. Ὥστε ὅταν δυσημερίας ἀπολαύωμεν ἐν πονηρίᾳ ζῶντες, τότε μάλιστα ἀλγῶμεν. Δεῖ μὲν γὰρ ἁμαρτάνοντας δεδοικέναι καὶ ἀλγεῖν· μάλιστα δὲ ὅταν μηδὲν πάσχωμεν δεινόν. Οὅταν μὲν γὰρ κατὰ μέρος ἀπαιτεῖ τὰ τῆς τιμωρίας ὁ Θεὸς, κέρδος ἡμῖν ποιεῖ τοῦ ὑπὲρ τῶν τοιούτων ἔκτισιν. Οὅταν δὲ ἐφ' ἑκάστῳ τῶν πλημμελημάτων μακροθυμῇ, εἰς μεγάλην ἡμᾶς τοῖς αὐτοῖς ὑπεμένοντας τιμᾶται δίκην. Εἰ γὰρ τοῖς κατορθώσιν ἀναγκαία ἡ θλῖψις, πολλῷ μᾶλλον τοῖς ἁμαρτάνουσιν. Ὅρα γὰρ ὅσης μακροθυμίας ἀπολαύσας ὁ Φαραὼ, τοῦ ἐχάτου ὕστερον ὑπὲρ πάντων δέδωκε δίκην; Πόσα Ναβουχοδονόσωρ πλημμελήσας πρὸς τὸν τέλει τὸ παῦ ἐξέτισε; Καὶ ὁ Πλούσιος, ἐπεὶ μηδὲν ἔπαθεν ἐνταῦθα δεινὸν, διὰ τοῦτο γέγονε μάλιστα ἄθλιος, ὅτι ξυφήσας ἐν τῷ παρόντι βίῳ, ἀπῆλθεν ἐκεῖ πάντων τῶν δώσων δίκην, καὶ ᾠδὴν εὐθυμίαν οὐχ εὗρεν ἐκεῖ τοῦ κακοῦ. Ἀλλ' ὅμως εἰσὶ τινὲς ὕπνῳ ψυχροὶ καὶ ἀόπτοι, ὡς τὰ ἐνταῦθα ὀπτίζειν μόνον, καὶ καταγέλασα ἐκεῖνα λέγειν ῥήματα. Ἀπολαύσω τῆς παρόντων τέως, καὶ τότε σπέψομαι περὶ τῆς ἀθλίων. δίδωμι τῷ σήμερον, καὶ λάμβανε τῷ αὔριον. Καὶ τί ἔφαγον, ἢ χοίρων οἱ τὰ τοιαῦτα λέγοντες διαφέρουσι;

Προς Ἑβρ. 12.

Ἐξό. 14. Δανιὴλ. 4. Λευ. 16.

Τῦ αὐτῦ ἐκ τῆς ἑρμηνειῶν τῆς Πράξεων.

Οἱ πολλὰ πταίοντες, καὶ μὴ κολαζόμενοι, φοβεῖσθαι πολλά, καὶ ξέμειν ὀφείλουσιν· αὔξεται γὰρ αὐτοῖς τὰ τῆς τιμωρίας διὰ τῆς ἀτιμωρείας, καὶ τῆς μακροθυμίας, ἡ δικαιοκρισία τῦ Θεῦ. Καὶ γὰρ ὅσῳ αἱ ὧμῶν δυσεργετημάτων μεγάλα, τοσούτῳ μᾶλλον κολασθησόμεθα μειζόνως, ὅταν ἀνάξιοι τῆς δυσεργεσίας φανῶμεν.

ΕΡΩΤΗΣΙΣ, ΙΑ'.

Ἀγγ.2. Τῦ Θεῦ λέγοντος διὰ τῦ Προφήτου Ἀγγαίου, Ἐμὸν ἐστὶ τὸ ἀργύριον, καὶ τὸ χρυσίον, καὶ ᾧ ἐὰν θέλω δῶσω αὐτό, ἆρα λοιπὸν πᾶς ἄνθρωπος πλουτήσας ἐκ τῦ Θεῦ ἐπλούτησε;

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ μὲν, Ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, εἴρηται· τὸ δὲ, ὯΙ ἐὰν θέλω δῶσω αὐτό, ἐ γέγραπται. Τῆς γὰρ τῶν ἀνθρώπων τῆς ἀφρόνων καὶ φιλαργύρων προθήκης ἐστὶ τῦτο. Πλοῦτος ἐδεὶς ἀπὸ πολέμων καὶ αἱμάτων, καὶ κλοπῶν, καὶ ἐμπορικῶν, καὶ ἁρπαγῶν, καὶ δωροδοσιῶν, καὶ ἀδικιῶν σωλήνας πλῦτον, δύναται εἰπεῖν, ὅτι διὰ τῦ Θεῦ ἐπλούτησα, ἀλλὰ διὰ τῦ πονηρῦ, καὶ τῆς ἁμαρτίας. Μόνοι δὲ οἱ ἀπὸ δικαίων καὶ ἀναμαρτήτων πόνων σωλήναντες, δύνανται μετὰ τῦ Ἰὼβ εἰπεῖν. Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. Λοιπὸν μάτην τῷ Θεῷ δοκοῦσιν ἐγχαυχᾶσθαι οἱ ἀδίκως πλῦτον σωλήγοντες.

Ἰὼβ. 1.

Τῦ Ἰὼβ. Κεφ. 20.

Πλῦτος ἀδίκως σωλαγόμενος, ἐξεμεθήσεται.

Τῦ Σολομῶντος Ἐκκλησιαστής. Κεφ. 5.

Θησαυρίζεται δικαίοις πλῦτος ἀσεβῶν, καὶ εἶδον ἀρρωστίαν δεινὴν, πλῦτον φυλασσόμενον τῷ παρ' αὐτῦ, εἰς κακίαν ἑαυτῷ. Τῦ Σειράχ.

Ἐκκλ. 14. 31.

Ὁ σωλήγων ἀπὸ τῆς ψυχῆς αὐτῦ, σωλήγει ἄλλοις, καὶ ἐν τοῖς ἀγαθοῖς αὐτῦ τρυφήσουσιν ἕτεροι. Καὶ ἀγαθὸς ὁ πλῦτος, ᾧ μὴ ἐστὶν ἁμαρτία. Καὶ πονηρὰ ἡ πτωχεία ἐν στόματι ἀσεβῶν. καὶ, Ὁ ἀγαπῶν χρυσίον ἐ δικαιωθήσεται. πολλοὶ γὰρ ἐδόθησαν εἰς πτῶμα χάριν χρυσίῳ, καὶ ἐρρύπη ἡ ἀπώλεια αὐτῶν ἐν τῷ πρόσωπον αὐτῷ. Τῦ Δαβίδ. Ψαλμ. 51.

Ὄψονται Δίκαιοι καὶ φοβηθήσονται, καὶ ἐπ' αὐτῷ γελάσονται, καὶ ἐροῦσιν· Ἰδὲ ἄνθρωπος, ὃς ἐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ τῷ πλήθει τῦ πλῦτυ αὐτῦ, καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτῦ. Τῦ Ἡσαΐου. Κεφ. 61.

Ἐγὼ εἰμὶ ὁ ἀγαπῶν δικαιοσύνην, καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας, καὶ δώσω τὸν μόχθον αὐτῷ δικαίοις, λέγει Κύριος.

Τῦ Γρηγορίου Νύσσης ἐκ τῦ εἰς τὸ, Πάτερ ἡμῶν.

Εἰ γὰρ ὁ Θεὸς δικαιοσύνη ἐστὶν, ἐκ ἔχει πρὸς τὸν Θεὸν τὸν ἄρτον ὁ ἐκ πλεονεξίας τινὸς τροφὴν ἔχων. Εἰ μὴ ἐξ ἀλλοτρίων ἡ δύποια, εἰ μὴ ἐκ δακρύων ἡ τροφὸς, εἰ ἐδεὶς ὅτι τῇ σῷ κόρῳ ἐπείνασεν, εἰ ἐδεὶς ὅτι τῇ πλησμονῇ σε ἐσώλεξε, Θεῦ ἄρτος ἐστὶν ὁ τοιῦτος, δικαιοσύνης ὁ καρπὸς, εἰρήνης ὁ σάκχος. Εἰ δὲ γεωργῶν τὰ ἀλλότρια, καὶ ἐν ὀφθαλμοῖς ἔχων τινὰ ἀδικίαν, λέγεις τὸν ἄρτον δός, ἄλλος ὁ ἀκούων τῆς φωνῆς ταύτης ἐστὶ, καὶ ἔχ ὁ Θεός. Τὸν γὰρ ἐξ ἀδικίας καρπὸν ἡ ἀντικειμένη καρποφορεῖ φύσις, καὶ ὁ τινὰ ἀδικίαν γεωργῶν, τροφὴ τῦ ἐργάτυ τῆς ἀδικίας σιτίζεται.

Τῦ Ἁγίου Βασιλείου ἐκ τῦ πρὸς τοὺς πλουτοῦντας.

Ὅρα δὴ ὦν, μὴ μυρίων πόνων τὸν πλῦτον ἀθροίσας, ὕλην ἁμαρτημάτων ἑτέροις κατασκευάσῃς, ἔπειτα δίκην διπλᾶ τιμωρούμενος, ὧντε αὐτὸς ἠδίκησας, καὶ ὧν ἕτεροι ἐφωδίασας. Τῦ αὐτῦ ἐκ τῆς Ἑξαημέρυ.

Ὁ μὲν πλεονέκτης ἔχει τὰ τῦ πένητος, σὺ δὲ ταῦτα λαβὼν, καὶ μέρος ποιησάμενος τῆς σῆς οὐσίας, ἀδίκυ ἀδικώτερος ἐφάνης, καὶ πλεονέκτυ πλεονεκτικώτερος. Γρηγορίου τῦ Θεολόγου ἐκ τῦ εἰς τὸν Ἑξιστωτιών.

Μὴ μίξωμεν τὸν ἡμέτερον πλῦτον ἀλλοτρίοις δάκρυσιν, ὑφ' ὧν ὥσπερ ὑπὸ ἰῦ, καὶ σηπὸς ἐκδαπανηθήσεται, ἢ τόγε τῆς Γραφῆς εἰπεῖν, ἐξεμεθήσεται. Νείλυ Μοναχῦ ἐκ τῦ πρὸς Ἀγάθιον.

Καὶ πολλάκις μὲν ὁ προγονικῶ δικαδεξάμενος ὕπαρξιν, καλῶς οἰκονομήσας ταύτῃ τοῖς δεομένοις, ἔσπευδε τῷ Κειτῦ ἐφ' οἷς εὖ πεποίηκεν ἀφιμένος, καὶ ἱλαρῷ τῷ προσώπῳ τὰς ἐπαγγελίας ὑποδεχόμενος. Ὁ δὲ καταλιπὼν ταύτῃ, ὅτι τὰς κολάσεις ὠθούμενος ἕλκεται. ἐπεὶ μηδὲν ἐξ αὐτῶν εἰς τὰς δεομένας χρησὸν ἐπεδείξατο· ἄλλοις σωτηρίας ἀφορμὴν τὰς οἰκείας πόνυς καταλιπὼν, καὶ αὐτὸς ἑαυτὸν τῷ ἰδίων ὠφελήσας ὁ τάλας ὐδέν. Καλῶς φησὶν ὁ Σολομών. Ὅτι ὁ σωλήγων τὸν πλῦτον αὐτῦ μετὰ πόνων καὶ πλεονασμῶν, τῷ ἐλεῦντι πτωχὸς σωλήγει αὐτὸν, ἑαυτῷ κολάσεως τῆς πλεονεξίας, καὶ ἑτέρῳ ἀμοιβῶν τῆς δυποιΐας ἀγαθῶν χορηγούμενος αἴτιος. Παρ.28.

Τῦ Χρυσοστόμου ἐκ τῆς πρὸς Κορινθίους, Α'. Ἐπιστολῆς.

Ὥστε ἑορτάζωμεν φησὶ, μὴ ἐν ζύμῃ παλαιᾷ, μὴ δὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας. Καὶ γὰρ ἡ πλεονεξία, ζύμη παλαιὰ κακίας, καὶ πονηρίας ὄζει, καὶ ὅπερ ἂν εἰσέλθῃ, ἀκάθαρτα ἐργάζεται. Κἂν ὀλίγα ἐξ ἀδικίας κερδάνῃς, ὡς μικρὰ ζύμη ὅλον τὸ φύραμα τὸν οἰκόνυσε ἐζύμωσε καὶ ἐμόλυνε. Διὰ τῦτο πολλάκις τὰ εἰσενεχθέντα ὀλίγα κακῶς, τὰ καλῶς κείμενα πολλὰ ἐξέβαλε καὶ ἐξεφύσησε. Τί ὦν φησὶν, ὅτι πολλοὶ πλεονεκτοῦντες ἐ ταῦτα πάσχυσι; Μάλιστα μὲν πείσονται, κἂν μὴ θλιβῶσι πάθωσιν· ἂν δὲ νῦν ἐκφύγωσι, τότε φοβήσονται μᾶλλον, ὅτι ὅτι μείζονι κολάσει πρῦνται. Κἂν αὐτοὶ διαφύγωσιν, ἄλλοι

κληρονομήσαντες τὰ αὐτῶν ἀφαιρεθήσονται. Καὶ πῶς τοῦτο δίκαιον φησί; Καὶ σφόδρα δίκαιον. Ὁ γὰρ ἀφαιρεθεὶς κλῆρον ἐξ ἀδικίας γέμοντα, εἰ καὶ αὐτὸς μὴ ἥρπασεν, ἀλλ' ὅμως τῷ ἁρπαγῶ ἔχει. ἐκεῖνος ἀπέδυσεν, ἀλλὰ σὺ κατέχεις. ἐκεῖνος ἠδίκησε, καὶ σὺ ἀπλαύεις. ἐκεῖνος ἁμαρτίας ἐθησαύρισε, καὶ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ σὺ τὰς ἁμαρτίας, καὶ τῷ ὀργῷ ἐκληρονόμησας, καὶ ἀπαιτηθήσῃ περὶ αὐτῶν πάντως τὸν λόγον. Ταῦτα δὲ καὶ οἱ τῆς ἔξωθεν ἴσασι νόμοι. Τοὺς γὰρ ἁρπάσαντας καὶ ὑφελομένους, ἐκείνους κελεύσιν ἀπαιτεῖν, παρ' οἷς ἂν εὕροιτις τὰ αὐτὰ κείμενα ἅπαντα. Εἰ μὲν οὖν δας τὸν ἠδικημένον, ἀπόδος, καὶ ποίησον ὅπερ ἐποίησεν ὁ Ζακχαῖος μετὰ πολλῆς τῆς προθυμίας. εἰδὲ ἀγνοεῖς, τοῖς δεομένοις δίδομεν ταῦτα πάντα, καὶ σὺ μὲν τὸν μισθὸν ἕξεις, ἐκεῖνος δὲ τῷ κόλασιν.

Πρὸς Ρ'ωμ. 2.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ Γαμήλου.

Θρωήσατε οἱ ἠδικημένοι, μὴ ἑαυτοὺς, ἀλλὰ τοὺς ἀδικήσαντας ὑμᾶς. Οὐ γὰρ ὑμᾶς ἠδίκησαν, ἀλλ' ἑαυτοὺς ἀπώλεσαν. Καὶ ὑμεῖς μὲν ἔχητε τῷ Βασιλείαν τῶν Οὐρανῶν αὐτὶ τῆς ἀδικίας, ἐκεῖνοι δὲ τῷ γέενναν αὐτὶ τοῦ κέρδους. Διὸ θρηνήσωμεν αὐτοὺς θρηνῶν, μὴ τὸν κοινὸν, ἀλλὰ τὸν ἀπὸ τῶν Θείων Γραφῶν, ὃν καὶ οἱ Προφῆται ἐθρήνησαν λέγοντες. Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι. Οὐαὶ ὁ οἰκοδομῶν τῷ οἰκίαν αὐτοῦ εἰς ὕψος ἄνευ δικαιοσύνης. Καὶ ὁ Κύριος. Οὐαὶ οἱ πλουτοῦντες, ὅτι πεινάσετε, ὅτι ἀπέχετε τὸν μισθὸν ὑμῶν καὶ τῷ παρακλησιν.

Ησα. 5.

Λευ. 6.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ Ἀναστάσεως.

Εἰδὲ αἱ τῶν πονηρῶν δυνημεῖαι θορυβοῦσί τινας, καὶ ὅτι τοῦτο ἀδημονοῦσιν, ἐκεῖνο λογιζέσθωσαν, ὅτι, καθάπερ λῃσταὶ καὶ τυμβωρύχοι, καὶ ἀνδροφόνοι, καὶ κακοῦργοι, πρὶν μὲν εἰς τὸ δικαστήριον ἐλθεῖν, πολλῆς ἀπολαύουσι ξυφῆς, οἰκείαν δύποιαν τὰς ἀλλοξίας συμφορὰς ποιούμενοι, καὶ τὸν ἄδικον κτώμενοι πλοῦτον, καὶ καθ' ἑκάστην λαμβάνοντες τὴν ἡμέραν, ἐπειδὰν δὲ ὑπὸ ταῖς τοῦ δικαστοῦ γένωνται ψήφοις, πάντων ἐκείνων δίδοασι δίκην. Οὕτω καὶ ἔστι οἱ πόρνας ἀγοράζοντες, καὶ τὰς συβαριτικὰς καταθέμενοι τραπέζας, καὶ τὰς ὀφρῦς ἀναπαύοντες, καὶ σοβοῦντες ὅτι τῆς ἀγορᾶς, καὶ τὰς πόνητας παράσοντες, ὅταν ὁ Χριστὸς καταγίνηται μετὰ τῶν Ἀγγέλων αὐτοῦ, καὶ ὅτι τοῦ Βήματος ἐκείνου καθήσῃ, καὶ τῷ Οἰκουμένῳ εἰς μέσον καθέξῃ, γυμνοὶ καὶ πάσης ἔρημοι τῆς φαντασίας εἱστηκεχθόντες, καὶ οὐδένα συνήγορον, οὐδὲ προσάτην ἔχοντες, χωρὶς συγγνώμης εἰς τὰς τοῦ πυρὸς ἀπενεχθήσονται ποταμούς.

Ματθ. 25.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Κορινθίους, Α'. Ἐπιστολῆς.

Πόθεν ἂν οἱ πλουτοῦντες φησὶ πλουτοῦσι; Καὶ γὰρ εἴρηται. Πλοῦτος, καὶ πονία παρὰ Κυρίου. Ἐρώμεθα οὖν τοὺς αὖπα ἡμῖν αὐθυποφέροντας. Ἆρα πᾶς πλοῦτος, καὶ πᾶσα πονία παρὰ Θεοῦ; Καὶ τίς ἂν τοῦτο εἴποι; Καὶ γὰρ ὁρῶμεν καὶ ἐξ ἁρπαγῆς, καὶ ἀπὸ τυμβωρυχίας, καὶ ἀπὸ γοητείας, καὶ ἐξ ἑτέ-

ἑτέρων τοιούτων προφάσεων συναγόμενον πλοῦτον, καὶ τοὺς ἔχοντας οὐδὲ ζῶν ἀξίους ὄντας. Τί οὖν εἰπέ μοι, τοῦτον τὸν πλοῦτον παρὰ Θεοῦ εἶναι φαμέν; Ἄπαγε. Ἀλλὰ πόθεν; Ἐξ ἁμαρτίας. Καὶ γὰρ ἡ πόρνη τὸ σῶμα συμβείσασα πλουτεῖ· καὶ εὔμορφος νέος πολλαχοῦ πορνιδίων ἐπλούτησεν. Οὐκοῦν πλοῦτος μέν ἐστιν ἐκ Θεοῦ, οἷος ἦν ὁ τοῦ Ἀβραάμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ τοῦ Ἰώβ, διὸ καὶ ἔλεγεν. Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; Καὶ ὁ μὴ ταῦτα διπλασιασμὸς τοῦ πλούτου, αὐτοῦ δῶρον ὄζει. Πονίαν δὲ παρὰ Θεοῦ πάλιν, οἵαν προεξενεῖ τότε τῷ πλουσίῳ λέγων. Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σε τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς. Καὶ τοῖς Μαθηταῖς πάλιν νομοθετῶν, ὅτι μὴ κτήσεσθε χρυσὸν, μήτε ἄργυρον. Βούλει καὶ τοὺς ἐκ παρὰ Θεοῦ γινομένους πλουσίους ἰδεῖν; Ὅρα τὸν ὅπου Λαζάρου, τὸν Ἀβραάμ, τὸν Γιεζῆ, καὶ τοὺς ποιητάς. Οἱ μὲν γὰρ δικαίως κεκτημένοι, ἅτε παρὰ Θεοῦ λαβόντες, εἰς τὰ τοῦ Θεοῦ προσάγματα ἀναλίσκουσιν. Οἱ δὲ ἐν τῇ κατάθαι προσκρούοντες τῷ Θεῷ, καὶ ἐν τῇ δαπανᾷν τὸ αὐτὸ ποιοῦσιν, ἢ εἰς πόρνας καὶ παρασίτους ἀναλίσκοντες, ἢ καταρυττοντες, εἰς πτωχοὺς δὲ ὀδὸν δαπανῶντες. Ὧν γὰρ ἡ συλλογὴ, ὡς ἔφην, εἰς τοῦ τοῦ Θεοῦ λύπην γέγονε, τούτων καὶ ἡ διανομή. Μάθε τοίνυν καὶ πονίαν ἐκ παρὰ Θεοῦ μυρομένην. Ὅταν γάρτις ἄσωτος ὢν νέος, εἰς πόρνας ἀναλώσῃ τὸν πλοῦτον, ἢ εἰς γόητας, ἢ εἰς ἑτέρας τινὰς ἐπιθυμίας τοιαύτας, καὶ γίνεται πονηρὸς, οὐκ εὔδηλον, ὅτι οὐκ ἀπὸ Θεοῦ γέγονε τοῦτο, ἀλλ' ἀπὸ τῆς οἰκείας προαιρέσεως καὶ ἀσωτείας; Πάλιν, εἴτις ἀπὸ ἀργίας, ἢ ἀνοίας γένοιτο πονηρὸς, οὐκ εὔδηλον, ὅτι αὐτὸς ἐστὶν αἴτιος τῆς ἑαυτοῦ πενίας; Μὴ τοίνυν λέγε, ὅτι πᾶσα πλοῦτον, καὶ πᾶσαν πονίαν ὁ Θεὸς δίδωσι.

Ἰώβ. 2.

Παλλαδίου ἐκ τοῦ βίου τοῦ Χρυσοστόμου.

Ὅτ' ἂν δὲ πάντοτε εἰσὶν αἱ τῶν πονηρῶν ἀνθρώπων ἀσεισοι δυνημεῖαι, τοῦ Θεοῦ ἐπ' αὐτοῖς μακροθυμοῦντος, ὡς καὶ τοὺς Ἁγίους ἐν προσώπῳ τῶν θλιβομένων προαναφωνεῖν εἰς ἡμᾶς τὴν νῦν παρόντων βοῆς κλησιν. Καὶ πρῶτος μὲν Ἰὼβ λέγει. Ἔχουσί με τὰς σάρκας ὀδυναι· ἕτερά δὲ ἀσεβεῖς ζῶσι, πεπαλαίωνται δὲ ἐν πλούτῳ; ὁ κόρος αὐτῶν καὶ ψυχῶν, τὰ δὲ τέκνα αὐτῶν ἐν ὀφθαλμοῖς. οἱ οἶκοι αὐτῶν δυθεοῦσι, φόβος ἀδαμοῦ. μάστιξ Κυρίου ἐπ ἔστιν ἐπ' αὐτούς. ἡ βᾶς αὐτῶν ἐκ ὠμοτόκησε, διεσώθη δὲ ἀπὸ τοῦ καύματος ἐν γαστρὶ ἔχουσα, καὶ ἐκ ἔσφαλε. μύουσι δὲ ὥσπερ πρόβατα αἰώνια. τὰ δὲ παιδία αὐτῶν προπαίζουσιν. ἀναλαβόντες ψαλτήριον καὶ κιθάραν, δυφραίνονται φωνῇ ψαλμοῦ. συνετέλεσαν ἐν ἀγαθοῖς τῷ ζωῷ αὐτῶν, ἐν δὲ ἀναπαύσει ᾅδου ἐκοιμήθησαν. λέγει δὲ Κυρίῳ· ἀπόστα ἀπ' ἐμοῦ, ὁδοὺς σου εἰδέναι οὐ βούλομαι. Δαυὶτερος δὲ ὁ Δαβὶδ ἔφη. Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραὴλ τοῖς εὐθέσι τῇ καρδίᾳ, ἐμοῦ δὲ σχεδὸν ἐσαλεύθησαν οἱ πόδες, παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου, ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρωνίαν ἁμαρ-

Ἰώβ. 21.

Ματθ. 19.

Ματθ. 10.

Ψαλμ. 72.

πωλῶν

πωλῶν θεωρῶν. Καὶ πάλιν. Ὢν τὸ σῶμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ Ψαλμ. 143.
αὐτῶν δεξιὰ ἀδικίας. ὧν οἱ υἱοὶ αὐτῶν ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι
αὐτῶν. αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, ὡμοιωμέναι ὡς ὁμοίω-
μα ναοῦ. τὰ ταμεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο. τὰ πρό-
βατα αὐτῶν πολύτοκα, πληθυόντα ἐν ταῖς ἐξόδοις αὐτῶν. οἱ βόες αὐτῶν
παχεῖς. οὐκ ἔστι κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος, οὐδὲ κραυγὴ ἐν ταῖς πλα-
τείαις αὐτῶν. Τέλος δὲ ὁ Ἀββακοὺμ φησίν. Ἕως πότε Κύριε κεκράξομαι Ἀββ. 1.
πρὸς σὲ ἀδικούμενος, καὶ οὐ μὴ εἰσακούσῃς; βοήσομαι πρὸς σέ, καὶ οὐ μὴ σώ-
σῃς; ἵνα τί μοι ὑπέδειξας κόπους, καὶ πόνους, ἐπιβλέπειν ἐπὶ παλαιπωρίαν καὶ
ἀσέβειαν; ἐξ ἐναντίας γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει; διὰ τοῦτο
διεσκέδασται νόμος, καὶ οὐ διέξαγεται εἰς τέλος κρίμα· ὅτι ἀσεβὴς καταδυνα- Ἱερ. 12.
στεύει τὸν δίκαιον. Τέταρτος Ἱερεμίας φησί. Πλὴν κρίματα λαλήσω πρὸς σὲ
Κύριε. τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; εὐθυμήσαν πάντες οἱ ἀθετοῦντες ἀθε-
τήματα. ἐφύτευσας αὐτοὺς καὶ ἐρρίζωθησαν, καὶ ἐποίησαν καρπόν. ἐγγὺς εἶ
σὺ τῶν νεφρῶν αὐτῶν, καὶ πόρρω ἀπὸ τῶν νεφρῶν αὐτῶν. Πέμπτος ὁ Μα- Μαλ. 3.
λαχίας πρὸς τοὺς τὴν Πρόνοιαν τοῦ Θεοῦ μεμφομένους, καὶ τοὺς Ἁγίους ταλανίζον-
τας, ἐκ προσώπου τοῦ Θεοῦ φησίν. Ἐβαρύνατε ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν, λέ-
γει Κύριος, καὶ εἴπατε· ἐν τίνι κατελαλήσαμέν σου; εἴπατε, μάταιος ὁ δου-
λεύων Θεῷ. καὶ τί πλέον, ὅτι ἐφυλάξαμεν τὰ προστάγματα αὐτοῦ; διότι ἐπο-
ρεύθημεν ἱκέται πρὸ προσώπου Κυρίου Παντοκράτορος; καὶ νῦν ἡμεῖς μακαρίζο-
μεν ἀλλοφύλους, καὶ οἰκοδομοῦνται πάντες οἱ ποιοῦντες ἄνομα, καὶ ἀντέστησαν
Θεῷ, καὶ ἐσώθησαν. Ταῦτα κατελάλησαν οἱ μὴ φοβούμενοι τὸν Κύριον,
ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. Καὶ πάλιν. Ὦ οἱ παροξύνοντες τὸν Θεὸν Μαλ. 2.
ἐν τοῖς λόγοις ὑμῶν, καὶ εἴπατε· ἐν τίνι παρωξύναμεν αὐτόν; ἐν τῷ λέγειν
ὑμᾶς· πᾶς ποιῶν πονηρὰ, καλὸς ἐνώπιον Κυρίου, καὶ ἐν αὐτοῖς αὐτὸς ἠυδό-
κησε. καὶ πῦ ἐστὶν ὁ Θεὸς τῆς δικαιοσύνης; Λέγει δὲ καὶ ὁ Θεῖος Ἀπόστολος, Πρὸς
ὅτι πονηροὶ ἄνθρωποι, καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες, καὶ Τιμ. β'. 3.
πλανώμενοι. Μὴ τοίνυν, μήτε τούτους μακαρίσωμεν διὰ τὸν ἐνταῦθα εὐημερίαν,
ἀλλὰ δάκρυσον διὰ τὸν μέλλουσαν τιμωρίαν, μήτε τοὺς Δικαίους ταλανίσωμεν διὰ
τὸν ἐνταῦθα πενίαν, ἀλλὰ μακάρισον διὰ τὸν μέλοντα πλοῦτον. Οὗ καὶ
ἡμεῖς κληρονόμοι γενέσθαι ἀξιωθείημεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ
πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ Πατρὶ, καὶ τῷ
Παναγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΡΩΤΗΣΙΣ, ΙΒ'.

Τί ἐστὶν ὁ Μαμμωνᾶς τῆς ἀδικίας;

ΑΠΟΚΡΙΣΙΣ.

Ὅτ' καθὰ νομίζουσι τινὲς τὸν ἀπὸ ἀδικίας καὶ πλεονεξίας συναγόμενον πλοῦτον, τοῦτον εἶναι τὸν Μαμμωνᾶν, ἐξ οὗ εἶπεν ὁ Κύριος ποιεῖν πρόνοιαν φίλους, ἀλλὰ τὸν ἐκ τῆς χρείας ἡμῶν ἀποκείμενον πλοῦτον, τοῦτον εἶναι τὸν μαμμωνᾶν. Ὁ γὰρ ἀπορῶν σῶσαι, ἢ θρέψαι, τὸν ἀπὸ λιμοῦ, ἢ χρέους, ἢ αἰχμαλωσίας ἀπολλύμενον, καὶ μὴ βοηθῶν, ἕπως ὄντως ὡς ἄδικος, καὶ φονεὺς δικαίως κατακριθήσεται. Οὐκοῦν, ὁ τὸν ἐξ ἀδικίας πλοῦτον, ἀλλὰ τὸν ὑπὲρ τοῦ χρείαν ἡμῶν κείμενον, μαμμωνᾶν ἀδικίας ὁ Κύριος ἐκάλεσεν. ὡς καὶ ἀλλαχόθι ἐπιπλήττων τοὺς ἀνελεήμονας λέγει. Εἰ οὖν ἐν τῷ ἀδί- Λουκ. 16.
κῳ μαμμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, ἐν τῷ ἀληθινῷ τίς ὑμῶν πιστεύσει; Καὶ εἰ
ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς δώσει ὑμῖν; Ἀλλότριον
δὲ λέγει τοῦτο τῶν χρημάτων οὐσίαν. Οὐ γὰρ γεγεννήμεθα μετὰ πλούτου, ἀλλὰ
γυμνοὶ, καὶ τὸ γεγραμμένον. Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν Κόσμον ἄνθρωποι, Πρὸς
οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα. Ἀλλότριον τοίνυν πάντως ἀνθρώπου φυσικῶς Τιμ. α'.
τὸ πλουτεῖν. Ἔξωθεν γὰρ προσγίνεται, καὶ ὑπισυμβαίνει τισίν. Ὅταν οὖν ἐν 6.
τῷ ἀδίκῳ, καὶ ἐν τῷ ἀλλοτρίῳ, τυτέσιν ἐν τοῖς ὑπὲρ τοῦ χρείαν, καὶ ἐν τοῖς
ἔξω προσγινομένοις, πιστοὶ οὐκ ἐγένεσθε, πῶς ἂν ἀναλάβοιτε τὸ ἀληθινὸν καὶ
τὸ ἡμέτερον, τυτέσι τὸ Θεῖον χάρισμα, καὶ τὸ Θεόσδοτον ἀγαθόν; Εἶπεί ὁ
λέγων. Ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς πλεονεξίας, ὅτι οὐκ ἐν τῷ περισσεύειν Λουκ. 12.
τινὶ ἡ ζωὴ αὐτοῦ ἐστὶν ἐκ τῶν ὑπαρχόντων αὐτοῦ. καὶ, Εὐθὺ μὴ περισσεύσῃ ἡ Ματ. 3.
δικαιοσύνη ὑμῶν πλεῖον τῶν Γραμματέων, καὶ τῶν Φαρισαίων, οὐ μὴ εἰσέλ-
θητε εἰς τοὺς Βασιλείαν τῶν Οὐρανῶν. καὶ διὰ τοῦ Προφήτου. Ἐγώ εἰμὶ Κύ- Ἡσαΐας
ριος ὁ ἀγαπῶν δικαιοσύνην, καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας, καὶ ἀποδώσω 61.
δασκον ἡμῖν διὰ τοῦ ἐξ ἀδικίας καὶ πλεονεξίας πλοῦτου ἐξιλεοῦσθαι αὐτόν. Οὐ
γὰρ ὁ Ἀγαθὸς κακίαν διδάσκει, οὐδὲ πλεονεξίαν ὁ Εὐεργέτης, οὐδὲ ἀδικίαν
ὁ Δίκαιος ἐκπαιδεύει. μὴ γένοιτο. Ὥστε οὖν περὶ τοῦ ἐκτὸς τῆς χρείας ἡμῶν Ἰακ. 5.
πλοῦτου λέγει. Ὡς καὶ ὁ κατὰ σάρκα Ἀδελφὸς αὐτοῦ Ἰάκωβος συμβουλεύει τοὺς τοιού-
τους, λέγων. Ἄγε νῦν οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπω-
ρίαις ὑμῶν ταῖς ἐπερχομέναις. ὁ πλοῦτος ὑμῶν σέσηπε, καὶ τὰ ἱμάτια ὑμῶν
σητόβρωτα γέγονεν, καὶ ὁ χρυσὸς ὑμῶν, καὶ ὁ ἄργυρος κατίωται, καὶ ὁ ἰὸς
αὐτῶν εἰς μαρτύριον ὑμῖν ἔσται, καὶ φάγεται τὰς σάρκας ὑμῶν, ὡς πῦρ, ὃ Πρὸς
ἐθησαυρίσατε ἐν ἐσχάταις ἡμέραις. Ὁρᾷς ὅτι περὶ τοῦ περιττεύοντος πλούτου, Κορ. β'.
καὶ οὐ περὶ τοῦ ἐξ ἀδικίας εἴρηται; Τίς γάρ, φησὶν ὁ Ἀπόστολος, μετοχὴ δι- 6.

καιο-

καιοσυὴν καὶ ἀνομίαν; τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ; Καὶ πάλιν. Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ὄντα ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία· δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. καὶ, Τοῦτο γὰρ ἐστὲ γινώσκοντες, ὅτι πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ Βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ. καὶ, Ῥίζα πάντων τῶν κακῶν ἐστὶν ἡ φιλαργυρία. καὶ, Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ. καὶ Ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου. καὶ, Οὐκ οἴδατε ὅτι ἄδικοι Βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι; Μὴ πλανᾶσθε. ὅτι οὔτε πλεονέκται, οὔτε ἅρπαγες, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι.

Πρὸς Κολ. 3. Πρὸς Ἐφες. 5. Πρὸς Τιμ. α'. 6. Πρὸς Τιμ. β'. 2. Πρὸς Κορ. α'. 6. Παρ. 21. 15. Ἐκκλ. 34.

Τοῦ Σολομῶντος.

Ποιεῖν δίκαια, καὶ ἀληθεύειν, ἀρεστὰ Κυρίῳ μᾶλλον, ἢ θυσία. καὶ, Θυσίαι ἀσεβῶν βδέλυγμα Κυρίῳ, καὶ γὰρ παρανόμως προσφέρουσιν αὐτάς.

Τοῦ Σειραχ.

Θυσιάζων ἐξ ἀδίκων, θυσία μεμολυσμένη, καὶ ὡς ὁ θύων υἱὸν ἐνώπιον τοῦ πατρὸς αὐτοῦ, οὕτως ὁ προσάγων θυσίαν ἐκ χρημάτων πενήτων.

Μαλαχίου. Κεφ. 1.

Ὑμεῖς οἱ ἱερεῖς οἱ φαυλίζοντες τὸ ὄνομά μου. καὶ εἰσφέρετε ἁρπάγματα, καὶ τὰ χωλὰ, καὶ τὰ ἐνοχλούμενα. καὶ ἐὰν προσφέρητε αὐτὰ εἰς θυσίαν, οὐ προσδέξομαι αὐτὰ ἐκ τῶν χειρῶν ὑμῶν, λέγει Κύριος.

Τοῦ Ἰεζεκιήλ. Κεφ. 22.

Τάδε λέγει Κύριος. Οἱ ἱερεῖς ἠθέτησαν τὸν νόμον μου, καὶ ἐβεβήλωσαν τὰ ἁγιάσματά μου, καὶ ἀναμέσον ἁγίου μου καὶ βεβήλου οὐ διέστειλον, καὶ ἀναμέσον ἀκαθάρτου καὶ καθαροῦ οὐ διέστειλον.

Ἐκ τῶν Ἀποστολικῶν Διατάξεων. Βιβλίον, Δ'. Κεφ. 6.

Χρὴ τὸν Ἐπίσκοπον εἰδέναι τίνων ὀφείλει δέχεσθαι καρποφορίας, καὶ τίνων οὐκ ὀφείλει. Φυλακτέοι γὰρ παρ' αὐτῷ πρὸς δόσιν κάπηλοι. Οὐ δικαιωθήσεται γὰρ κάπηλος ἀπὸ ἁμαρτίας. περὶ αὐτῶν γὰρ καὶ Ἡσαΐας λέγει. Οἱ κάπηλοι σμίγουσι τὸν οἶνον ὕδατι. Φυκτέοι δὲ αὐτῷ καὶ οἱ πόρνοι. Οὐ προσοίσεις γὰρ τῷ Κυρίῳ μίσθωμα πόρνης. Καὶ ἅρπαγες, καὶ τῷ ἀλλοτρίων ἐπιθυμηταὶ, καὶ μοιχοὶ, βδελυκταὶ γὰρ αἱ τούτων θυσίαι παρὰ τῷ Θεῷ. Ἀλλὰ καὶ οἱ ἐκθλίβοντες χήραν, καὶ ὀρφανὸν καταδυναστεύοντες, καὶ τὰς φυλακὰς πληροῦντες αἰτιῶν, ἢ καὶ τοῖς ἑαυτῶν οἰκέταις πονηρῶς χρώμενοι, πληγαῖς φημὶ, καὶ λιμῷ, καὶ κακοδουλείᾳ, ἢ καὶ πολλὰς λυμαινόμενοι, φυκτέοι ἔσωσαν σοι ὦ Ἐπίσκοπε, καὶ αἱ τούτων προσφοραί. Παραιτοῦ δὲ καὶ ῥαδιουργὸς, καὶ κλέπτας, καὶ τελώνας ἀδίκους, καὶ ζυγοκρούσας, καὶ δολομέτρους, καὶ στρατιώτην συκοφαντοῦντα μὴ ἀρκούμενον τοῖς ὀψωνίοις, ἀλλὰ καὶ τοὺς πενήτας ἀδικοῦντα, φονέα τε, καὶ δήμιον, καὶ δικαστὴν ἄδικον, πραγμάτων ἀναξόπεα, ἄνθρω-

Ἐκκλ. 26. Ἡσα. 1. Δευτ. 21.

πον

πον ὀπίβυλον, μιαρὸν ἐργάτην, μέθυσον, βλάσφημον, τοκογλύφον, καὶ παντὸς ἑτέρου πονηροῦ, καὶ τῇ γνώμῃ τοῦ Θεοῦ ἀμαχομένην, ὅτι λέγει ἡ Γραφὴ βδελυκτὸς εἶναι ἀνδρὶ Θεῷ πάντας τοὺς πιστούς. Οἱ γὰρ ἀνδρὶ τοιούτων δεχόμενοί τι, καὶ ξένοντες τὰς χήρας καὶ ὀρφανὰς, ὑπολήψονται τῷ τοῦ Θεοῦ κειμηλίῳ χρήσονται. Εἰ δὲ καὶ ἐκ τοιούτου φαγοῦσα χήρα προσδέξεται ὑπὲρ αὐτῶν, οὐκ εἰσακουσθήσεται. ὅτι ὁ καρδιογνώστης Θεὸς μετὰ πείσεως ἀπεφήνατο περὶ τῶν ἀσεβῶν, λέγων. Ἐὰν στῇ Μωϋσῆς, καὶ Σαμουὴλ πρὸ προσώπου μου ὑπὲρ αὐτῶν, οὐκ εἰσακούσομαι αὐτῶν. Καὶ σὺ μὴ προσεύχου ὑπὲρ τοῦ λαοῦ τούτου, μηδὲ αἴρου ἐλεημοσύνας αὐτοῖς, καὶ μὴ προσέλθῃς μοι περὶ αὐτῶν, ὅτι οὐκ εἰσακούσομαί σου. Οὐ μόνον δὲ, ἀλλὰ καὶ οἱ ἐν ἁμαρτίαις χρόνοις, καὶ μὴ μετανοήσαντες, οὐ μόνον οὐκ εἰσακουσθήσονται προσευχόμενοι, ἀλλὰ καὶ τὸν Θεὸν παροξύνουσιν, ὑπομιμνήσκοντες αὐτὸν τῆς ἑαυτῶν μοχθηρίας. Προΐσασθε οὖν τὰς τοιαύτας μοχθηρίας ὡς ἄλλαγμα κυνὸς, καὶ μίσθωμα πόρνης. Ἑκάτερα γὰρ τοῖς νόμοις ἀπηγόρευται. Οὔτε γὰρ Ἐλισσαῖος τὰ ἀνδρὶ τοῦ Ἀζαὴλ προσκομισθέντα ἐδέξατο, οὔτε Ἀχίας τὰ ἀνδρὶ τοῦ Ἱεροβοάμ. Εἰ δὲ οἱ τοῦ Θεοῦ Προφῆται τὰ ἀνδρὶ τῶν ἀσεβῶν οὐ προσήκαντο ξένια, δέον ἂν καὶ ὑμᾶς, ὦ Ἐπίσκοποι. Φεῦγε σὺ οὖν ὦ Ἐπίσκοπε τὰς δυσωδεστάτας εἰς τὸν Οἶκον τοῦ Θεοῦ, καὶ τὸ Θυσιαστήριον εἰσφερομένας προσφοράς. Ἀπέχει γὰρ φησὶν ἀπὸ ἀδίκου, καὶ οὐ φοβηθήσῃ, καὶ ξόμος οὐκ ἐγγιεῖ σοι. Λεγέτω δὲ καὶ τῷ ὑπὸ σὲ λαῷ καὶ Σολομών. Τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων, καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης. Ἐκ τῶν δικαίων τούνυν κόπων τῷ πιστῶν τὸ πλῆθος ξέφετε, καὶ ἀμφισύνυτε τὰς ὑστερημένας, καὶ τὰ ἐξ αὐτῶν ἀθροιζόμενα κτήματά τε καὶ χρήματα διατάσσετε, διακονοῦντες εἰς τὰς ἀγοραστὰς τῶν πενήτων, ῥυόμενοι δούλους αἰχμαλώτους, δεσμίους ἐπιρεαζομένους, ἥκοντας ἐκ παιδίσκης διὰ τὸ Ὄνομα τοῦ Χριστοῦ ὑπὸ τυράννων εἰς μονομαχίαν καὶ θάνατον. Λέγει ἡ Γραφή. Ῥῦσαι ἀγομένους εἰς θάνατον, καὶ ἐκπορίζων κτεινομένους μὴ φείσῃ. Ἐὰν δέποτε ἀνάγκη γένηται δεῖταί τινος ἀνδρὸς ἀρχόντος, ἄκοντας δέξασθαι ἀργύριον, εἰς ξύλα καὶ ἄνθρακας αὐτὰ δαπανήσατε. ἵνα μὴ λαβοῦσα χήρα ἐξ αὐτῶν, ἢ ὀρφανὸς, ἀναγκασθῇ ὠνήσασθαι ξοφὼ ἐξ αὐτῶν, καὶ πόμα ἀνδρὶ τὸ μὴ προσῆκον. δίκαιον γὰρ τὰ τοιαῦτα πυρὸς εἶναι παναλώματα, καὶ ἐκ δισεβῶν βρώματα. Ταῦτα γὰρ καὶ ὁ Νόμος φησί. Θυσίαν ὀφιθεῖσαν ἀπὸ κακῶν, πυρὶ ταύτην ἀναλίσκεσθαι κελεύω. Ὁ γὰρ ἀπὸ τοιούτων δεχόμενος ἐμμενόντων τοῖς κακοῖς, καὶ μὴ μετανοούντων, κοινωνεῖ τούτοις τῇ προσδοκίᾳ, καὶ λυπεῖ Θεὸν τὸν τοὺς ἀδίκους ἀποστρεφόμενον, καὶ οἰκοδομεῖ αὐτοὺς ἀνὰ τὴν ἀναξίαν δόσεως, καὶ συμμολύνεται αὐτοῖς, μὴ ἀφέων αὐτοὺς εἰς μετάνοιαν ἐλθεῖν.

Παρ. 24. Δευτ. 23. Βασ. δ'. 8. Ἐκκ. 7. Παρ. 3. Λευϊτ. 16.

Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ κατ' Ἰουλιανόν.

Ὡς μὴ δεῖσθαι πλήρης ὢν ὁ Θεὸς μηδενὸς τῶν ἀνθρωπίνων τε καὶ μικρῶν, ἵνα χαίρῃ τοῖς ἀναξίως προσφερομένοις· τούτῳ τῷ αὐτῷ θυ-

σίαν, ἢν ἡ μόχος, ὡς κωύα βδελυττόμενος, καὶ ὡς βλασφημίαν τὸν λίβανον, καὶ αὐτάλλαγμα πόρνης, ἐξορίζων τὸ Ἱερὸν, καὶ ἀποστόμωμος, μᾶλλον δὲ θυσίαν τιμῶν, ἵνα καθαραὶ τῷ καθαρωτάτῳ προσφέρωσι χεῖρες, καὶ νοῦς ὑψηλός τε καὶ ἡγνισμένος.

Τοῦ Ἁγίου Βασιλείου ἐκ τῆς διὰ πλάτους Ἀσκητικῶν.

Οὔτε γὰρ ἐξ ἀδίκων κερδῶν δύναται προσιέναι τὸν δεόμενον δεκτὰ τῷ Θεῷ, ὅτε ὁ τῶν ἀδίκων ἀπεχόμενος, εἰ μηδενὶ μεταδοίη τῶν ἑαυτοῦ. Καὶ τοῖς μὲν τῶν ἀδικούντων, καὶ δῶρα Θεῷ προσφέρειν ἐπιχειρούντων γέγραπται· Θυσία ἀνόμων βδέλυγμα Κυρίῳ. Καὶ περὶ δὲ τῶν μὴ ἐλεούντων· Ὁ φράσσων τὰ ὦτα αὐτοῦ μὴ εἰσακοῦσαι πένητος, καὶ αὐτὸς βοήσεται, καὶ οὐκ ἔσται ὁ εἰσακούων αὐτοῦ. Διὰ τοῦτο ἡ Παροιμία συμβουλεύει τιμᾶν τὸν Κύριον ἀπὸ δικαίων πόνων, καὶ ἀπάρχεσθαι αὐτῷ ἀπὸ καρπῶν δικαιοσύνης. Εἰ γὰρ ἐξ ἀδικίας καὶ ἁρπαγῆς μέλλεις προσφέρειν Θεῷ, κάλλιον μὴ κτήσασθαι τινὰ τοιαύτην κτῆσιν, μήτε προσφέρειν ἐξ αὐτῆς. πάλιν εἰ ἐπώμοσεν ἐκ δικαίων πόνων, μὴ προσφέρεις Θεῷ προσφοράς, ἀφ' ὧν βρέφονται πένητες, ἁρπαγὴ λογισθήσεταί σοι, καθὰ φησὶν ὁ Θεὸς διὰ τοῦ Προφήτου, ὅτι αἱ ἁρπαγαὶ, καὶ τὰ ὁπόδεκτά μεθ' ὑμῶν εἰσὶ, καὶ ἔσται ἡ ἁρπαγὴ ἐν τοῖς οἴκοις ὑμῶν. Δεῖ τοίνυν ἔλεον καὶ κρίσιν συγκεράσαντας ἡμᾶς, μέλειν μὲν, καὶ κατάδαι μετὰ κρίσεως, καὶ ἀναλίσκειν εἰς ἔλεον, μετὰ τὸ γεγραμμένον. Ἔλεον καὶ κρίσιν φυλάσσε, καὶ ἔγγιζε πρὸς τὸν Θεόν σε διὰ παντός. Ἐλεημοσύνῃ γὰρ καὶ κρίσιν ἀγαπᾷ ὁ Θεός. Λοιπὸν ἐνταῦθα ἐξεταζέτω τις ἑαυτόν. σκοπείτω τὰς ἰδίας πόνους ὁ πλούσιος, ἐξ ὧν ἀναφέρειν μέλλει δῶρα Θεῷ, μὴ τὸν πόνον καταδυνάσθησε; μὴ τὸν ἀθυμότερον κατεβιάσατο; μὴ τὸν ὑποκείμενον αὐτῷ πεπλεονέκτηκε; Μὴ γὰρ ὅτι πρακτῆς βιάζῃ, μηδὲ ὅτι δυνάσαι πλεονέκτει· ἀλλ' ὅτι παρέσησοι τὸ τῆς ἐξουσίας, δεῖξον τὸ τῆς δικαιοσύνης. Οὐ γὰρ ἐν ᾧ μὴ δυνάσαι, ἀλλ' ἐν ᾧ καταβιῶαι δυνάμενος, ἀ καταβαίνεις, τινὶ ὑπόδεξιν τῆς πρὸς Θεὸν ὑπακοῆς καὶ τὸ φόβου παρέχεις. Εἰδὲ ἀφελόμενος τὰ τῶν πενήτων πένησι δίδως, κάλλιον ἦθα ὡς εἴρηται, μήτε ἁρπάζων, μήτε διδούς. τί μολύνεις τὸν σεαυτοῦ πλοῦτον, ἐπεισάγων ἐν αὐτῷ τὰ τῆς ἀδικίας κέρδη; τί βδελυκτὴν ποιεῖς τινὶ σεαυτὸν προσφοράν, ἐξ ἀδικίας προσφέρειν ἐπιχειρῶν; Ἐν ᾧ μέλλεις ἕτερον πτωχὸν ἐλεεῖν, ἐκεῖνον ἐλέησον ὃν ἀδικεῖς, εἰς τοῦτον καταχρήσασθαι τινὶ φιλανθρωπίαν, τούτῳ χάρισαι, καὶ πληρώσεις ἔλεον μετὰ κρίσεως. Οὐ γὰρ κοινωνήσει πλεονεξία Θεὸς, οὐδὲ λῃστῶν καὶ ἁρπαγῶν ὁ Κύριος κοινωνός. Οὐ γὰρ ὡς ἀδύνατος ἔφερε τὰς πονίας κατέλιπεν ἡμῖν αὐτὰς, ἀλλὰ τινὶ δικαίαν καὶ φιλάνθρωπον καρποφορίαν παρ' ἡμῶν ζητῶν, εἰς ἡμετέραν ἐργασίαν. Ἐλεημοσύνη γὰρ ἐξ ἀδικίας οὐ γίνεται, οὐδὲ ἀπὸ κατάρας εὐλογία, οὐδὲ ἀπὸ δακρύων ἐργασία. Λέγει γὰρ ὁ Θεὸς, ὅτι ἃ ἐμίσησεν ἐποιεῖτε, καὶ ἐκαλύπτετε δάκρυσι τὸ Θυσιαστήριόν μου. οὐ δέχεται ὁ Θεὸς τὰ δῶρά σου, ἐὰν λυπήσῃς

Παρ. 15. 21. καὶ 3.

Ἡσα. 3.

Ὡσηὲ 12.

Μαλ. 2.

σῃς τὸν ἀδελφόν σου, διὰ φησίν. Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ὅτι τὸ Θυσιαστήριον, καὶ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατά σου, ἄφες τὸ δῶρόν σου ἔμπροσθεν τοῦ Θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε πρόσφερε τὸ δῶρόν σου. Μέμνησο καὶ τοῦ Ζακχαίου, ὃς προθέμενος δοῦναι τετραπλασίονα εἴτι ἐσυκοφάντησεν, ὅπου τῶν ὑπολειπομένων χρημάτων τὰ ἡμίσεια πτωχοῖς ἀπεμέρισεν. Ἤδει γὰρ, ὅτι ὁ Χριστὸς οὐ δέχεται τὰ ἐξ ἀδικίας, εἰμὴ λυθεῖεν αἱ κατὰ τῶν ἀδικηθέντων πλεονεξίαι. Καὶ ταῦτα μὲν πρὸς τὰς ἐξ ἀδικίας τὰς ἐλεημοσύνας ποιοῦντας. Πρὸς δὲ τὸν ἀδικεῖν μὲν φυλαττόμενον, ἐλεεῖν δὲ ἀμελοῦντα, λέγομεν. Ὅτι δένδρον ἄκαρπον ἐκκόπτεται, καὶ εἰς τὸ πῦρ βάλλεται, καὶ οὐδέποτε τὸ τοιοῦτον δένδρου ἀρέσει τῷ Οὐρανίῳ Γεωργῷ τῷ λέγοντι, ὅτι ἦλθε καρπὸν ζητῶν ἐν τῇ συκῇ, καὶ οὐχ εὗρε· καὶ κελεύοντι αὐτὴν ἐκκόπτεσθαι, ἵνα μὴ καὶ τὸν τόπον καταργῇ. Ὁ γὰρ πλοῦτος τοῖς μὲν οἰκονομίας ἕνεκεν δίδοται παρὰ Θεοῦ, ὡς τῷ Ἀβραὰμ, καὶ τῷ Γὼβ, καὶ τοῖς τοιούτοις, τοῖς δὲ φαυλοτέροις προκλήσεις τοῦ βελτιωθῆναι κατὰ τὸν τρόπον. ὡς ὅταν μὴ τοσαύτην παρὰ Θεοῦ δέξωσιν ὀπτμὴν τῆς ἀδικίας, ἀναστρέψωσιν ἑαυτὸν οὐοδίνων τῆς κρίσεως καθίσωσι.

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου εἰς τὸ ῥητὸν, τὸ, Καθελὼ μου τὰς ἀποθήκας.

Πλεονεξίας εἶδος τὸ χαλεπώτατον, μηδὲν τῶν φθειρομένων μεταδιδόναι τοῖς ἐνδεέσι. Τίνα φησὶν ἀδικῶ συνέχων τὰ ἐμαυτοῦ; Ποῖα εἰσπέμοι σαυτοῦ; Πόθεν λαβὼν εἰς τὸν βίον εἰσήνεγκας; Τίς ἂν εἴη ὁ πλεονέκτης; ὁ μὴ ἐμμένων τῇ αὐταρκείᾳ. τίς δὲ ὁ ἀποστερητής; ὁ ἀφαιρούμενος τὰ ἑαυτοῦ. σὺ δὲ ὁ πλεονέκτης; σὺ δὲ οὐκ ἀποστερητής; ὅτι ἃ πρὸς οἰκονομίαν ἐδέξω, ταῦτα ἴδια σαυτοῦ ποιεῖς; Ἆρα εἰ ὁ μὴ ἐνδεδυμένον ἀπογυμνῶν λωποδύτης ὀνομασθήσεται, ὁ δὲ τὸν γυμνὸν μὴ ἐνδύων, δυνάμενος τοῦτο ποιεῖν, ἄλλης τινὸς προσηγορίας ἐστὶν ἄξιος; Τοῦ πεινῶντος ἐστὶν ὁ ἄρτος, ὃν σὺ κατέχεις. τοῦ γυμνιτεύοντος τὸ ἱμάτιον, ὃ σὺ φυλάττεις ἐν ἀποθήκαις. τοῦ ἀνυποδέτου τὸ ὑπόδημα, ὃ παρὰ σοὶ κατασήπεται. τοῦ χρῄζοντος τὸ ἀργύριον, ὃ καταρύξας ἔχεις. ὥστε τοσούτους ἀδικεῖς, ὅσους παρέχειν ἠδύνασο.

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς πλουτοῦντας.

Πονηρὰ βουλή. ζῶν μὲν φησὶν ἀπολαύσω τῆς ἡδονῆς, ἀποθανὼν δὲ πράξω τὰ ἀσυντάκτως. Εἶπε καὶ σοὶ Ἀβραάμ. Ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ τὰ ἐξῆς. Τῷ θανάτῳ χάρις σοί. Εἰ γὰρ μὴ θάνοις ἐν τῇ ζωῇ σου, καὶ τὰ ἐξῆς. Τῷ θανάτῳ χάρις, ὦ σοί. Εἰ γὰρ μὴ ἐθανάτου, οὐκ ἂν ἐμνήσθης τῶν ἐντολῶν. Μὴ πλανᾶσθε. Θεὸς οὐ μυκτηρίζεται. Νεκρὸς εἰς θυσιαστήριον οὐκ ἀνάγεται. ζῶσαν προσενέγκε τινὶ θυσίαν σου. Ὁ ἐκ τοῦ ἁρπάσματος προσφέρων, ἀπρόσδεκτος, ὡς ἀφαιρούμενος τὰ ἑαυτοῦ. σὺ δὲ, ἃ μετὰ πάντων τινὶ ζῶντι ἐκτήσω, ταῦτα προσφέρεις τῷ Εὐεργέτῃ; εἰ οὐ τολμᾷς ἐκ τῶν λειψάνων τῆς ἁπλῆς ἐξιλεώσασθαι τὰς ἐνδόξους, πῶς ἂν τολμᾷς Θεὸν ἐξιλεώσασθαι;

Μαρ. 6.

Λουκ. 19.

Μαρ. 7. καὶ 21.

Λουκ. 16. Πρὸς Γαλ. 6.

Τῦ Χρυσοστόμυ ἐκ τῦ περὶ Ρωμαίυς.

ΤΟ μὲν ἓν ἄμεινον, καὶ πολλῶ παῤῥησίαν παρέχον, ζῶντα πενίαν διορθῶν. εἰδὲ ἐκεῖνο μὴ βελτιῶς, κἂν τελευτῶν. ὁ πολλῆς μὲν γὰρ ἐστὶν ἀγάπης τῦτο τῆς περὶ Χριστὸν, ἀγάπης δ' ὅμως.

Τῦ αὐτῦ ἐκ τῦ περὶ Ἐφεσίυς Ἐπιστολῆς.

ΤΟῦτο ἐκ ἔστιν ἐλεημοσυνὴ, τὸν τελευτῶντα, καὶ ἐκ ὄντα κύριον τότε παρέχειν. ὁ γὰρ ἐκ τῶν σῶν οἶδας διδόναι λοιπὸν, ἀλλ' ἐξ αὐτῆς τῆς ἀνάγκης. τῷ θανάτῳ χάρις, ὁ σοί. τῦτο ἐκ ἔστι φιλοσοργίας, ἀλλ' ἐπηρείας. πλὴν κἂν ὕστερον γένηται, κἂν τότε λύσον τὸ πάθος τῆς ἀπανθρωπίας.

Τῦ αὐτῦ ἐκ τῦ κατὰ Ἰωάννην.

Ἐλεημοσύναις γὰρ φησὶ καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι. Ἐλεημοσύνη δὲ ὁ τὴν ἐξ ἀδικίας λέγω. τῦτο γὰρ ἐκ ἔστιν ἐλεημοσύνη, ἀλλ' ὠμότης, καὶ ἀπανθρωπία. Τί γὰρ ὄφελος ἐνδύσαι ἕτερον, καὶ ἕτερον ἐνδύσαι; Λευ. 19. κἂν γὰρ πάντα τὰ παρ' ἑτέρων δῶμεν, ὐδὲν κέρδος ἡμῖν. Καὶ δείκνυσιν ὁ Ζακχαῖος, ὃς τότε ἔφησεν ἐξιλεῦσθαι τὸν Θεὸν, ὅταν τῶν ἀφαιρεθέντων τετραπλασίονα. ἡμεῖς δὲ μύρια ἁρπάζοντες, καὶ ὀλίγα διδόντες, νομίζομεν ἵλεων ποιεῖν τὸν Θεὸν, καίτοιγε μᾶλλον παροξύνομεν αὐτόν. Εἰπὲ γάρ μοι. Εἴγε ὄνον νεκρὸν καὶ σεσηπότα, ἀπὸ τῆς ξιόδης ἐλκύσας, ὅπι τὸ θυσιαστήριον ἔφερες, ἆρα ἐκ ἂν ἅπαντες σὲ κατέγνωσαν ὡς μυσαρόν; Τί ἔν σοι ἐλέγξω, ὅτι ἡ ἐξ ἁρπαγῆς θυσία μυσαρωτέρα τῦτο; ποίας τύξώμεθα ἀπολογίας; Θεῷ μὲν γάρτι κεφάλιον ἐξ ἁρπαγῆς γενέσθαι, ὐχὶ ὄνε πεθνηκότος μᾶλλον ὄδωδε; Καὶ σὺ μὲν δὴ χρημάτων ἀξιοῖς τὸν Θεὸν ἐπιλαθέσθαι ὧν ποιεῖς κακῶν, δὴ δὲ πραγμάτων ὧν ποιεῖς ἁρπάζων, ἐδασκαλάζεις μεμνῆσθαι διϊσχυρῶς ἐπιτιθεὶς τὴν θυσίαν εἰς τὸ θυσιαστήριον. Νῦν δὲ ὁ τῦτο μόνον ἐστὶ τὸ ἁμάρτημα, ἀλλὰ καὶ τοσῦτῳ χαλεπώτερον, ὅτι καὶ τὰς τῶν Ἁγίων μολύνεις ψυχάς. Ἐκεῖναι γὰρ ἀγαπῶντὸς φορῦσι τὸν Χριστὸν, καὶ τολμᾷς ἐκεῖ πέμπειν ἀπὸ τοιαύτης ἀκαθαρσίας; Οὐχὶ φησὶν, ἐκ αὐτῶν τὰ χρήματα, ἀλλ' ἕτερα. Γέλως παῦτα, καὶ λῆρος. Οὐκ οἶδας, ὅτι κἂν εἰς πολῦ πλῆθος χρημάτων τι τῆς ἀδικίας ἐμπέσῃ πάντα μολύνει; καὶ καθάπερ εἰς πηλὸν καθαρὰν κόπρον τις ἐμβαλὼν, πᾶσαν αὐτὴν ἀκάθαρτον εἰργάσατο, ὕστως ἐν πλύτῳ πλεονεξία εἰσελθοῦσα, πάντα ἀποπνεῖ τῆς ἐκεῖθεν δυσωδίας. Τῦ γὰρ ὕστως ἐλεεῖν τὸ μὴ ἐλεεῖν κρεῖττον· ἐπεὶ καὶ Καὶν βέλτιον ἦν μηδὲ ὅλως προσενεγκεῖν. Εἰδέ ὁ τὰ ἐλάττω κομίσας τὸν Θεὸν παρώξυνον, ὁ τὰ ἀλλότρια διδοὺς πῶς ἐ παροξυνεῖ; Ἀλλ' ἐμὰ εἰσὶ φησί. ἐκ ἔσησα μὴ τὴν ἁρπαγὴν, ἀλλ' ἐκείνα. Καὶ αὐτὸς ἐστὶ Κύριος αὐτῶν, κἂν μυριάκις αὐτὰ κατέχεις. Ἐγώ σοι εἶπον φησὶ μὴ ἁρπάζειν, καὶ σύ με ἐξ αὐτῶν τιμᾷς; ἐκοῦν ἐρεῖ πρὸς σέ· Τί πέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος; ἐλέγξω σε, καὶ ἵσησω κατὰ πρόσωπόν σε τὰς ἁμαρτίας σε. Ψαλμ. 49.

Τῦ

Τῦ αὐτῦ ἐκ τῦ κατὰ Ματθαῖον.

Ἐπὶ οἱ μηδὲν ἀδικήσαντες κολάζονται ὅτι ὐ μετέδωκαν, πολλῷ μᾶλλον οἱ τὰ ἑτέρων ἁρπάζοντες. Μὴ τοίνυν τῦτο εἴπῃς, ὅτι ἄλλος ἠδίκηται, καὶ ἄλλος ἠλέηται. τὸ γὰρ δεινὸν τῦτο ἐστίν. Ἔδει γὰρ τὸν ἀδικούμενον αὐτὸν εἶναι καὶ τὸν ἐλεούμενον. Νυνὶ δὲ ἕτερος θαυματίζων, ὃν ἐκ ἐθαυμάτισας θεραπεύεις; δέον ἐκείνῃς θεραπεύειν, μᾶλλον δὲ μὴ θαυματίζειν. Ὁ γὰρ φιλάνθρωπος ὐχ ὁ πλήττων καὶ θεραπεύων, ἀλλ' ὁ τὲς παρ' ἑτέρων πληγὰς ἰώμενος. Οὐ γὰρ δυνατὸν τῷ αὐτῷ μέρει τῆς ἐλεημοσύνης θεραπεῦσαι τὶ τὸ ὑπὸ τῆς πλεονεξίας κακόν. Ἂν γὰρ πλεονεκτήσῃς ὁβολὸν, ὐχ ὁβολῦ σοι δεῖται πάλιν εἰς ἐλεημοσύνην, ἵνα αἴρῃ τὸ τῆς πλεονεξίας ἕλκος, ἀλλὰ ταλαίπτε. Διὰ τῦτο ὁ κλέπτης ἁλὺς, τετραπλάσιον καταβάλλει· τὸ δὲ κλέπτοντος ὁ ἁρπάζων χείρων. Εἰ δὲ ἐκεῖνον τετραπλάσιον δῦναι δεῖ ὧν ἔκλεψε, τὸν ἁρπάζοντα δεκαπλάσιον πολλῷ πλέον εἶγε κἂν ὕστω δυνηθῇ τὴν ἀδικίαν ἐξιλεώσασθαι. Ἐλεημοσύνης δὲ ὐδὲ τότε λήψεται καρπόν. Διὰ τῦτο ὁ Ζακχαῖος, ἀποτίσω φησὶν ὧν ἐσυκοφάντησα εἰς τὸ τετραπλάσιον, καὶ τὰ ἡμίσια τῷ ὑπαρχόντων μὲ δώσω πτωχοῖς. Εἰ δὲ ἐν τῷ Νόμῳ τετραπλάσιον δεῖ δῦναι, πολλῷ μᾶλλον ἐν τῇ Χάριτι, ὥστε κἂν ἑκατονταπλάσιον δῷς, ὐδὲ τότε τὸ παῦ ἔδωκας. Εἰ δὲ τῦτο ποιῶν μᾶλις θεραπεύεις τὸ κακὸν, ὅταν ἀντιστρέψῃς τὴν τάξιν, καὶ ἁρπάσῃς μὲν ὐσίας ὁλοκλήρυς, ὀλίγα δὲ δῴῃς, καὶ μηδὲ ἐκείνοις τοῖς ἀδικηθεῖσιν, ἀλλ' ἑτέροις αὐτ' ἐκείνων, ποίαν ἕξεις ἀπολογίαν; τίνα συγγνώμην; ποίαν ἐλπίδα σωτηρίας; Βάλει μαθεῖν ὅσον ἐργάζῃ κακὸν ὁ ὕστως ἐλεῶν; ἄκυσον τῆς Γραφῆς λεγύσης. Ὡς ὁ ἀποκτείνων υἱὸν ἐμπροσθεν τῦ πατρὸς αὐτῦ, ὕστως ὁ προσάγων θυσίαν ἐκ χρημάτων πενήτων. Ἐκκλ. 34.

Γσιδώρυ Ἐπισκὴ πρὸς Εὐσέβιον Ἐπίσκοπον.

ΚΤίζεις ὡς φασὶν Ἐκκλησίαν ἐν Πηλυσίῳ, λαμπρὰν μὲν τοῖς μηχανήμασι, πονηροῖς δὲ τοῖς ἐπιτηδεύμασι, καὶ ἀδικίαις, καὶ ὕβρεσι, καὶ πενήτων ἐκπιασμοῖς, καὶ πτωχικοῖς δαπανήμασιν. ὅπερ ὐδὲν ἐστὶν ἕτερον, ἢ κτίζειν Σιὼν ἐν αἵμασι, καὶ Ἱερσαλὴμ ἐν ἀδικίαις. ὁ γὰρ χρήζει ὁ Θεὸς ἐξ ἀλλοτρίων θυσίας, ἀλλὰ ταῦτα ὡς θυόμενον κύων μυσάττεται. Παῦσαι τοίνυν καὶ κτίζων, καὶ ἀδικῶν. ἵνα μὴ ὁ οἶκος ἐκεῖνος εἰς ἔλεγχόν σε ὑπὸ Θεῦ εὑρεθῇ, μετέωρος μὲν καὶ ὑψηλὸς ἑστὼς, καταβοᾷ δέ σε αἰώνια καὶ ἀσίγητα μὴ Ἱερεμιᾶ. Οὐαὶ ὁ οἰκοδομῶν τὸν οἶκον αὐτῦ εἰς ὕψος ὐ μὴ δικαιοσύνης, καὶ τὰ ὑπερῷα αὐτῦ ὐκ ἐν κρίματι παρὰ τὸν πλησίον αὐτῦ ἐργάζεται δωρεάν, καὶ τὸν μισθὸν αὐτῦ ὐ μὴ ἀποδῶσῃ, καὶ ἐξ οἵων κακῶν ἐκτίσθη, καὶ τὰς ἐσερημένυς μισθὲς ἀπαιτῶν, καὶ τὸν ἄμπελον τῶν βλαβέντων ζητῶν. Ὁ δὲ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτῦ ἀποδίδυς Θεὸς, αὐτὸς ἐλεήσοι τὰς ψυχὰς πάντων ἡμῶν, ὅτι αὐτῷ πρέπει δόξα, τιμὴ, καὶ κράτος, εἰς τὲς αἰῶνας τῶν αἰώνων. Ἀμὴν. Μιχ. 3. Ἱερ. 22.

ΕΡΩ-

ΕΡΩΤΗΣΙΣ, ΙΓ'.

Πόσον μέρος τῶν ἰδίων χρημάτων ὀφείλει τις προσφέρειν τῷ Θεῷ;

ΑΠΟΚΡΙΣΙΣ.

Τῶν Ἑλλήνων καὶ αἱρετικῶν τὰς ἰδίας υἱεῖς, καὶ τὰς θυγατέρας αὐτῶν τοῖς θεοῖς αὐτῶν θυσάντων, καὶ διδόντων, μᾶλλον δὲ τοῖς δαίμοσι, ποίαν ἀπολογίαν λοιπὸν ἡμεῖς ἔχομεν; καὶ ὅταν δὲ καὶ αὐτὴν ἡμῶν τὴν σάρκα προσενέγκωμεν τῷ Θεῷ, ἐδὲν ἄξιον τῶν δωρεῶν ὧν ἐχαρίσατο ἡμῖν πεποιηκαμεν. Τῦ Χρυσοστόμυ ἐκ τῦ κζ Ματθαῖον.

Ὅσῳ γὰρ αὖτις μεῖζον διεργετεῖται, τοσούτῳ μᾶλλον ἐστὶν ὑπόδικος τῇ κολάσει ἀγνωμονῶν, καὶ μὴ θελήσας τῇ τιμῇ χρήσθαι βελτίων. Διὰ τοῦτο καὶ οἱ πλουτοῦντες τῶν πενομένων μᾶλλον κολάζονται ὄντες κακοί, ὅτι μηδὲν ὠφέλειαν γεγόνασιν ἕτεροι. Μὴ γάρ μοι λέγε, ὅτι δεδώκασιν ἐλεημοσύνην· εἰ γὰρ μὴ κατ' ἀξίαν δεδώκασιν, οὐδὲ ὅτω ὠφελήκασιν τὸν κόλασιν. Οὐ γὰρ τῷ μέτρῳ τῶν δεομένων ἡ ἐλεημοσύνη κρίνεται, ἀλλὰ τῇ δαψιλείᾳ τῆς γνώμης. Εἰ δὲ οἱ ἐκ μέρους παρέχοντες δίκην δώσουσι, μὴ κατ' ἀξίαν διδόντες, πολλῷ μᾶλλον οἱ φιλαργυρίᾳ νοσοῦντες. Προσέταξε γὰρ ὁ Χριστὸς περισσεῦσαι τὸν δικαιοσύνην ἡμῶν πλείονα τῶν Γραμματέων καὶ Φαρισαίων. Ματ. 5. ὥστε κἂν ἐλεημοσύνην δῷς, μὴ πλείονα δὲ ἐκείνων, οὐκ εἰσελεύσῃ εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν. Καὶ πόσων ἐκεῖνοι παρεῖχον ἐλεημοσύνην; τῶν ὄντων ἁπάντων δεκάτην, καὶ πάλιν ἑτέραν δεκάτην, καὶ μετὰ ταύτης τρίτην, ὥστε παρ' ὅλον τὸ τρίτον τῆς οὐσίας παρεῖχον. Τρεῖς γὰρ δεκάται σωτηθεῖμεν ἂν τοῦτο ποιοῦσι. Καὶ μετὰ τέκνων καὶ ἀπαρχὰς, καὶ τὰ πρωτότοκα, καὶ ἕτερα πλείονα· οἷον τὰ ὑπὲρ ἁμαρτημάτων, τὰ ὑπὲρ καθαρισμῶν, τὰ ἐν ἑορταῖς, τὰ ἐν τῷ Γωβιλαίῳ, τὰ ἐν ταῖς τῶν χρεῶν ἀποκοπαῖς, καὶ ταῖς τῶν ἱκετῶν ἀφέσεσι, καὶ τοῖς δανείσμασι τῶν τόκων ἀπηλλαγμένοις. Εἰ δὲ ὁ τὸ τρίτον δοὺς, μᾶλλον δὲ τῶν ὄντων τὸ ἥμισυ· μετὰ γὰρ τέκνων ἐκεῖνα σωτηρίαν τὸ ἥμισυ ἐστίν· Εἰ τοίνυν ὁ τὸ ἥμισυ δοὺς οὐδὲν ἐργάζεται, ὁ μηδὲ τὸ δέκατον παρέχων, τίνος ἄξιος ἐστί; Τί γάρ ὄφελος εἰπέ μοι, ὅταν πλεῖστον πολὺν ἔχων, ποσοῦτον παρέχεις, ὅσον αὖτις ὁπὸ πελάγους κύαθον δώσει, καὶ μηδὲ χήρας γυναικὸς μεγαλοψυχίαν ζηλώσῃς; πῶς δὲ ἐρεῖς· Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου; Αὐτὸς δὲ κατὰ τὸ μέγα ἔλεος ἐλεῶν, πόθεν δὲ οὐδὲ κατὰ τὸ μικρόν; Εἰκότως γὰρ ἔλεγεν ὁ Κύριος, ὅτι ὀλίγοι οἱ σωζόμενοι. Λουκ. 13. Ψαλμ. 50. Λουκ. 21.

Τῦ

Τῦ Ἀποστόλυ. Β'. Πρὸς Κορινθίους. Κεφ. 9.

Ὁ Σπείρων φειδομένως, φειδομένως καὶ θερίσει, καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει. Ἕκαστος καθὼς προῄρηται τῇ καρδίᾳ, μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης. Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός. Δυνατὸς δὲ ὁ Θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς. ἵνα ἐν παντὶ παύποτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύητε εἰς παν ἔργον ἀγαθὸν, καθὼς γέγραπται. Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτῦ μένει εἰς τὸν αἰῶνα τῦ αἰῶνος.

ΕΡΩΤΗΣΙΣ, ΙΔ'.

Πῶ συμφέρει προσφέρειν τὰ χρήματα, ἐν Ἐκκλησίαις, ἢ εἰς τὰς πένητας;

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ Κύριος ἐπαινῶν τὰς ἐκ δεξιῶν, καὶ λέγων· Δεῦτε οἱ εὐλογημένοι τῦ Πατρός μυ, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμυ· ἐδενὸς ἄλλυ ἐμνημόνευσεν, εἰμὴ τῆς εἰς τὰς πτωχὰς καὶ ξένους, καὶ γυμνὰς, καὶ ἐν φυλακαῖς ἐλεημοσύνης. Πλὴν εἰσὶ καὶ Ἐκκλησίαι λειτουργίαι τινῶν σεμνῶν καὶ ἀναγκαίων, αἷς δεῖ προσφέρειν· ἐπεὶ ὁ εἰς εὐπόρους Ἐκκλησίας προσφέρων, οὐκ οἶδε τί μετὰ ταῦτα γίνονται τὰ ἐκεῖ συναγόμενα. Πολλαὶ γὰρ Ἐκκλησίαι ἀπλείστως σωπάξασαι, καὶ μὴ καλῶς αὖτε διοικήσασαι, ὕστερον, ἢ διεφθάρησαν ἀμεληθεῖσαι, ἢ ὑπὸ πλεπτῶν, ἢ βαρβάρων ἁφῃρέθησαν. Τῦ Χρυσοστόμυ ἐκ τῦ κζ Ματθαῖον.

Ὑπὲρ μὲν γὰρ τῦ μὴ Ἐκκλησίας καλλωπίζειν οὐδεὶς ἐνεκλήθη ποτὲ, ὑπὲρ δὲ τῶν πένητας μὲ ἐλεῆσαι, καὶ γέεννα ἠπείληται, καὶ πῦρ ἄσβεστον, καὶ ἡ μετὰ δαιμόνων τιμωρία. Μὴ τοίνυν τὸν οἶκον κοσμῶν, τὸν ἀδελφὸν θλιβόμενον παρόρα. Οὗτος γὰρ ἐκείνυ ὁ ναὸς κυριώτερος. Καὶ ταῦτα μὲν, καὶ βασιλεῖς ἄπιστοι, καὶ τύραννοι, καὶ λῃσταὶ δυνήσονται λαβεῖν τὰ κειμήλια. Ὅταν δὲ ὅσα αὖ εἰς τὸν ἀδελφὸν ποιήσῃς πεινῶντα, καὶ ξένον ὄντα, καὶ γυμνὸν, οὐδὲ ὁ διάβολος συλῆσαι δυνήσεται, ἀλλ' ἐν ἀσύλῳ κείσεται θησαυρῷ.

Τῦ αὐτῦ ἐκ τῦ εἰς τὸν Ἡρωδιάδα.

Καὶ ὁ μὲν Θεὸς δυνάμενος πάντας τοὺς ἁγίους τοὺς ὄντας ἐν τῷ Κόσμῳ δι' ἑαυτῦ θρέψαι, ἐπέσχε τὸν δόσιν, ἵνα τοὺς προῃρημένους καρδίας ἐν τῷ φιλοξενίας καιρῷ ἀπὸ τῶν καρπῶν διακείνῃ. Ἐπειδὰν δὲ μὴ ὦσί τινες, οἱ ὀφείλοντες αὐτοὺς ὑποδέξασθαι, ἢ δι' ὀρνέα βέβρει, ὡς τὸν Ἠλίαν ἐν τῷ ὄρει, ἢ διὰ Προφήτα, ὡς τὸν Δανιὴλ ἐν τῷ λάκκῳ, ἢ διὰ θαλάσσης ζώυ ὡς τὸν Γωνᾶν ἐν τῇ θαλάσσῃ, ἢ αὐτὸς δι' ἑαυτῦ τῦ βοηθῦ ἐπομβρεῖ, ὡς τοῖς πατράσιν ἐν τῇ ἐρήμῳ. Οὐκ ὄντων γὰρ τῶν ὀφειλόντων αὐτοὺς ὑποδέξασθαι, Ματθ. 25. Βασιλ. γ'. 17. Δαν. 12. Ἰων. 2. Ἐξ. 16.

πρα-

Εξ.17. Λευθ. 11. ὑρανόθεν τὸ μάνα ἐπομβρεῖ, καὶ τὸ ὕδωρ ἐκ πέτρας ἐπήγαγε, καὶ ἐκ τῆς ἀέρας ὀρτυγομήτραν αὐτοῖς ἐκόμιζεν. Ὅταν δὲ ὦσιν ἐν τῷ Κόσμῳ οἱ Ἅγιοι σωσανασρεφόμενοι τοῖς ἀνθρώποις, ἀνασέλλει τὴν χεῖρα αὐτῆς, χάριν καὶ τῆς εἰς αὐτὰς δυσποιίας, πολλοῖς καὶ ὁρῶν αὐτὰς θλιβομένας ἀφίησιν, ἵνα δῷ τῷ βελομένων τὴν σωτηρίαν καρπώσαθαι.

Τῆς αὐτῆς ἐκ τῆς πρὸς Φιλιππησίους Ἐπισολῆς.

Πρὸς Ρωμ. 15. Πρὸς Κορ. β'. 9. Λεκ. 16. Ματθ. 11. Οὐ γὰρ μικρὸν ἀγαθὸν ἐσὶ τὸ βιάζεθαι θεραπεύειν Ἁγίους, ἀλλὰ καὶ μέγα· κοινωνοὺς γὰρ ἡμᾶς ποιεῖ τῶν ἐκείνοις ὑποκειμένων ἀγαθῶν καὶ μισθῶν. Φησὶ γὰρ ὁ Ἀπόσολος. Κοινωνοῦσιν ἡμῖν ἐν τοῖς σωματικοῖς, κοινωνοῦμεν αὐτοῖς ἐν τοῖς πνευματικοῖς· Ἂν γὰρ μὴ προθυμίας καὶ πίσεως ἐφικνούμεν τοῖς Ἁγίοις, μεμισαὶ τῶν μισθῶν αὐτῶν ἐσόμεθα. Διὰ τοῦτο καὶ ὁ Χριτὸς φησί. Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας, ἵνα ὅταν ἐκλείπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. Ἅγιοι δὲ εἰσὶ πάντες, ὅσοι πίσιν ὀρθὴν μὴ βίᾳ ἔχουσι· κἂν γὰρ σημεῖα μὴ ἐργάζωνται, κἂν δαίμονας μὴ ἐκβάλλωσιν, Ἅγιοι εἰσί. Καὶ γὰρ ὁ Ἰωάννης, ὁ μείζων πάντων ἐν γυναιξὶ γεννητοῖς, οὐ φαίνεται σημεῖον τι πεποιηκώς.

Τοῦ Ἁγίου Βασιλείου ἐκ τῆς εἰς πλάτος Ἀσκητικῶν.

Λεκ. 16. Δυνατὸς γάρ ἐσι καὶ αὖθις ἡμῶν ξένειν ὁ Θεὸς τοὺς ἑαυτῷ θεραπεύοντας, ἀλλ' ἡμῖν ἔδωκε χώραν καρποφορίας, καὶ ὑπόθεσιν σωτηρίας. Ἐδεξιώσω τὸν Ἅγιον; ἐδεξιώσω Χριτόν· ἐτίμησας τὸν ὑπὸ τοῦ Κυρίου τετιμημένον; εἰς τὸν Κύριον ἡ τιμὴ ἀναβαίνει. Λάβε τοὺς Ἁγίους κοινωνοὺς ἐν τῇ αἰῶνι τούτῳ, ἵνα αὐτοί σε κοινωνὸν ἐν ἐκείνῳ τῇ αἰῶνι δέξωνται. Ποιήσατε φησὶν ἑαυτοῖς φίλους ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας, ἵνα δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. Ἡ γὰρ τῶν χρεῶν ἀδεια καὶ πτωχεία, ἀληθινοῦ σοι πλούτου φράσις, ὡς πλούσιε. Διὰ γὰρ τῶν δεήσεων συνεργὸς γρατιώτας τρέφων Χριτοῦ, καὶ Χριτὸν τὸν λέγοντα. Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίσων, ἐμοὶ ἐποιήσατε.

Ματθ. 25.

Κλήμεντος ἐκ τῶν Στρωμάτων.

Ἐλεημοσύνης δεῖ ποιεῖν· ἀλλὰ μετὰ πείσεως, ὡς ὁ λόγος φησὶ, καὶ τοῖς ἀξίοις. Ὥσπερ γὰρ ὁ γεωργὸς σπείρει οὐκ εἰς ἁπλῶς γῆν, ἀλλ' εἰς τὴν ἀγαθὴν, ἵνα αὐτῷ καρποφορήσῃ, οὕτω δεῖ σπείρειν τὴν δυσποιΐαν εἰς δύλαβεῖς καὶ πνευματικοὺς, ἵνα τῆς ἀπ' αὐτῶν δικαρπίας μετὰ τῶν δι' ἐχῶν ὄντυχῃς. γέγραπται γάρ. Εὖ ποίησον δόσεβεῖ, καὶ δρήσεις ἀνταπόδομα, καὶ εἰ μὴ παρ' αὐτῷ, ἀλλὰ γοῦν παρὰ τῷ Ὑψίσῳ.

Ἐκκλ. 12.

Θεοδωρήτου ἐκ τῶν Ἀποκρίσεων.

Λουκ. 10. Θεασάμενος γάρ ποτε τὸν περὶ τῆς ἁμαρτίας προσευχόμενον Μωϋσῆν χίμαρον, ὁλοκαυτωθέντα ἔδωκε τὸν Θεῖον Ναὸν, ὠργίθη τῷ Ἐλεάζαρ, καὶ τῷ Ἰθάμαρ, λέγων· Διατί οὐκ ἐφάγετε τὸ περὶ τῆς ἁμαρτίας ἐν τόπῳ

τόπῳ ἁγίῳ, ὅτι ἅγια τῶν ἁγίων εἰσί; τοῦτο ἔδωκεν ὑμῖν Κύριος φαγεῖν, ἵνα ἀφέλητε τὴν ἁμαρτίαν ἐκ τῆς Συναγωγῆς, καὶ ἐξιλεώσησθε περὶ αὐτῶν ἔναντι Κυρίου. Τοῦτο δὲ καὶ διὰ τοῦ Προφήτου Ὡσηὲ δηλῶν ὁ Θεὸς φησίν· Ἁμαρτίας λαοῦ μου φάγονται. Διὸ καὶ ὁ Ἀπόσολος λέγει. Κοινωνοῦσιν ἡμῖν ἐν τοῖς σωματικοῖς, κοινωνοῦμεν αὐτοῖς ἐν τοῖς πνευματικοῖς. Διδασκόμεθα τοίνυν ἐντεῦθεν, ὡς τὰ περὶ τοῦ λαοῦ προσφερόμενα ἐθίοντες, καὶ μὴ ἀσυδαίως τὰς ὑπὲρ αὐτῶν προσφέροντες δεήσεις, δίκην ὑπέχομεν τῷ Θεῷ. Ὡσ. 4. Πρὸς Ρωμ. 15.

Ἐκ τῆς Ἀποσολικῶν Διατάξεων.

Πράξ. 20. Καὶ γὰρ ἀληθῶς μακάριος ἐσὶν ὁ δυνάμενος βοηθεῖν ἑαυτῷ, καὶ μὴ θλίβειν τόπον ὀρφανοῦ, ἢ χήρας, ἢ ξένου· ἐπεὶ καὶ ὁ Κύριος μακάριον εἶπεν εἶναι τὸν διδόντα, ὑπὲρ τὸν λαμβάνοντα. Οὐαὶ γὰρ τοῖς ἔχουσι, καὶ ἐν ὑποκρίσει λαμβάνουσιν, ἢ δυναμένοις βοηθεῖν ἑαυτοῖς, καὶ λαμβάνειν παρ' ἑτέρων βελομένοις. Ἕκαστος γὰρ ἀποδώσει λόγον Κυρίῳ τῷ Θεῷ ἐν ἡμέρᾳ κρίσεως. Ὁ μὲν γὰρ δι' ἀλικίας, ὀρφανίας, ἢ χήρας, ἢ ἀδυναμίας, ἢ νόσου, προὸς πᾶσιν, ἢ τέκνων πολυτροφίαν λαμβάνων, ὁ τοιοῦτος οὐ μόνον οὐ μεμφθήσεται, ἀλλὰ καὶ ἐπαινεθήσεται. Θυσιασήριον γὰρ τῷ Θεῷ λογισμὸς ὑπὸ τοῦ Θεοῦ τιμηθήσεται, ἀόκνως ὑπὲρ τῶν διδόντων αὐτῷ δικαίως προσδυχόμενος, οὐκ ἀργῶς λαμβάνων, ἀλλὰ τῆς δόσεως αὐτοῦ ὅση δύναμις τὸν μισθὸν δίδως διὰ τῆς προσδυχῆς. Ὁ τοιοῦτος οὖν, ὡς εἴρηται, ὑπὸ τοῦ Θεοῦ μακαρισθήσεται. Ὁ δὲ ἔχων, καὶ δι' ὑποκρισιν, ἢ ἀργίαν λαμβάνων, κατακριθήσεται ὑπὸ Χριτοῦ τοῦ Θεοῦ ἡμῶν.

ΕΡΩΤΗΣΙΣ, ΙΕ'.

Ἐάν τις γυναῖκα ἔχων, καὶ τέκνα, καὶ βιωτικῶν πραγμάτων φροντίζων, πῶς ὅτος δύναται δι' αρεσῆσαι τῷ Θεῷ, καὶ φυλάξαι τὰς ἐντολάς;

Α' ΠΟΚΡΙΣΙΣ.

Εἰ μὲν μὴ δι' ρέσησαν τῷ Θεῷ καθ' ἑκάσλω χρεὰν τοιοῦτοι ἄνδρες, λέγω δὴ, ἐν κόσμῳ, καὶ πλούτῳ, καὶ γάμῳ, καὶ ἐξουσίᾳ, καὶ ἀπολαύσει ὑπαρχόντες, τάχα ἂν εἶχον ἀπολογίαν τινὰ οἱ τὰς τοιαύτας προφασιζόμενοι προφάσεις ἐν ταῖς ἁμαρτίαις αὐτῶν. Νῦν δὲ ὁρῶμεν ἐν ταῖς Θείαις Γραφαῖς πάντας χεδὸν τοὺς τῷ Θεῷ προσφιλεῖς, ἐν κόσμῳ, καὶ πλούτῳ, καὶ τέκνοις, τῷ Θεῷ δι' αρεσήσαντας. φημὶ δὲ τοὺς περὶ τὸν Ἀβραὰμ, καὶ Ἰὼβ, καὶ Δαβὶδ, καὶ τοὺς ὁμοίους. Ἀγαθὸς γάρ φησιν ὁ πλοῦτος, ᾧ μὴ ἐσὶν ἁμαρτία. Ἀκούσωμεν τοίνυν τοῦ Ἀποσόλου προὸς Τιμόθεον γράφοντος περὶ τῶν τοιούτων, καὶ λέγοντος. Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐν τῷ Θεῷ τῷ ζῶν- Πρὸς Τιμ. α'. 6.

τι, καὶ παρέχοντι ὑμῖν πάντα πλουσίως εἰς ἀπόλαυσιν. ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικὰς, θησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς. Καὶ ἄλλως πάλιν. Τοῦτο δέφημι, ἀδελφοί· ὁ καιρὸς συνεσταλμένος τὸ λοιπόν ἐστιν. ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι, καὶ οἱ κλαίοντες, ὡς μὴ κλαίοντες, καὶ οἱ χαίροντες ὡς μὴ χαίροντες, καὶ οἱ ἀγοράζοντες, ὡς μὴ κατέχοντες, καὶ οἱ χρώμενοι τῷ Κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι. Παράγει γὰρ τὸ σχῆμα τοῦ Κόσμου τούτου. Τοῦ Ἁγίου Βασιλείου ἐκ τῆς Ἀσκητικῶν.

Πρὸς Κορ. α. 7.

ΔΙὰ γὰρ τοῦτο καὶ ὁ φιλάνθρωπος Θεὸς, κηδόμενος τῆς ἡμῶν σωτηρίας, εἰς δύο διεῖλε βίους, τὴν τῶν ἀνθρώπων, Συζυγίαν καὶ Παρθενίαν. ἵνα ὁ μὴ δυνάμενος ὑπενεγκεῖν τὸ τῆς παρθενίας ἆθλον, ἔλθῃ ἐπὶ σωφρόνισιν γυναικὸς, ἐκεῖνο εἰδὼς, ὡς ἀπαιτηθήσεται λόγον σωφροσύνης καὶ ἁγιασμοῦ, καὶ τῶν πρὸς τοὺς ἐν συζυγίαις, καὶ τεκνοτροφίαις ἁγίους ὁμοίωσιν. Οἷος ἦν ἐν μὲν τῇ Παλαιᾷ Διαθήκῃ Ἀβραάμ. ὃς τῇ τοῦ Θεοῦ προτιμήσει τὸν μονογενῆ θυσιάζων, ἐμεγαλαύχει, καὶ τὰς τῆς Σκηνῆς αὐτοῦ θύρας ἀπεπεπασμένας εἶχε, πρὸς ὑποδοχὴν τοῦ ὑπεξουσθαι μελλόντων ἑτοιμαζόμενος. Οὐκ ἤκουσαν· Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς· καὶ τὰ μείζονα τούτων ἐπεδείξαντο, Ἀβραάμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ Σαμουὴλ, καὶ Δαβὶδ, καὶ ἕτεροι πλεῖστοι. Ἐν δὲ τῇ νέᾳ Διαθήκῃ, οἷος μὲν Πέτρος, καὶ οἱ λοιποὶ τοῦ Ἀποστόλων. Ἀπαιτηθήσεται γὰρ πᾶς τὸν καρπὸν τῆς πρὸς Θεὸν ἀγάπης, καὶ τὸ πλησίον, καὶ τῆς ἀβδελυξίας τοῦ ἐντολῶν τόπων, καὶ πασῶν, ὧντις ἠδίκησε. Φησὶ γὰρ ὁ Κύριος. Ὁ ἀγαπῶν πατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. καὶ, Ὃς οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν, οὐ δύναταί μου εἶναι μαθητής. Ἆρασοι δοκεῖ καὶ ὑπὸ γυναίοις τεθεῖσθαι τὰ Εὐαγγέλια; Ἴσθι σεσαφήνισαί σοι, ὡς πάντες ἄνθρωποι ἀπαιτηθησόμεθα τὴν τοῦ Εὐαγγελίου ὑπακοὴν, Μοναχοίτε, καὶ οἱ ἐν συζυγίαις. Ἀρκέσει γὰρ τὸ ὅτι γάμου ἐλθόντι ἡ συγγνώμη τῆς ἀκρασίας, καὶ τῆς πρὸς τὸ θῆλυ ἐπιθυμίας τε καὶ συνουσίας. Τὰ δὲ λοιπὰ τῶν ἐντολῶν, πᾶσιν ὁμοίως νενομοθετημένα, οὐκ ἀκίνδυνα τοῖς παραβαίνουσι. Καὶ γὰρ εὐαγγελιζόμενος ὁ Χριστὸς τὰ τοῦ Παρδὸς ἐνταλμάτα, τοῖς ἐν τῷ Κόσμῳ διελέγετο. Εἴ δέπου τι σωφρόν αὐτὸν κατ' ἰδίαν ἐπερωτηθέντα αὐτῷ ἀποκρίνεσθαι, τοῖς ἑαυτοῦ Μαθηταῖς διεμαρτύρατο λέγων. Ὃ δὲ λέγω ὑμῖν, πᾶσι λέγω. Μὴ τοίνυν ἀναπέσῃς ὦ ἔτος ὁ πρὸς κοινωνίαν γυναικὸς ῥιπτικὸς, ὡς ἐπ' ἐξουσίαν ἔχων τὸν κόσμον παραβάλλεσθαι. Πλειόνων γάρ σοι πόνων καὶ φυλακῆς χρεία πρὸς τὴν τῆς σωτηρίας ἐπιτυχίαν, ὡς δήπου δεῖ, καὶ ἐν μέσῳ τῷ παγίδων, καὶ τοῦ κράτους τῶν ἀποστατικῶν δυναμένων ζωῆς ἐκλεξαμένῳ, καὶ τοὺς ἐρεθισμοὺς τῶν ἁμαρτιῶν ἐν ὄψεσιν ἔχοντι, καὶ πρὸς τὴν αὐτῶν ἐπιθυμίαν νύκτωρ καὶ μεθ' ἡμέραν ἐκμοχλοῦ-

Ματθ. 19.

Ματθ. 10. Λουκ. 14.

μενῳ

μενῳ πάσας τὰς αἰσθήσεις. γίνωσκε τοίνυν, ὡς ἐκ ἀποστάσεως τὴν πρὸς τὸν ἀποστάτην παλαίσεις, οὐδὲ τῆς τότε νίκης καθάπαξ ἄνευ πόνων πολλῶν τὴν ὅπλην φυλακὴν τῶν Εὐαγγελικῶν δογμάτων.

Ἰωάννου τοῦ Κλίμακος.

ΗΚουσα γάρτινων ἐν Κόσμῳ ἀμελῶς διακειμένων εἰρηκότων πρός με. πῶς δυνάμεθα ὁμοζύγῳ συζῶντες, καὶ δημοσίαις φροντίσιν ὑποκείμενοι, τὸν μοναδικὸν βίον μετελθεῖν; Πρὸς ἃ ἀπεκρίθημεν. Πάντα ὅσα δύνασθε ποιεῖν ἀγαθὰ, ποιήσατε. Μὴ δυνατὸν φθόνησαι, μὴ δύνασθε πλέξητε, μὴ δύνασθε λοιδορήσητε, μὴ δυνατὸν κατεπαρθῆτε, μὴ δύνασθε μισήσητε, τῆς πορνείας ἀπέχεσθε, τῶν σωμάτων μὴ χωρίζεσθε, τοῖς δεομένοις συμπαθήσατε, μὴ δύνασθε σκανδαλίσητε, ἀλλοφύλια μεγάλα μὴ προσεγγίσητε, καὶ ἀρκεῖσθε τοῖς ὀφωνίοις (τῶν γυναικῶν) ὑμῶν. Ἐὰν ἕτω ποιήσητε, οὐ μακρύνεσθε τῆς Βασιλείας τῶν Οὐρανῶν. Ἐκ τῶν Ἀποστολικῶν Διατάξεων.

Δεύτ. 30.

ΤΟῦ νομοθέτου Μωϋσέως εἰρηκότος τοῖς Ἰσραηλίταις· Ἰδοὺ δέδωκα πρὸ προσώπου ὑμῶν τὴν ὁδὸν τῆς ζωῆς, καὶ τὴν ὁδὸν τοῦ θανάτου· καὶ ὑπομένοντος· ἐκλέξαι τὴν ζωὴν ἵνα ζήσῃς· Καὶ τοῦ Προφήτου Ἠλιοῦ τοῦ λαοῦ λέγοντος· Ἕως πότε χωλαίνετε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν; εἰ ἐστὶ Κύριος ὁ Θεὸς, πορεύεσθε ὀπίσω αὐτοῦ· εἰδὲ ὁ Βάαλ αὐτὸς, πορεύεσθε ὀπίσω αὐτοῦ. Εἰκότως ἂν ἔλεγε ὁ Κύριος· Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. Ἀναγκαίως οὖν καὶ ἡμεῖς ἑπόμενοι τῷ Διδασκάλῳ Χριστῷ, φαμὲν, ὡς δύο ὁδοί εἰσι, μία τῆς ζωῆς, καὶ μία τοῦ θανάτου. Πρώτη οὖν τυγχάνει ἡ ὁδὸς τῆς ζωῆς, καὶ ἔστιν αὕτη, ἵνα καὶ ὁ Νόμος διαρρήδην· ἀγαπᾷν Κύριον τὸν Θεὸν ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας, καὶ τὸν πλησίον ὡς ἑαυτὸν, καὶ πᾶν ὃ μὴ θέλεις γενέσθαι σοι, καὶ σὺ τοῦτο ἄλλῳ μὴ ποιήσῃς. Εὐλόγει τοὺς καταρωμένους σε, προσεύχου ὑπὲρ τῶν ἐπηρεαζόντων σε, ἀγάπα τοὺς ἐχθρούς σου. Ποία γὰρ φησὶ πέφυκεν ὑμῖν χάρις, ἐὰν ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς; καὶ οἱ τελῶναι τοῦτο ποιοῦσιν. Ἀπέχου τῶν σαρκικῶν καὶ κοσμικῶν ἐπιθυμιῶν. Ἐάν τίς σοι δῷ ῥάπισμα ἐπὶ τὴν δεξιάν σου σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. Εἰ ἀπαιτεῖ σοῦ τὸ ἱμάτιον, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον. Τῷ αἰτοῦντί σε δίδου, καὶ ἀπὸ τοῦ θέλοντος δανείσασθαι μὴ ἀποστραφῇς. Πᾶσι μὲν οὖν δίκαιον διδόναι ἐξ οἰκείων πόνων· Τίμα γὰρ φησὶ τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων· προτιμητέον δὲ τοὺς Ἁγίους. Οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ παιδοφθορήσεις. ἐπικατάρατος γὰρ φησὶ πᾶς ὁ κοιμώμενος μετ' ἄρσενος κοίτην γυναικείαν. Γυναῖκα οὐ πορνεύσεις· οὐκ ἔσαι γὰρ ὁ πορνεύων ἐν υἱοῖς Ἰσραήλ. Οὐ κλέψεις. Ἄχαν ἔκλεψας ἐν Ἰερειχῶ, λιθο-

Προ. 6.

Ματ. 7.

Ματ. 5. Ψαλ. 7.

Δευτ. 5. Λευ. 20.

Ἰησ. 7.

Βασ. δ'. 5. βολιθεὶς τῷ ζιῷ ὑπεξῆλθε, ϗ Γιεζῆ κλέψας, ϗ ψιδσάμψος ἐκληρονόμησε τὸ Νεεμαὶ τὴν λέπραν. ϗ Γιέζας κλέπτων τὰ τῷ πενήτων, τὸν Κύριον παρέδωκε, ϗ μεταμεληθεὶς ἀπήγξατο. ϗ Ἀνανίας, ϗ Σαπφείρα ἡ τότε γιωὴ, κλέψαντες τὰ ἴδια, ϗ πειράσαντες τὸ Πνεῦμα τῷ Κυρίε, ϖληχῆμα ὑπὸ Πέτρε τῷ Σωατοσόλε ἡμῶν ἐθανατώθησαν. Οὐ μαγδίσῃς· φαρμακοῖς γὰρ ὐ ϖλαβιώσητε. Οὐ φονδίσῃς βρέφος ἐν ϕθορᾷ· παῖ γὰρ τὸ ἐξεικονισμένον ψυχὴ λαβὸν ϖλὰ Θεῷ, φονδιθὲν ἀδίκως ἐκδικηθήσεται. Οὐκ ἐπιθυμήσῃς τὰ τῷ πλησίον σε. Ματ. 5. Οὐκ ἐπορκήσῃς· ἐῤῥέθη γὰρ μὴ ὀμόσαι ὅλως. ϗ, Οὐ συκοφαντήσῃς. ὅτι Παρ. 14. ὁ συκοφαντῶν πένητα, παροξύει τὸν Ποιήσαντα αὐτόν. Οὐ καταλαλήσῃς· 22. Μὴ ἀγάπα γὰρ φησὶ καταλαλεῖν, ἵνα μὴ ἐξαρθῇς. Οὐ μνησικακήσῃς· ὁδὸς γὰρ μνησικάκων εἰς θάνατον. Μὴ γίνε γλωσσώδης, ὅτι ἀνὴρ γλωσσώδης ὐ κατοδυνωθήσεται, ϗ παγὶς ἀνδρὶ τὰ ἴδια χείλη. Οὐκ ἔσαι ὁ λόγος σε κενός· Ματθ. 12. Περὶ παντὸς γὰρ λόγε δώσεις λόγες. ἐκ τῷ λόγων σε δικαιωθήσῃ, ϗ ἐκ τῷ Ψαλ. 5. λόγων σε κατακριθήσῃ. Οὐ ψιδίσῃ· Ἀπολεῖς γὰρ φησὶ πάντας τὰς λαλοῦντας τὸ Ησ. 45 ψεῦδος. Οὐκ ἔσῃ πλεονέκτης· Οὐαὶ γὰρ φησὶν ὁ πλεονεκτῶν τὸν πλησίον πλεονεξίαν κακὴν. Οὐκ ἔσῃ ὑποκριτὴς, ἵνα μὴ τὸ μέρος σε μετὰ τῷ ὑποκριτῶν τεθῇ. Μὴ γίνε ὑϖήφανος· ὑϖηφάνοις γὰρ Κύριος ἀντιπάσεται. Οὐ λήψῃ Πέτ. ά. 5. ϖρόσωπον ἐν κρίσει, ὅτι τὸ Κυρίε ἡ κρίσις. Οὐ μισήσῃς τὸν ἀδελφόν σε. Λδ. 19. ἐλεγμῷ γὰρ ἐλέγξεις τὸν ἀδελφόν σε, ϗ ὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν. Φεῦγε ἀπὸ παντὸς κακε· ἄπεχε γάρ φησιν ἀπὸ κακε, ϗ ξόμος σε ἐγγιεῖ σοι, ϗ σε φοβηθήσῃ. Μὴ γίνε ὀργίλος, μηδὲ βάσκανος, μηδὲ μανικὸς, ἢ θρασὺς, Γεν. 4. ἵνα μὴ πάθῃς τὰ τὸ Καΐν, ϗ τὰ τὸ Σαὺλ, ϗ τὰ τὸ Γωὰβ. Ὅτι ὁ μὲν Βασ. ά. 18. ἀπέκτεινεν Ἄβελ τὸν ἀδελφὸν αὐτε, διὰ τὸ ϖρόκριτον αὐτὸν δίρεθλῆναι ϖλῷ Θεῷ, ὁ δὲ τὸν Δαβὶδ ἐδίωκε νικήσαντα τὸν Γολιάθ, ζηλώσας ὅτι τῇ τῷ Βασ. β'. 3. χορδιξιῶν δόφημία, ὁ δὲ τὲς δύο στρατηγὲς ἀνεῖλεν, Ἀβενὴρ, ϗ Ἀμεσίαν. Οὐκ ἔσῃ ἐπάδων, ἢ ϖλιναθαίρων τὸν ἰόντα. Οὐκ οἰωνιδήσῃ, οὐδὲ ὀρνεοσκοπήσῃς, οὐδὲ μαθήσῃ μαθήματα πονηρά. ταῦτα πάντα ϗ ὁ Νόμος ἀπεῖπε. Μὴ γίνε αἰσχρολόγος, μηδὲ ῥιψόφθαλμος, μηδὲ μέθυσος· ἐκ γὰρ τέτων πορνεῖαι ϗ μοιχεῖαι γίνονται. Μὴ γίνε φιλάργυρος, ἵνα μὴ αὐτὶ Θεῷ Λκκ. 18. 16. δελδύης τῷ μαμμωνᾶ. Μὴ γίνε ὑψηλόφρων ϗ μετέωρος ὡς ὁ Φαρισαῖος· Ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται· ϗ τὸ ὑψηλὸν ἐν ἀνθρώποις, βδέλυγμα ϖλῷ Κυρίῳ. Μὴ γίνε σκληροξάχηλος, ϗ θυμώδης· ὅτι ὁδηγεῖ ϖρὸς βλασφημίαν. ἀλλὰ μακρόθυμος ϗ ϖραΰς. ὅτι ὁ μακρόθυμος, ϗ πολὺς ἐν Ματ. 5. φρονήσει. ϗ ϖραεῖς κληρονομήσσι τὸ γῆν. Μὴ γίνε θρασύς· ὅτι ἀνὴρ θρασὺς ἐμπεσεῖται εἰς κακά. Οὐκ ἐπιτάξῃς τῷ δέλφ σε, ἢ τῇ παιδίσκῃ σε ἐν πικρίᾳ ψυχῆς, μήποτε σκληρύνσιν ἐπὶ σοὶ, ϗ ἔσαι σοι ὀργὴ ϖλῷ Θεῷ. Μὴ δῶς γάρ φησιν ἀνθρώπῳ τόπον καταράσασθαί σε. καταρωμένε γάρ σε ἐν Εκκ. 4. πικρίᾳ ψυχῆς αὐτὸ, εἰσακέσεται αὐτῷ ὁ ποιήσας αὐτόν. Τὲς ἀδελφὲς ϗ συγ-

συγχωρεῖσε μὴ ὑϖρίδῃς· τὲς δὲ οἰκείας φησὶ τὸ σπέρματός σε ὐχ ὑϖρόψῃ. Οὐ ϖροσελδόσῃ ὅτι ϖροσδιχῆσε ἐν ἡμέρᾳ πονηρίας σε, ϖρὶν αὐ λύσῃς τὸν πικρίαν σε. Τὰ συμβαίνοντά σοι πάθη δύμενῶς δέχε, ϗ τὰς ϖλειάσεις ἀλύπως, εἰδὼς ὅτι μισθός σοι ϖλῷ Θεῷ δοθήσεται, ὡς τῷ Γὼβ, ϗ τῷ Λαζάρῳ. Τὸν λαλοῦντά σοι τὸν λόγον τὸ Θεὸ δοξάσεις, μνησθήσῃ δὲ αὐτὸ ἡμέρας ϗ νυκτὸς, τιμήσεις δὲ αὐτὸν ὡς τὸ εὖ εἶναί σοι ϖρόξενον. Ὅπε γὰρ ἡ ϖλὶ Θεῷ διδασκαλία, ἐκεῖ Θεὸς πάρεσιν. Ἐκζητήσεις καθημέραν τὸ ϖρόσωπον τῷ Ἁγίων, ἵνα ἀϖαύσῃ τοῖς λόγοις αὐτῶν. ὁ ποιήσας ἔχθραν ϖρὸς αὐτὲς, ἀναμνησθεὶς Δαθὰν ϗ Ἀβειρών. Αὕτη ἐσὶν ἡ ὁδὸς τῆς ζωῆς. Ἡ δὲ ὁδὸς τὸ θανάτε ἐσὶν ἐν ϖονηραῖς ϖράξεσι θεωρεμένη. ἐν αὐτῇ γὰρ ἐσὶν ἄγνοια Θεῦ, δι' ὧν γίνονται φόνοι, ϖορνεῖαι, ϗ τὰ λοιϖά.

ΕΡΩΤΗΣΙΣ, Ις'.

Τὸ Ἀϖοσόλε λέγοντος, ὅτι αἱ ἐξεσίαι τὸ Κόσμε ὑϖὸ τὸ Θεὸ τεταγμέναι εἰσίν· Ἆρα λοιϖὸν ϖᾶς Ἄρχων, ϗ Βασιλεὺς, ϗ Ἐϖίσκοϖος, ὑϖὸ Θεὸ ϖροχειρίζεται;

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Θεὸ ἐν τῷ Νόμῳ λέγοντος· Δώσω ὑμῖν ἄρχοντας κατὰ τὰς καρδίας ὑμῶν, εὔδηλον, ὅτι οἱ μὲν τῷ Ἀρχόντων ϗ Βασιλέων ὡς ἄξιοι τῆς τοιαύτης τιμῆς ϖροχειρίζονται ὑϖὸ Θεῦ. Οἱ δὲ ϖάλιν ἀνάξιοι ὄντες, ϖρὸς τὸν ὠϕέλιμον λαὸν τῆς αὐτῶν ἀναξιότητος, κατὰ Θεὸ συγχώρησιν, ἢ βέλησιν ϖροχειρίζονται· ϗ ἄκυρον ϖερὶ τέτε δινήσεων τινῶν. Ὅτε γὰρ γέγονε βασιλεὺς Φωκᾶς ὁ Τύραννος, ϗ ἤρξατο τὰς αἱματεκχυσίας ἐκείνας διὰ Βονόσε ἐκείνε τὸ δημίε ἐργάζεσθαι, Μοναχός τις ἐν Κωνσαντινοϖόλει, ἀνὴρ ἅγιος, ϗ ϖολλῷ ϖαῤῥησίαν ϖρὸς Θεὸν ἔχων, διεδικάζετο ϖρὸς τὸν Θεὸν λέγων ἐν ἁϖλότητι. Κύριε, διατί τοιῦτον βασιλέα ἐϖοίησας; Εἶτα ὡς ὅτι ἱκανὰς ἡμέρας τῦτο ἔλεγε, ἦλθεν αὐτῷ φωνή τις ἐκ τὸ Θεῦ, λέγεσα. Ὅτι ὐχ εὗρον χείρονα. Ἄλλη δὲ ϖόλις ὑϖῆρχε κατὰ τῷ Θηβαΐδα ϖλῄνομος, ϖολλὰ μιαρὰ ϗ ἄτοϖα διαϖραττομένη, ἐν ᾗ δημότης τις ὀξωλέσατος, ὀξάϕνης ψιδοκατάνυξιν τινὰ ὑϖεδάμβος, ἀϖελθὼν ἐκάρη, ϗ τὸ Μοναχικὸν Σχῆμα ἠμϕιάσατο, μιγότιγε τῷ ϖονηρῶν ϖράξεων ὐδαμῶς ἐϖαύσατο. (ὅρα τὸ ἁϖλᾶσον τὸ Οσίε Παΐδος, ὐκ ἀκριβολογεμένε ϖερὶ τῷ σωτάξιν.) σωέβη γὰρ τὸν Ἐϖίσκοϖον τῆς ϖόλεως τελδυτῆσαι, ϗ ϕαίνεταί τινι Ἀνδρὶ ἁγίῳ Ἄγγελος Κυρίε λέγων· Ἄϖελθε ϗ ϖᾶσι δίασον τῷ ϖόλιν, ἵνα τὸν ὑϖὸ δημοτῶν χειροτονήσωσιν Ἐϖίσκοϖον. Ἀϖελθὼν δὲ ὁ ϖροληχθεὶς ὑϖὸ δημο-

Ιερ. 3.

μοπῶν, μᾶλλον δὲ ὁ δημότης, ἤρξατο καὶ δόξαν φαντάζεσθαι καὶ μεγαλοφρονεῖν. Καὶ ὑπισὰς αὐτῷ Ἄγγελος Κυρίου ἔφη. Τί ὑψηλοφρονεῖς ἄθλιε; οὐκ ἄξιος ὢν τῆς Γερωσιώης, ἐγὼ Ἐπίσκοπος, ἀλλ' ὅτι ἡ πόλις αὕτη τοιάδε Ἐπισκόπε ἐσὶν ἀξία. Διὸ ἰδοὺ σε ἔδης ἀάξιον τινὰ καὶ πονηρὸν Βασιλέα, ἢ Ἄρχοντα, ἢ Ἐπίσκοπον, μὴ θαυμάσης, μηδὲ τῷ τῷ Θεῷ φρόνοιαν βάλλης, ἀλλὰ μᾶλλον μάθε καὶ πίσδε, ὅτι φρὸς τὰς ἀνομίας ἡμῶν εἰς τοιάδε τυράννες παραδιδόμεθα, καὶ ἀδὲ ὅπως τῶν κακῶν ἀφισάμεθα.

Ὡσηέ. Κεφ. 8.

ΕΒασίλευσαν, καὶ ὐ δι' ἐμοῦ ἤρξαν, καὶ οὐκ ἐγνώρισά μοι, λέγει Κύριος.

Γερεμίας. Κεφ. 14.

ΤΑδὲ λέγει Κύριος τῷ λαῷ τούτῳ. Ἠγάπησαν κινεῖν πόδας αὐτῶν, καὶ οὐκ ἐφείσαντο, καὶ ὁ Θεὸς οὐκ ἐδέξατο ἐν αὐτοῖς· νῦν μνησθήσεται τῶν ἀδικιῶν αὐτῶν. Καὶ εἶπε Κύριος φρός με. Μὴ φροσεύχου ὑπὲρ τοῦ λαοῦ τούτου εἰς ἀγαθόν. ὅτι ἐὰν νηστεύσωσιν, οὐκ εἰσακούσομαι τῆς δεήσεως αὐτῶν, καὶ ἐὰν φροσενέγκωσιν ὁλοκαυτώματα καὶ θυσίας, οὐκ ἐδέξομαι ἐν αὐτοῖς, ὅτι
Ιερ. 15. ἐν μαχαίρᾳ, καὶ ἐν λιμῷ, καὶ ἐν θανάτῳ ἐγὼ συντελέσω αὐτούς, καὶ δώσω αὐτοὺς εἰς ἀπάγκας πάσαις ταῖς βασιλείαις τῆς Γῆς, διὰ Μανασσῆ υἱὸν Ἐζεκίου βασιλέως Ἰούδα, ἕνεκα πάντων ὧν ἐποίησεν ἐν Ἱερουσαλήμ.

Ἡσαΐου. Κεφ. 3.

ΚΑὶ ὑπισήσω νεωτέρους ἄρχοντας αὐτῶν, καὶ ἐμπαῖκται κυριεύσουσιν αὐτῶν, λέγει Κύριος.

Βασιλειῶν, Δ'. Κεφ. 21.

ΚΑὶ ἐλάλησε Κύριος ἐν χειρὶ παντὸς δούλου αὐτοῦ τοῦ Προφήτου λέγων. Ἀνθ' ὧν ὅσα ἐποίησε Μανασσῆς βασιλεὺς Ἰούδα, τὰ βδελύγματα ταῦτα τὰ πονηρά· τάδε λέγει Κύριος ὁ Θεὸς Ισραήλ. Ἰδοὺ ἐγὼ φέρω κακὰ ὑπὲ Ἱερουσαλήμ, καὶ Ἰούδα, ὥστε πάντος ἀκούοντος ἠχήσει ἀμφότερα τὰ ὦτα αὐτοῦ. καὶ δώσω αὐτοὺς εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ ἔσονται εἰς διαρπαγὴν καὶ εἰς φρονομὴν πᾶσι τοῖς ἐχθροῖς αὐτῶν. ἀνθ' ὧν ὅσα ἐποίησαν τὸ πονηρὸν ἐν ὀφθαλμοῖς μου. Καίγε αἷμα ἀθῷον ἐξέχεε Μανασσῆς πολὺ σφόδρα, ἕως ἔ ἐπλήρωσε τὴν Ἱερουσαλήμ.

Ισιδώρου ἐκ τῆς Ἐπιστολῶν.

ΙΣτέον, ὅτι διὰ σὸς ἁμαρτίαν πολλάκις μαστίζεται χώρα, καὶ πόλις, καὶ τὸν Ἐκκλησιασὴν, ὅτι ἁμαρτάνων εἰς φησὶν, ἀπολέσει ἀγαθωσύνην πολλήν. ὅπερ καὶ ὑπὶ Δαβὶδ γέγονεν ἔγνωμεν. Ὅταν γὰρ ἐν τῇ διοικήσει τῶν φραγμάτων ὁ ἔξαρχος ὑπερηφανεύηται εἰς ἀθυμίαν αὐτῶν καὶ κατάκλεισιν, τὸ ὑπήκοον ἐλαττοῦται ἐκ ἀδίκως παραδεχόμενον, ἀλλ' ἑκάστε τὰ ὑπηκόου τῆς οἰκείας φράξεως ἀπολαμβάνοντος, καὶ τῆς θείας μακροθυμίας ἀποτυγχάνοντος, διὰ τὰς περὶ τὸν ἄρχοντα ὕβρεις.

Ἐκ τῶν Ἀποστολικῶν Διαταξεων. Βιβλ. Β'. Κεφ. 8.

ΟΤ'ε γὰρ Βασιλεὺς δυσεβὴς βασιλεὺς ἔτι ὑπάρχει, ἀλλὰ τύραννος· ὅτε Ἐπίσκοπος, ἀγνοίᾳ, ἢ κακονοίᾳ πεπιεσμένος, ἔτι Ἐπίσκοπος ἐσὶν,

ἀλλὰ

ἀλλὰ ψευδώνυμος, ὁ μὲν Θεῷ, ἀλλὰ μὲν ἀνθρώπων προβληθεὶς, ὡς Ἀνανίας καὶ Σαμμαΐας ἐν Ἱερουσαλήμ, καὶ Σεδεκίας, καὶ Ἀχίας, οἱ ἐν Βαβυλῶνι ψευδοφροφῆται.

Ὀλυμπιοδώρου ἐκ τῆς τοῦ Γώβ. Κεφ. 34.

ΟΓὰρ Κύριος πάντας ἐφορᾷ φησί. καὶ κατ' ἔθνη, καὶ κατ' ἀνθρώπους, ὁμοῦ βασιλέων ἀνθρωπον ὑποκειτιῶ ὑπὸ δυσκολίας λαοῦ. Τοῦτο δὲ καὶ αὐτὸς ὁ Θεὸς σαφῶς διὰ τοῦ Προφήτου Ὡσηὲ φρὸς τὸν Ισραὴλ δηλοῖ λέγων. Καὶ Ὡσ. 13.
ἔδωκά σοι βασιλέα ἐν ὀργῇ καὶ τοῦ θυμοῦ μου. Πολλάκις γὰρ τὸν κτήματι φαινόμενον ἀγαθὸν συγχωρεῖ εἰς βασιλέα ἀναγορεύεσθαι, ἐφ' ᾧ κακωθῆναι βάλλεται δι' αὐτοῦ τὰς ὑπηκόους διὰ τῶν αὐτῶν δυσκολίαν, κακοφραγίαν, καὶ κακοξοπίαν.

Τοῦ Ἁγίου Γρηγορίου Νύσσης ἐκ τῆς φρὸς ὥρας ἁρπαζομένων.

ΩΣπερ ὁ τεχνίτης τὸν ἀντίτυπον σίδηρον, καὶ μὴ ῥᾳδίως διὰ πυρὸς ἐκμαλαττόμενον, καὶ φρός τι σκεῦος τῶν ἀναγκαίων τοῦ βίου ἐκτυπούμενον, σφύρᾳ, ἢ ἄκμονι χρήσεται τῷ τοιούτῳ, ὡς ταῖς ὑπὸ τούτων πληγαῖς τὸ ἐνεργές τε καὶ ἀπαλὸν φρός τι τῶν χρησίμων ἀποτυπωθῆναι· οὕτω καὶ ὁ Θεὸς τὸν κατ' κακίαν ὑπερβαλόντα, κατ' τιῶ ἑαυτοῦ φροαίρεσιν ζῆσαι ἀφίησι σκοπῷ τῷ βελτίονι. καθάπερ καὶ τὸν Φαραὼ, καὶ τὸν Ναβυχοδονόσορ εἴασε χρήσθαι, ὡς αὐ τῇ ἐκείνων πληγῇ ὁ Ισραὴλ παιδευθείη. Τοῦ Χρυσοστόμου.

ΟΤ'γὰρ ἐσὶν ἐξουσία φησὶν, εἰμὴ ὑπὸ τοῦ Θεοῦ. Τί λέγεις; Πᾶς ὢν Πρὸς
ἄρχων ὑπὸ τοῦ Θεοῦ κεχειροτόνηται; Οὐ τοῦτο φησὶν, οὐδὲ τῷ φερὶ καθ' Ρ'ωμ.
ἕκασον ἄρχοντα ὁ λόγος μοι νυνὶ, ἀλλὰ φερὶ αὐτοῦ τοῦ φράγματος. Τὸ γὰρ 13.
ἀρχὰς εἶναι, καὶ τὰς μὲν ἄρχειν, τὰς δὲ ἄρχεσθαι, καὶ μηδὲ ἁπλῶς, καὶ αὐτόθεν ἅπαντα φέρεσθαι, ὥσπερ κυμάτων τῇδε κἀκεῖσε τῶν δήμων φερομένων, τῆς τοῦ Θεοῦ σοφίας ἔργον εἶναι φημί. διὰ τοῦτο οὐκ εἶπεν, οὐκ ἔστιν Ἄρχων, εἰ μὴ ὑπὸ Θεοῦ, αἱ δὲ οὖσαι Ἐξουσίαι, ὑπὸ τοῦ Θεοῦ τεταγμέναι εἰσίν. Οὕτω καὶ ὅταν λέγῃ τὶς σοφός· ὅτι μὲν Κυρίου ἁρμόζεται αὐδρὶ γυνὴ, τοῦτο λέγει, ὅτι τὸν γάμον ὁ Θεὸς ἐποίησεν, οὐχ ὅτι ἕκασον σωφρονοῦντα γυναικὶ αὐτὸς συνάπτει. καὶ γὰρ ὁρῶμεν πολλοὺς διὰ πονηρῶ καὶ αἰσχρῶ γάμῳ συμβιοῦντας ἀλλήλοις, καὶ οὐκ αὖ τοῦ Θεοῦ τοῦτο λογισόμεθα. ἀλλ' ὅτι ἐξ ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν ὁ Θεὸς αὐτούς, καὶ εἶπεν· Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πα- Γεν. 2.
τέρα, καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται φρὸς τὴν γυναῖκα αὐτοῦ.

Θεοδωρήτου ἐκ τοῦ περὶ Προνοίας.

ΕΙδὲ βλέπων τινὰς τῶν ἀρχόντων δώροις ἀπεμπολοῦντας τὸ δίκαιον, φροτρέπεις τὴν Προνοίαν, ἐγώ σε τῆς ἀγνοίας ἀπαλλάξω τὸν τρόπον, καὶ φημὶ, ὡς τοῖς τοιούτοις οὐκ ὁ Θεὸς τὴν ἡγεμονίαν ἐπίστευσεν, ἀλλ' ἡ τῶν ἀρχομένων πονηρία τὴν τούτων ἀρχὴν ἐπεσπάσατο. Οὕτω δὲ οὐδὲ μίαν φόδα τῶν καλῶς ἡγησαμένων ἑλκύσαι θέλησαντες, ἀλλὰ τὴν μοχθηρίαν τοῦ τρόπου τὴν ἐκείνων διδασκαλίαν ἐκβεβίασαντες, τῆς θείας ἐπιμελείας σφᾶς αὐτοὺς ἀπεσέ-

ρησαν,

ρησαν, εἶτα τῆς Θείας Οἰκονομίας γυμνωθέντες, τῷ ποιμένων ἠγεμόνων ἀπήλαυσαν· πάτταλοι γὰρ παττάλοις ἐκκρούονται. Δώσω γὰρ φησὶν ἄρχοντας κατὰ τὴν καρδίαν αὐτῶν, ἵνα τῇ πείρᾳ τῷ χειρόνων, εἰς μνήμην ἔλθωσι τῷ κρειττόνων, καὶ τῆς καλῆς καὶ ἀγαθῆς ἐκείνων ἀναμνηθῶσι παιδαγωγίας. Εὐσεβοῦμεν δὲ τὸν Θεὸν, διὰ ὑπερβολὴν ἀνθρώπων πονηρίας, τὰς ἰδίας ἐῶντα πολλάκις, καὶ φέρεσθαι τῷ ἀνθρώπων ὡς ἂν ἐθέλει συγχωροῦντα τὸ γένος. Καὶ τοῦτο αὐτὸς ἡμᾶς διὰ Ζαχαρίου διδάσκων πρὸς τὸν Ἰσραὴλ ἔλεγε. Καὶ εἶπον, οὐ ποιμανῶ ὑμᾶς. τὸ ἀποθνησκόμενον ἀποθνησκέτω, καὶ τὸ ἀπολλύμενον ἀπολλύσθω, καὶ τὰ καταλοιπα κατεσθιέτω ἕκασος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ. Καὶ διὰ τοῦ Δαβὶδ φησί. Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ Ἰσραὴλ οὐ προσέσχε μοι, καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιθυμήματα τῆς καρδιῶν αὐτῶν.

Ζαχ. 11.

Ψαλμ. 80.

Τὰ αὐτὰ ἐκ τῆς Θεραπευτικῆς.

ΚΑθάπερ γὰρ αἱ Πόλεις φέρουσι τοὺς δημίους, ὥστε τοὺς ἀνδροφόνους, καὶ τοιχωρύχους, καὶ τοὺς πάλλα ἄττα ἀδικοῦντας δι' αὐτῶν κολάζειν, οὐκ ἐπαινέσαι μὲν αὐτῶν, ἀλλὰ καὶ λίαν μισέσαι τοῦ τὰ βίᾳ αὐτῶν προαιρέσιν, ἀνέχόμεθα δὲ τῆς τάτων ὑπηρεσίας διὰ τὴν χρείαν· ἕτως ὁ τῷ Κόσμῳ Πρύτανις, ὃς δημίους τινὰς χρῆσθαι συγχωρεῖ τοὺς τυράννους, ὥστε διὰ τάτων ποινὴν τοὺς ἀσεβοῦντας καὶ ἁμαρτάνειν, ὕστερον δὲ καὶ τούτους παντελεῖ παραδίδωσι τιμωρίᾳ· ἐπειδήπερ οὐκ ὡς Θεῷ ἀκολουθοῦντες, ἀλλ' οἰκείᾳ πονηρίᾳ δουλεύοντες, τὰ δεινὰ ἐκεῖνα δεδράκασιν. Οὕτως ἡμαρτηκότα τὸν Ἰσραὴλ τῇ τῶν Ἀσυρίων ὠμότητι παραδέδωκεν. Ἐπειδὴ καὶ ὅτοι τῆς τιμωρίας οὐ διέγνωσαν τὸν σκοπὸν, τινὶ καὶ τάτων καταλύσας τὴν δυναστείαν, ἑτέροις δουλεύειν ἠνάγκασεν, ὡς καὶ οἱ Προφῆται διδάσκουσι. Παρ' ὧν ὁ Πλάτων οἶμαι τὰς ἀφορμὰς κεκλοφὼς ἔφη, τοὺς ἀνιάτως διακειμένους εἰς ἕτερον ὠφέλειαν παιδεύεσθαι.

Βαρὰχ. 4.

ΕΡΩΤΗΣΙΣ, ΙΖ'.

Ἆρα πάντα τὰ κακὰ, ὅσα ποιοῦσιν ἡμῖν τὰ Ἔθνη, καὶ κέλδουσιν Θεὸς ποιοῦσιν;

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ μὲν Φιλάνθρωπος Θεὸς, καὶ Δίκαιος Κριτὴς, ἁμαρτανόντων ἡμῶν παραδίδωσιν ἡμᾶς πολλάκις τοῖς ὑπεναντίοις, οὐκ εἰς ἀπώλειαν, ἀλλ' εἰς παιδείαν, ὡς διὰ Ἱερεμίου πρὸς τὸν Ἰσραὴλ φησί. Θαρσεῖτε λαός μου, μνημόσυνον Ἰσραὴλ, ἐπράθητε τοῖς ἔθνεσιν οὐκ εἰς ἀπώλειαν, διὰ δὲ τὸ παροργίσαι ὑμᾶς τὸν Θεὸν παρεδόθητε τοῖς ὑπεναντίοις· παρωξύνατε γὰρ τὸν Ποιήσαντα ὑμᾶς. οἱ δὲ ἐχθροὶ, καὶ ἄνομοι, καὶ ἀσεβεῖς, οἰκείᾳ πονη-

πονηρίᾳ δουλεύοντες, τὰ δεινὰ ἡμῖν καὶ μὴ ἀρέσκοντα τῷ Θεῷ διαπράττασιν, ὑπὲρ ὧν πάντως τὸν αἰώνιον κόλασιν ἀντικομίσονται. Παραδοθεὶς γὰρ ὡς εἴρηται ὁ Ἰσραὴλ τοῖς ὑπεναντίοις πρὸς τὸ παιδευθῆναι αὐτὸν φειδομένως καὶ φιλανθρώπως, οἱ δὲ Ἀσύριοι πικρῶς καὶ ἀσυμπαθῶς αὐτοῖς χρησάμενοι, ἄκρον τί φησὶν ὁ Θεὸς διὰ Ζαχαρίου πρὸς τὸν Ἰσραὴλ περὶ τῶν Ἀσυρίων. Ζαχ. 8. Ἐζήλωσα τὴν Ἱερουσαλὴμ, καὶ τὴν Σιὼν ζῆλον μέγαν, καὶ ὀργὴν μεγάλην ἐγὼ ὀργίζομαι ὅτι τοῖς συνεπιθεμένοις ὑμῖν, αὐθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὑμῖν ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο ὑμῖν εἰς κακά. Ὡσαύτως καὶ διὰ Ἡσαΐου. Ἡσαΐας 47. Παρωξύνθην φησὶν ὅτι τὸν λαόν μου, σκῦβαλα Χαλδαίων, ἐμίανας τὴν κληρονομίαν μου. Ἐγὼ ἔδωκα αὐτοὺς εἰς τὰς χεῖράς σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος· τὸ πρεσβυτέρου ἐβάρυνας τὸν ζυγὸν σφόδρα, καὶ εἶπας· εἰς τὸν αἰῶνα ἔσομαί σοι ἄρχουσα. οὐκ ἐνενόησας ταῦτα ἐν τῇ καρδίᾳ σου, οὐδὲ ἐμνήσθης τὰ ἔσχατά σου. νῦν δὲ ἥξει ὅτι σὲ ἐξαίφνης ἀπώλεια, καὶ οὐ μὴ γνῷς, βόθυνος, καὶ ἐμπεσῇ εἰς αὐτὸν, καὶ ἥξει ὅτι σὲ ταλαιπωρία, καὶ οὐ μὴ δυνήσῃ καθαρὰ γενέσθαι. Οὐκοῦν ἐντεῦθεν μανθάνομεν, ὅτι οἱ μὲν πολεμοῦντες, καὶ διώκοντες ἡμᾶς, τὴν ἑαυτῶν κόλασιν ὑποσήσονται. Ἡμεῖς δὲ ὀφείλομεν εἰδέναι, ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν παραδιδόμεθα πολλάκις ὡς εἴρηται εἰς χεῖρας ἐχθρῶν αὐτῶν, κατὰ δικαίαν κρίσιν Θεοῦ. φησὶ γὰρ ὁ Ἡσαΐας πάλιν περὶ τοῦ Ἰσραὴλ. Τίς ἔδωκεν εἰς διαρπαγὴν Ἰακὼβ, καὶ Ἰσραὴλ τοῖς προνομεύσασιν αὐτόν; οὐχὶ ὁ Θεὸς, ᾧ ἡμάρτοσαν αὐτῷ, καὶ οὐκ ἐβούλοντο ἐν ταῖς ὁδοῖς αὐτοῦ πορεύεσθαι, οὐδὲ ἀκούειν τοῦ νόμου αὐτοῦ; Καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς θυμὸν ὀργῆς αὐτοῦ, καὶ κατίσχυσεν ἐπ' αὐτοὺς πόλεμος, καὶ οἱ συμφλέγοντες κύκλῳ, καὶ οὐκ ἔγνωσαν ἕκασος αὐτῶν, οὐδὲ σωῆναι. καὶ πάλιν. Μὴ οὐκ ἰσχύει ἡ χεὶρ Κυρίου τοῦ σῶσαι; ἢ ἐβάρυνε τὸ οὖς αὐτοῦ τοῦ μὴ εἰσακοῦσαι; ἀλλὰ τὰ ἁμαρτήματα ὑμῶν διίστησιν ἀναμέσον ὑμῶν, καὶ τοῦ Θεοῦ. καὶ διὰ τὰς ἁμαρτίας ὑμῶν ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀφ' ὑμῶν τοῦ μὴ ἐλεῆσαι· αἱ γὰρ χεῖρες ὑμῶν μεμολυσμέναι αἵματι, καὶ οἱ δάκτυλοι ὑμῶν ἐν ἁμαρτίαις. τὰ δὲ χείλη ὑμῶν ἐλάλησαν ἀνομίαν, καὶ ἡ γλῶσσα ὑμῶν ἀδικίαν μελετᾷ. οὐδεὶς λαλεῖ δίκαιον, οὐδὲ ἔστι κρίσις ἀληθινή. Ὁμοίως δὲ καὶ Ἡσαΐας πάλιν ἐκ προσώπου τοῦ Θεοῦ φησίν. Ἐγὼ ἐδαδώσω ὑμᾶς εἰς μάχαιραν, καὶ πάντες ἐν σφαγῇ πεσεῖσθε, ὅτι ἐκάλεσα ὑμᾶς, καὶ οὐχ ὑπηκούσατε, ἐλάλησα, καὶ παρηκούσατε, καὶ ἐποιήσατε τὸ πονηρὸν ἐναντίον μου, καὶ ἃ οὐκ ἐβουλόμην ἐξελέξασθε. καὶ πάλιν. Καὶ γνώσονται πάντα τὰ ἔθνη, ὅτι διὰ τὰς ἁμαρτίας αὐτῶν ᾐχμαλωτίσθησαν οἶκοι Ἰσραὴλ, ἀνθ' ὧν ἠθέτησαν εἰς ἐμὲ, καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, καὶ παρέδωκα αὐτοὺς εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ ἔπεσον πάντες ἐν μαχαίρᾳ, κατὰ τὰς ἀκαθαρσίας αὐτῶν, καὶ κατὰ τὰ ἀνομήματα αὐτῶν ἐποίησα αὐτοῖς. Οὐδὲν τοίνυν τῶν συμβαινόντων ἡμῖν σκυθρωπῶν ἁμαρτανόντων ἀδίκως

Ἡσαΐας 59.

Ἡσαΐας 65.

ἐπέρχεται, ἀλλὰ πάντα κατὰ δικαίαν κρίσιν Θεοῦ, καὶ αἱ ἀδικίαι ἡμῶν προξενοῦσιν ἐφ' ἡμᾶς τὰ κακά. Εἰς κόλπον γὰρ φησὶν ἐπέρχονται πάντα τοῖς
Πρὸς Ρ'ωμ. 3. ἀδίκοις. Παρὰ γὰρ Κυρίῳ πάντα δίκαια. καὶ, Εἰ δὲ ἡ ἡμῶν φησὶν ἀδικία, Θεοῦ δικαιοσύνῃ συνίστησι, τί ἐροῦμεν; μὴ ἄδικος ὁ Θεὸς ὁ ἐπφέρων τὴν ὀργήν; κατ' ἄνθρωπον λέγω. μὴ γένοιτο. Αὐτεξούσιοι γὰρ ἐσμὲν πρὸς τὴν ἑαυτῶν
Ἐκκλ. 15. σωτηρίας, καὶ ἀπωλείας, ὡς γέγραπται. Ὅτι ὁ Θεὸς ἐξ ἀρχῆς ἐποίησε τὸν ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ. καὶ, Ἔναντι ἀνθρώπου ἡ
Σοφ. 1. ζωὴ, καὶ ὁ θάνατος, καὶ ὃ ἐὰν δόκιμον, δοθήσεται αὐτῷ. Διὸ καὶ παραινεῖ ὁ Σοφὸς λέγων. Μὴ ζηλοῦτε θάνατον ἐν πλάνῃ ζωῆς ὑμῶν, μηδὲ ἐπισπᾶσθε ὄλεθρον ἐν ἔργοις χειρῶν ὑμῶν, ὅτι ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων. Δεικνὺς δὲ τὸ ἀναθαίρετον τῆς αὐτεξουσίης ἡμῶν,
Ἡσαΐας 14. πάλιν φησίν. Ἀσεβεῖς δὲ ταῖς χερσὶ, καὶ τοῖς λόγοις προσεκαλέσαντο αὐτόν. Καὶ τότε μάρτυς, θεολογικῶς εἰπεῖν, ὁ διὰ τὴν λαμπρότητα Ἑωσφόρος, σκότος διὰ τὴν ἔπαρσιν καὶ ῥῦμμος, καὶ λεγόμενος, ὃ τὴν κατάπτωσιν καὶ ὁ μέγας Ἡσαΐας ἀποθαυμάζων χιλιαστικῶς φάσκει. Πῶς ἐξέπεσεν ἐκ τοῦ Οὐρανοῦ ὁ Ἑωσφόρος ὁ πρωὶ ἀνατέλλων; συνεβίβη δὲ εἰς τὴν γῆν ὁ ἀποστέλλων πρὸς πάντα τὰ ἔθνη; Εἶπε τὸ αὐτεξούσιον τῆς προαιρέσεως αὐτοῦ καὶ διανοίας ἐπιτιθεῖσαν ἐπάγει. Σὺ δὲ εἶπας ἐν τῇ καρδίᾳ σου· εἰς τὸν Οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων τοῦ Οὐρανοῦ ὑψώσω τὸν θρόνον μου, καθιῶ ὅτι τὰ ὄρη τὰ ὑψηλὰ πρὸς Βορρᾶν, ἀναβήσομαι ἐπάνω τῶν νεφελῶν, καὶ ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ. Ὡσαύτως καὶ τοῦ Θεοῦ περὶ αὐτῶν δικαιοκρισίαν προδηλῶν ἐπάγει. Ναὶ δὲ εἰς Ἅιδου καταβήσῃ, καὶ εἰς τὰ θεμέλια τῆς Γῆς. Ὁρᾷς
Ἐκκλ. 10. ὅπως ἀδικίαν εἰς τὸ ὕψος λαλήσας, καὶ ἑαυτὸν ἀποστάτην ἀποφώνας, καὶ δικαίαν κρίσιν Θεοῦ ἐκπέπτωκεν; Εἰκότως ἂν ἔλεγε ὁ Σοφός. Κεῖλη ἄφρονος
Γεν. 3. ἐπάγουσιν αὐτὴν εἰς κακὰ, τὸ δὲ σῶμα αὐτοῦ τὸ θρασὺ θάνατον ἐπικαλεῖται. Οὕτω τοίνυν καὶ ὁ Ἀδὰμ, καὶ ἡ Εὔα, τῇ τότε ἀπάτῃ καὶ συμβουλῇ ὑπαχθέντες, καὶ ἰσοθείαν νοσήσαντες, καὶ τοῦ Θεοῦ ἐντολῶν παραβάντες, ἔπεσον τοῦ Παραδείσου, καὶ κληρονόμοι τοῦ θανάτου γεγόνασιν. Ὅθεν ὁ Δίκαιος Κεῖται πρὸς μὲν τὸν Εὔαν φησί. Πληθύνων πληθυνῶ τὰς λύπας σου, καὶ τὸν
Γεν. 4. συναγμόν σου, ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτὸς σοῦ κυριεύσει. Πρὸς δὲ τὸν Ἀδάμ. Ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τότε μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες, ἐπικατάρατος ἡ Γῆ ἐν τοῖς ἔργοις σου, ἐν λύπαις φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, ἀκάνθας καὶ τριβόλους ἡ Γῆ ἀνατελεῖ σοι, καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ, ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης. ὅτι Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. Ὁμοίως καὶ πρὸς τὸν Κάϊν διὰ τὴν ἀδελφοκτονίαν. Τί φησὶν ἐποίησας τοῦτο; φωνὴ αἵματος τοῦ Ἀδελφοῦ σου βοᾷ πρός με

ἐκ τῆς γῆς, καὶ νῦν ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ἣ ἔχανε τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῶν χειρῶν σου, ὅτε ἐργᾷ αὐτὴν, καὶ οὐ προσθήσει δοῦναί σοι τὴν ἰσχὺν αὐτῆς, σείων, καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς. Ἀλλὰ μὴν καὶ περὶ τῶν κατακλυσθέντων διὰ τὰς ἀδικίας αὐτῶν φησὶ πρὸς τὸν Νῶε. Καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ, ὅτι ἐπλήσθη ἡ Γῆ ἀδικίας ἀπ' αὐτῶν, καὶ ἰδοὺ ἐγὼ καταφθείρω αὐτοὺς, καὶ τὴν γῆν. Οὕτω καὶ περὶ τῶν πυρποληθέντων Σοδομιτῶν διὰ τὰς ἀσεμνουργίας αὐτῶν φησὶ πρὸς τὸν Ἀβραάμ. Κραυγὴ Σοδόμων, καὶ Γομόρρας πεπλήθυνται πρός με, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα. καὶ τὰ ἑξῆς. Καὶ ὁ Κύριος ἔβρεξεν ἐπὶ Σόδομα, καὶ Γομόρρα πῦρ, καὶ θεῖον ἐκ τοῦ Οὐρανοῦ, καὶ κατέστρεψε τὰς πόλεις ταύτας, καὶ πᾶσαν τὴν περίοικον, καὶ πάντας τοὺς κατοικοῦντας ἐν ταῖς πόλεσιν. Οὕτω τοίνυν καὶ ὁ βαρυκάρδιος Φαραὼ παντελῶς κατεφρονήθη. Καὶ ὅσοι ἐξεπείρασαν καὶ παρώργισαν τὸν Κύριον ἐν τοῖς ἐπιθυμίαις αὐτῶν, ἐβδελύχθησαν, καὶ ἐξωλοθρεύθησαν διὰ τὰς ἀνομίας αὐτῶν ὑπὸ τῆς τοῦ Θεοῦ δικαιοκρισίας, τοῦ ἀποδιδόντος ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Διὸ δὴ καὶ νομοθετῶν ἔλεγε. Ἐάντις δῷ μῶμον τῷ πλησίον, ὡς ἐποίησεν αὐτῷ, οὕτως ἀντιποιηθήσεται αὐτῷ, σύντριμμα ἀντὶ συντρίμματος, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος, καθότι ἐὰν δῷ μῶμον ἀνθρώπῳ, ὅπως δοθήσεται αὐτῷ. Ὅθεν καὶ ὁ Προφήτης. Οὗ χάριν ἐποίησας φησὶν, ὅπως ἔσαισι, τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς κεφαλήν σου. Λέγει γοῦν καὶ ἡ τῆς Κεῖται Βίβλος, ὅτι κατέδραμον ὀπίσω Ἀδωνιβεζέκ, καὶ κατέλαβον αὐτὸν, καὶ ἀπέκοψαν τὰ ἄκρα τῆς χειρῶν καὶ τῆς ποδῶν αὐτοῦ. Καὶ εἶπεν Ἀδωνιβεζέκ. Ἑβδομήκοντα βασιλεῖς τὰ ἄκρα τῆς χειρῶν καὶ τῆς ποδῶν αὐτῶν ἀποκεκομμένοι ἦσαν, συλλέγοντες τὰ ὑποκάτω τῆς τραπέζης μου. καθὼς ἂν ἐποίησα, οὕτως ἀνταπέδωκέ μοι ὁ Θεός. Εἰκότως ἂν ἔλεγε ὁ Σοφός. Δι' ὧν τις ἁμαρτάνει, διὰ τούτων καὶ κολάζεται.

Γεν. 6.

Γεν. 18. καὶ 19.

Ἐξ. 14. Ψαλμ. 77. Πρὸς Ρ'ωμ. 2. Λδ. 24.

Κειτ. 1.

Τῆς Ἐξόδου. Κεφ. 22.

Εἶπε Κύριος πρὸς Μωσῆν. Πᾶσαν χήραν καὶ ὀρφανὸν οὐ κακώσετε. Ἐὰν δὲ κακίᾳ κακώσητε αὐτοὺς, καὶ κράξαντες καταβοήσωσι πρός με, ἀκοῇ εἰσακούσομαι τῆς βοῆς αὐτῶν, καὶ ὀργισθήσομαι θυμῷ, καὶ ἀποκτενῶ ὑμᾶς μαχαίρᾳ, καὶ ἔσονται αἱ γυναῖκες ὑμῶν χῆραι, καὶ τὰ παιδία ὑμῶν ὀρφανά.

Τῆ Λευϊτικῆ. Κεφ. 26.

Καὶ εἶπε Κύριος πρὸς Μωσῆν. Ἐὰν ἐν τοῖς προσάγμασί μου πορεύησθε, καὶ τὰς ἐντολάς μου φυλάσσησθε, καὶ ποιήσητε αὐτὰς, δώσω τὸν ὑετὸν ὑμῖν ἐν καιρῷ αὐτοῦ, καὶ ἡ Γῆ δώσει τὰ γενήματα αὐτῆς, καὶ τὰ ξύλα τῆς πεδίων ἀποδώσει τὸν καρπὸν αὐτῶν. Καὶ καταλήψεται ὑμῖν τὰ ξύλα τῆς ἀλοητὸς τὸν τρυγητὸν, καὶ ὁ τρυγητὸς καταλήψεται ὑμῖν τὸν σπόρον, καὶ φάγεσθε τὸν ἄρτον ὑμῶν εἰς πλησμονὴν, καὶ κατοικήσετε μετ' ἀσφαλείας ἐπὶ

τῆς γῆς ὑμῶν. Καὶ δώσω εἰρήνην ἐν τῇ γῇ ὑμῶν, καὶ κοιμηθήσεσθε, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν ὑμᾶς. καὶ ὀλοθρεύσω θηρία πονηρὰ ἐκ τῆς γῆς ὑμῶν, καὶ πόλεμος οὐ διελεύσεται διὰ τῆς γῆς ὑμῶν. Καὶ διώξεσθε τοὺς ἐχθροὺς ὑμῶν, καὶ πεσοῦνται ἐνώπιον ὑμῶν φόνῳ. καὶ διώξονται ἐξ ὑμῶν πέντε ἑκατὸν, καὶ ἑκατὸν ὑμῶν διώξονται μυριάδας, καὶ πεσοῦνται οἱ ἐχθροὶ ὑμῶν ἐναντίον ὑμῶν μαχαίρᾳ. Καὶ ἐπιβλέψω ἐφ' ὑμᾶς, καὶ εὐλογήσω ὑμᾶς, καὶ αὐξανῶ ὑμᾶς, καὶ πληθυνῶ σφόδρα ὑμᾶς, καὶ στήσω τὴν διαθήκην μου μεθ' ὑμῶν, καὶ φάγεσθε παλαιὰ, καὶ παλαιὰ παλαιῶν ἐκ προσώπου νέων ἐξοίσετε. Καὶ θήσω τὴν διαθήκην μου ἐν ὑμῖν, καὶ οὐ βδελύξεται ἡ ψυχή μου ὑμᾶς, καὶ ἐμπεριπατήσω ἐν ὑμῖν, καὶ ἔσομαι ὑμῶν Θεὸς, καὶ ὑμεῖς ἔσεσθέ μοι λαὸς, καὶ ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν. Ἐὰν δὲ μὴ ὑπακούσητέ μου, μηδὲ ποιήσητε τὰ προσάγματά μου ταῦτα, ἀλλὰ ἀπειθήσητε αὐτοῖς, καὶ τοῖς κρίμασί μου μὴ προσοχθίσῃ ἡ ψυχὴ ὑμῶν, ὥστε ὑμᾶς μὴ ποιεῖν πάσας τὰς ἐντολάς μου, ὥστε διασκεδάσαι τὴν διαθήκην μου, καὶ ἐγὼ ποιήσω ὑμῖν ὅπως. ἐπισήσω ἐφ' ὑμᾶς τὴν ἀποστολὴν, τὴν τε φθορὰν, καὶ τὸν ἵκτερον, σφακελίζοντα τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ τὴν ψυχὴν ὑμῶν ἐκπήσαν. καὶ σπερεῖτε διακενῶς τὰ σπέρματα ὑμῶν, καὶ ἔδονται τοὺς πόνους ὑμῶν οἱ ὑπεναντίοι ὑμῶν. καὶ ἐπισήσω τὸ πρόσωπόν μου ἐφ' ὑμᾶς, καὶ πεσεῖσθε ἐναντίον τῶν ἐχθρῶν ὑμῶν, καὶ διώξονται ὑμᾶς οἱ μισοῦντες ὑμᾶς, καὶ φεύξεσθε μηδενὸς διώκοντος ὑμᾶς. Καὶ ἐὰν ἕως τούτου μὴ ὑπακούσητέ μου, προσθήσω ὑμᾶς παιδεῦσαι πληγαῖς ἑπτάκις διὰ τὰς ἁμαρτίας ὑμῶν, καὶ συντρίψω τὴν ὕβριν τῆς ὑπερηφανίας ὑμῶν, καὶ θήσω τὸν Οὐρανὸν ὑμῖν ὡς σιδηροῦν, καὶ τὴν γῆν ὑμῶν ὡς χαλκοῦν, καὶ ἔσται εἰς κενὸν ἡ ἰσχὺς ὑμῶν, καὶ οὐ δώσει ἡ γῆ ὑμῶν τὸν καρπὸν αὐτῆς, καὶ τὰ ξύλα τῆς ἀγρῆς ὑμῶν οὐ δώσει τὸν καρπὸν αὐτῶν. Καὶ ἐὰν μὴ ταῦτα πορεύησθε πλάγιοι, καὶ μὴ βούλησθε ὑπακούειν μου, προσθήσω ὑμῖν πληγὰς ἑπτὰ κατὰ τὰς ἁμαρτίας ὑμῶν, καὶ ἀποστελῶ ἐφ' ὑμᾶς τὰ ἄγρια θηρία τῆς γῆς, καὶ κατέδεται ὑμᾶς, καὶ ἐξαναλώσει τὰ κτήνη ὑμῶν, καὶ ὀλιγοστοὺς ποιήσει ὑμᾶς, καὶ ἔρημοι ἔσονται αἱ ὁδοὶ ὑμῶν. Καὶ ἐὰν ὅτι τούτοις μὴ παιδευθῆτε, ἀλλὰ πορεύεσθε πρός μου πλάγιοι, πορεύσομαι κἀγὼ μεθ' ὑμῶν ἐν θυμῷ πλαγίῳ, καὶ παίξω ὑμᾶς καὶ ἐγὼ ἑπτάκις ἀντὶ ἁμαρτιῶν ὑμῶν, καὶ ἐπάξω ἐφ' ὑμᾶς μάχαιραν ἐκδικοῦσαν δίκην διαθήκης μου, καὶ καταφεύξεσθε εἰς τὰς πόλεις ὑμῶν, καὶ ἐξαποστελῶ θάνατον εἰς ὑμᾶς, καὶ φάγεσθε τὰς σάρκας τῶν υἱῶν καὶ τῶν θυγατέρων ὑμῶν, καὶ θήσω τὰς πόλεις ὑμῶν ἐρήμους, καὶ ἐξερημώσω τὰ ἅγια ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ τῆς ὀσμῆς τῶν θυσιῶν ὑμῶν, καὶ ἐξερημώσω τὴν γῆν ὑμῶν, καὶ θαυμάσονται ἐπ' αὐτῇ οἱ ἐχθροὶ ὑμῶν, καὶ παραδοθήσεσθε εἰς χεῖρας ἐχθρῶν ὑμῶν. καὶ διασπερῶ ὑμᾶς εἰς τὰ ἔθνη, καὶ ἐξαναλώσω ὑμᾶς ἐπιπορευομένη μαχαίρα.

Τᾶ

Τῶ Γὼβ. Κεφ. 21.

ΕΓς ἡμέραν ἀπωλείας κρύπτεται ὁ πονηρὸς, καὶ εἰς ἡμέραν ὀργῆς αὐτοῦ ἀπαχθήσεται. Τῶ Σολομῶντος. Παροιμ. Κεφ. 16.

ΠΑρὰ τὰ ἔργα Κυρίου μὴ δικαιοσύνης· φυλάσσεται δὲ ἀσεβὴς ἐν ἡμέρᾳ κακῇ. Ὡσηέ.

ΠΟλεμος ὅτι τέκνα ἀδικίας ἦλθε παιδεῦσαι αὐτούς, καὶ συναχθήσονται ἐπ' αὐτοὺς λαοὶ πολλοὶ ὅτι τὸ παιδεῦσαι αὐτοὺς ἐν ταῖς ἀδικίαις αὐτῶν. Τῶ Σειράχ. Ἐκκλ. Κεφ. 39.

ΟΠοιῶν πονηρὰ, εἰς αὐτὰ ἐγκλεισθήσεται, καὶ ὁ μὴ ὄπιγνος πόθεν ἥξει αὐτῷ. Καὶ δικαιοσύνη ὑψοῖ ἔθνος, ἐλαττονοῦσι δὲ φυλὰς ἁμαρτίαι. Καὶ ἔστι πνεύματα, ἃ εἰς ἐκδίκησιν ἔκτισαι, καὶ ἐν θυμῷ αὐτῶν ἐσεράσωσαν μάστιγας αὐτῶν, ἐν καιρῷ συντελείας ἰσχύσουσι, καὶ τὸν θυμὸν τοῦ Ποιήσαντος αὐτοὺς κοπάσουσι. Πῦρ, καὶ χάλαζα, καὶ λιμὸς, καὶ θάνατος, πάντα ταῦτα εἰς βοήθειαν καὶ ἐκδίκησιν ἔκτισαι, θηρίων ὀδόντες, καὶ σκορπίοι, καὶ ἔχεις, καὶ ῥομφαία ἐκδικοῦσα εἰς ὄλεθρον ἀσεβῶν. Θάνατος γὰρ, καὶ αἷμα, καὶ ἔρις, ἀπαγωγαὶ, λιμὸς, καὶ συντέλεμμα, καὶ μάστιξ, ὅτι τοῖς ἀνόμοις ἐκτίσθη ταῦτα πάντα, καὶ δι' αὐτοὺς ἐγένετο ὁ κατακλυσμός. Ἐκκλ. 40.

Τῶ Ἰεζεκιήλ. Κεφ. 14.

ΤΑ δὲ λέγει Κύριος. Γῆ ἐὰν ἁμάρτῃ μοι τοῦ ἀποστρέψαι ἀποκρίμα, καὶ ἐκτενῶ τὴν χεῖρά μου, καὶ ἀποστελῶ εἰς αὐτὴν τὰς τέσσαρας ἐκδικήσεις μου τὰς πονηρὰς, ῥομφαίαν, καὶ λιμὸν, καὶ θηρία πονηρὰ, καὶ θάνατον, καὶ τιμωρήσομαι αὐτῇ, καὶ ἔσται εἰς ἀφανισμόν. Καὶ ἐὰν ὦσιν οἱ ξεῖς ἄνδρες οὗτοι ἐν μέσῳ αὐτῆς, Νῶε, Ἰὼβ, καὶ Δανιὴλ, ζῶ ἐγὼ, λέγει Ἀδωναὶ Κύριος, εἰ υἱοὶ αὐτῶν καὶ θυγατέρες σωθήσονται, ἀλλ' ἢ ἐκεῖνοι μόνοι σωθήσονται, ἡ δὲ γῆ ἔσται εἰς ὄλεθρον. Καὶ πάλιν λέγει Κύριος. Πέρας λαλήσω ὅτι ἔθνος, ἢ ὅτι βασιλείαν, τοῦ ἐξάραι αὐτὸς, καὶ τοῦ ἀπολλύειν. Καὶ εἰ ἐπιστρέψει τὸ ἔθνος ἐκεῖνο ἀπὸ πάντων τῶν κακῶν αὐτῶν, καὶ μετανοήσω περὶ τῶν κακῶν, ὧν ἐλάλησα τοῦ ποιῆσαι αὐτοῖς. Καὶ πέρας λαλήσω ὅτι ἔθνος, καὶ βασιλείαν τοῦ οἰκοδομεῖσθαι, καὶ τοῦ καταφυτεύεσθαι. Καὶ ποιήσουσι τὰ πονηρὰ ἐναντίον μου, τοῦ μὴ ἀκούειν τῆς φωνῆς μου, καὶ μετανοήσω περὶ τῶν ἀγαθῶν, ὧν ἐλάλησα τοῦ ποιῆσαι αὐτοῖς. Καὶ εἶπε Κύριος πρός με. Ἐώρακας υἱὲ ἀνθρώπου, ἃ οἱ πρεσβύτεροι Οἴκου Ἰσραὴλ ποιοῦσιν ὧδε, ἕκαστος ἐν τῷ κοιτῶνι τῷ κρυπτῷ αὐτῶν; διότι εἶπαν. ἐγκατέλιπε Κύριος, οὐκ ἐφορᾷ Κύριος τὴν γῆν. Μὴ μικρὰ τῷ οἴκῳ Ἰσραὴλ τοῦ ποιεῖν τὰς ἀνομίας, ἃς πεποιήκασιν ὧδε; διότι ἔπλησαν τὴν γῆν ἀνομίας, καὶ ἐπέστρεψαν τοῦ παροργῖσαί με ὡς μικπεέζοντες. Καὶ ἐγὼ ποιήσω αὐτοῖς μὴ θυμὸς, οὐ φείσεται ὁ ὀφθαλμός μου, οὐδὲ μὴ ἐλεήσω, καὶ καλέσουσιν ἐν τοῖς ὠσί μου φωνῇ μεγάλῃ, καὶ οὐ μὴ εἰσακούσω αὐτῶν. Καὶ ἀνέκραξα εἰς τὰ ὦτα μου φωνὴ μεγά-

Ἰερ. 18.

Ἰεζ. 8.

μεγάλη λέγων. Ἤγγικεν ἡ ἐκδίκησις τῆς πόλεως, καὶ ἔνιφος εἶχε τὰ σκῦλα τῆς ἐξολοθρεύσεως ἐν τῇ χειρὶ αὐτοῦ. Καὶ ἰδοὺ ἓξ ἄνδρες ἤρχοντο ἀπὸ τῆς ὁδοῦ τῆς πύλης τῆς βλεπούσης πρὸς βορρᾶν, καὶ ἑκάστου πέλυξ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ εἷς ἀνὴρ ἐν μέσῳ αὐτῶν ἐνδεδυμένος ποδήρη, καὶ ζώνην σαπφείρου ἐπὶ τῆς ὀσφύος αὐτοῦ, καὶ εἰσῆλθοσαν, καὶ ἔστησαν ἐχόμενοι τοῦ Θυσιαστηρίου τοῦ χαλκοῦ. Καὶ ἡ δόξα τοῦ Θεοῦ Ἰσραὴλ ἀνέβη ἀπὸ τοῦ Χερουβὶμ, ἐφ' ὃσα ἐπ' αὐτῶν ἐγένετο τοῦ οἴκου, καὶ ἐκάλεσε τὸν ἄνδρα τὸν ἐνδεδυκότα τὸν ποδήρη, καὶ εἶπε Κύριος πρὸς αὐτόν. Διέλθε μέσον τῆς Ἱερουσαλὴμ, καὶ δὸς τὸ σημεῖον ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν τῶν καταστεναζόντων, καὶ κατωδυνωμένων ἐπὶ πάσαις ταῖς ἀνομίαις ταῖς γινομέναις ἐν μέσῳ αὐτῆς. Καὶ τοῖς ἀκούουσί μου εἶπε. Πορεύεσθε ὀπίσω αὐτοῦ εἰς τὴν πόλιν, καὶ κόπτετε, καὶ μὴ φείδεσθε τοῖς ὀφθαλμοῖς ὑμῶν, καὶ μὴ ἐλεήσητε. πρεσβύτερον, καὶ νεανίσκον, καὶ παρθένον, καὶ νήπια, καὶ γυναῖκας ἀποκτείνατε εἰς ἐξάλειψιν. ἐπὶ δὲ πάντας ἐφ' οὓς ἐστὶ τὸ σημεῖον μὴ ἐγγίσητε. καὶ ἀπὸ τῶν ἁγίων μου ἄρξασθε. Καὶ ἤρξαντο ἀπὸ τῶν ἀνδρῶν τῶν πρεσβυτέρων, οἳ ἦσαν ἐν τῷ οἴκῳ. Καὶ εἶπε πρὸς αὐτούς. μιάνατε τὸν οἶκον, καὶ πλήσατε τὰς ὁδοὺς νεκρῶν ἐκπορευόμενοι, καὶ κόπτετε. Καὶ ἐγένετο ἐν τῷ κόπτειν αὐτοὺς, ἔπιπτον ἐπὶ πρόσωπόν μου, καὶ ἀνεβόησα καὶ εἶπα. Οἴμοι, Ἄδωναΐ Κύριε, ἐξαλείφεις σὺ τοὺς καταλοίπους τοῦ Ἰσραὴλ, ἐν τῷ ἐκχέαι σε τὸν θυμόν σου ἐπὶ Ἱερουσαλήμ; καὶ εἶπε πρός με. Ἡ ἀδικία τοῦ οἴκου Ἰσραὴλ καὶ Ἰούδα μεγαλύνεται σφόδρα σφόδρα, ὅτι ἐπλήσθη ἡ γῆ λαῶν πολλῶν, καὶ ἡ πόλις ἐπλήσθη ἀδικίας καὶ ἀκαθαρσίας, ὅτι εἶπαν· Ἐγκατέλιπεν ὁ Κύριος τὴν γῆν, οὐκ ἐφορᾷ Κύριος. καὶ δι' τοῦτο, ἐγὼ φείσομαι ὁ ὀφθαλμός μου, οὐδὲ μὴ ἐλεήσω αὐτούς, ἀλλὰ τὰς ὁδοὺς αὐτῶν εἰς τὰς κεφαλὰς αὐτῶν δέδωκα.

Τοῦ Ἁγίου Βασιλείου. Ἐκ τοῦ, Οὐκ ἔστιν αἴτιος τοῦ κακῶν ὁ Θεός.

ΣΦαγὰς δὲ, καὶ πόλεων ἁλώσεις, ἀνδραποδισμοὺς, ἀπαγωγὰς, τὰ ἐλεεινὰ τοῦ ἀλόντων θεάματα, καὶ ἁπλῶς ὅσα λυπηρὰ τοῖς πολέμοις ἀκολουθεῖ, λέγω μέσιστα δικαίᾳ Θεοῦ γίνεσθαι, τοῖς ἀξίοις κολάσεως διὰ τοῦ πολεμίων τὰς τιμωρίας ἐπάγοντος. Ἢ σὺ ἐβάλου μὴ καταφρονεῖσθαι τὰ Σόδομα μετὰ τὰς ἀνοσιουργίας ἐκείνας, ἢ μὴ καταγραφῆναι τῇ Ἱερουσαλὴμ, μηδὲ ἐξερημωθῆναι τὸν Ναὸν μετὰ τοῦ φεκτοῦ καὶ τοῦ Κυρίου τοῦ Ἰουδαίων ἐπόνοιαν; Γενέσθαι δὲ ταῦτα πῶς ἄλλως δίκαιον ἦν, καὶ ἐκ διὰ τοῦ Ῥωμαϊκῶν χειρῶν, αἷς παρέδωκαν τὸν Κύριον ἡμῶν οἱ ἐχθροὶ τῆς ζωῆς αὐτῶν Ἰουδαῖοι;

Τοῦ αὐτοῦ. Ἐκ τοῦ διὰ πλάτους Ἀσκητικῶν.

Οὕτω καὶ ὁ Κόσμος οἰκονομεῖται ταῖς ἀναμίρος μέσεσί τε, καὶ θλίψεσι. Καὶ εἴ τινας ὄλεθρος ποτε, καὶ τιμωρία καταλαμβάνει, μερικὸν τὸ τοιοῦτον, καὶ ὑ καθολικὸν γίνεται, πρὸς ὠφέλειαν τοῦ ἄλλων, καθάπερ ὑπὸ τοῦ ἰατρῶν ἐκτεμνομένου μέρους πρὸς ὠφέλειαν τοῦ λοιπῶν μερῶν τοῦ σώματος.

Οὕτω

Οὕτω Γιγάντων κατεπλύζετο γένος. Οὕτω Σοδομιτῶν γένος ἀπώλετο πλεονάσαν εἰς ἄκραν κακίας, καὶ τὸ Αἰγύπτιον φύλον, καὶ τὸ Χαναναῖον ἔθνος. τὸ μὲν πυρποληθὲν, τὸ δὲ κατακοντισθὲν, τὸ δὲ εἰς ἀπείρεσιν πολεμίων ἐνδοθέν. Ἄλλα δὲ μύρια ἔθνη ὑπὸ ταῖς κακίαις αὐταῖς ὑπάρχοντα ἀτιμωρήτα διαμένουσι. Καὶ τοῦ μὲν παχύτων μερῶν εἰς τέλος τὸ λοιπὸν διόρθωσιν μέρους ἕνεκα γίνεσθαι, τοῦ δὲ ἀτιμωρήτων θησαυρίζεται πῦρ, καὶ ὀργὴ ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως Θεοῦ. Τότε γὰρ οὐκ ἐπ' ὠφελείᾳ καὶ μετανοίᾳ, ἀλλ' εἰς τέλος τῆς κακίας ἔκτισιν καὶ φανέρωσιν, καθάπερ τὰς χρυσῷ, καὶ ἀργύρῳ συμμιγείσας ἀλλοτρείας ὕλας διακρίνει βασανίζον τὸ πῦρ.

Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ εἰς τέλος πληγῶν τῆς χαλάζης.

ΚΑὶ ἡ ὀργὴ καὶ λόγον τοῦ ἁμαρτανόντων καὶ ἁμαρτημάτων ἐπέρχεται, ποτέρον ἐν χειρὶ Κυρίου προσαγορεύομεν, καὶ κόνδυ πόσεως ἐκπινόμενον, εἰ καὶ πᾶσιν ὑφαιρεῖται τὶ τῆς ἀξίας, καὶ τὸ τῆς ὀργῆς ἄκρατον φιλανθρωπίᾳ κίρνησι. Κλινόμενον μὲν ἐκ τοῦ ἀποτόμου πρὸς τὸ ἐνδόσιμον, τοῖς φόβῳ παιδαγωγουμένοις, καὶ τοῖς ἐκ τῆς μακρᾶς θλίψεως συλλαμβάνουσι, καὶ ὠδίνουσιν ὑπερφυῶς, καὶ πνεῦμα σωτηρίας τέλειον ἀποτίκτουσιν. Ὑποπρῶν δ' ὅμως ξυγίαν τὸ τῆς ὀργῆς ἕκαστον, ἵν' ὅλον κοινωνῇ τοῖς μὴ θεραπευομένοις ἐκ τῆς λιμένος, ἀλλὰ καὶ σκληρυνομένοις καὶ τὸν βαρυκάρδιον Φαραὼ, καὶ πικρὸν ἐργοδιώκτην, εἰς δεῖγμα ταπεινθέντες τῆς τοῦ Θεοῦ καὶ τοῦ ἀσεβῶν δυνάμεως.

Τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἰ γὰρ πολέμων ὄντων, καὶ τοσούτων πειρασμῶν ὑπεκειμένων ἁμαρτάνομεν, τίνες ἂν εἴημεν ἐν ἀδείᾳ ζῶντες; Καὶ εἰ βούλει, τὸν τρόπον ἄνθρωπον σκόπει. Εἰ γὰρ ὀλίγον χρόνον, πάχα δὲ οὐδὲ ἡμέραν ὅλην, ἐν τῷ Παραδείσῳ ζήσας, καὶ τρυφῆς ἀπολαύσας, εἰς τοσοῦτον ἦλασε κακίας, ὡς καὶ ἰσοθεΐαν φαντασθῆναι, καὶ τὸν ἀπατεῶνα διεργέτην νομίσαι, καὶ μιᾶς μὴ κατασχεῖν ἐντολῆς, εἰ τὸν ἐρεξῆς βίον ἀπαλαίπωρον ἔζη, τί οὐκ ἂν εἰργάσατο;

Τοῦ αὐτοῦ ἐκ τοῦ Ἀναβαθμῶν.

Ἐπειδὴ γὰρ διόπερ τοῖς τιμαῖς οὐκ ἐχρήσαντο, τοῖς ἐναντίοις αὐτοὺς ὁ Θεὸς διορθοῦται, τοῦτο παπαχοῦ ποιῶν. Οὕτω δὴ καὶ τὸν Ἀδὰμ, ἐπειδὴ τῇ εἰκόνει τοῦ Παραδείσου οὐκ ἐχρήσατο, πρὸς τὸ συμφέρον τῇ ἐκβολῇ αὐτὸν διώρθωσε, καὶ τὴν γυναῖκα τῇ ὁμοτιμίᾳ χρωμένην φαυλοτέραν, τῇ δουλείᾳ καὶ τῇ ὑποταγῇ βελτίω κατέστησεν. Οὕτω καὶ Ἰουδαίους τῇ ἐλευθερίᾳ, καὶ τῇ ἀδείᾳ χείρους χρωμένους, καὶ ἀποσκιρτήσαντας, τοῖς ἐναντίοις αὐτοὺς διορθοῦται. Γρηγορίου ἐκ τῆς Ἐπιστολῶν Βιβλ. Α'. Ἐπιστ. 73.

Θαυμάζεις ἀγαπητὲ, ὅπως τοῦ ἑαυτοῦ ἀκαχήτορον ὁ Θεὸς κατέφοβον τῇ γῇ ἐπαφίησιν; ἀλλ' ἔχεις ἐν ταῖς Θείαις Γραφαῖς τοῦτο ἀκεσβῆ διασάφησιν. Εἰ γὰρ τῆς Ἁγίας Κιβωτοῦ οὐκ ἐφείσατο, ἀλλ' ἐξέδοτο αὐτοῦ ἀλλοφύλοις, σοῦ ἱερεῦσιν αὐτοῖς νομίσασι, καὶ πόλιν ἁγιάσματος,

καὶ

Γεν. 7. 14. Ἐξ. 14. Πρὸς Ῥωμ. 2. Ἐξ. 14. Γεν. 3.

καὶ Χερουβὶμ δόξης, καὶ σολμὸ, καὶ προφητείαν, καὶ χρίσμα, καὶ δηλωσιν, εἰς καταπάτημα καὶ μιασμὸν ἀπέδοτο ἔθνεσιν, ἀδὲ τῆ Ἁγίων Ἐκκλησιῶν καὶ ἀχράντων φείδεται Μυστηρίων. ἵνα τῆ ἑαυτῆ αὐλῶν ἀφειδῶν, εἰς φόβον καὶ σωφρονισμὸν τὲς πταίοντας κλίνη, ἀπλουστέραν ἐμβλέποντας ἐφ' οἷς πράττουσι τιμωρίαν. Ὀλολυζέτω γὰρ φησὶ πίτυς, ὅτι πέπτωκε κέδρος. Τῶν ἰσχυρῶν πιπτόντων, τὰ ἀσθενέστερα παιδεύεσθαι. Πιπτόντων δὲ φησὶν ὁ Σολομὼν ἀσεβῶν, δίκαιοι καταφοβοι γίνονται.

Ζαχ. 11.

Θεοδωρήτε ἐκ τῆ περὶ Προφητειῶν.

Σοφ. 11.

ΠΆντα μέξω καὶ σαθμῷ φρυτανδιεῖ ὁ Κύριος. Καὶ γὰρ τοῖς ὅπὶ τῆ Νῶε ἑκατὸν εἴκοσιν ἔτεσι τὴν ζωὴν ἐμερίσας, ἐπειδὴ τὴν ἁμαρτίαν αὐξημένην καὶ πλημμυρέσαν εἶδεν, οὐ κατέμεινε τὴν κυρίαν, ἀλλὰ τὴν προθεσμίαν συνέτεμε, καὶ τῆ ἑκατοστῆ ἔτει πᾶσιν ἐπήγαγε τὸν κατακλυσμόν. Οὕτω καὶ τῆ Ἀβραὰμ πάροικον ἔσεσθαι τὸ σπέρμα αὐτῆ προαγορεύσας, τὴν αἰτίαν διδάσκει. Οὕπω γὰρ φησὶν ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῆ Ἀμορραίων ἕως τῆ νῦν. Οὐδέπω γὰρ φησὶν ἄξια πανωλεθρίας τετολμήκασι, διόπερ οὐκ αὐέξομαι νῦν αὐτὲς ἀθρόαν σφαγῆ, ἀλλὰ τῆς ἀθρανομίας τὸ μέξον ἀναμένω. Μέξονται γὰρ ὑμῶν τὰ κῆ καιρὲς πλημμελήματα μέχρι ποσότητος τινὸς, καὶ τότε τὶς δίκας ἐπάγει ὁ Δικαιοκρίτης ἡμῶν Θεός. Ὧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τὲς αἰῶνας τῆ αἰώνων. Ἀμήν.

Γεν. 15.

ΕΡΩΤΗΣΙΣ, ΙΗ'.

Ἆρα ἅπαντες οἱ κρημνιζόμενοι, ἢ καταποντιζόμενοι, ἢ καταχωννύμενοι, κῆ Θείαν ἀπειλὴν καὶ προσαξιν πάσχουσιν, ἢ ἐξ ἐνεργείας τῆ πονηρῆ;

ΑΠΟΚΡΙΣΙΣ.

Πρὸς Ῥωμ. 11.

ΟΤι μὲν καθ' ἁπλῆν φησὶν ἡ Γραφὴ ἀνεξερεύνητα τὰ κρίματα τῆ Θεῆ εἰσὶ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτῆ, δῆλον. πλὴν δὲ ὅ πάντες οἱ βιαίῳ θανάτῳ τελευτῶντες δι' ἁμαρτίας τῆτο πάσχουσι. Καὶ γὰρ οἱ τῆ Γὼβ φίλοι δίκαιοι ὄντες ὑπὸ τῆς οἰκίας κατεχώσθησαν. Καὶ ὁ Χριστὸς δὲ ἡμᾶς διδάσκει τῆτο λέγων. Οὅτι οὐχ ἁμαρτωλότεροι ἦσαν τῶν κατοικούντων ἐν Ἱερουσαλὴμ οἱ δέκα καὶ ὀκτὼ ἄνδρες, ἐφ' οἷς ἔπεσεν ὁ πύργος τῆ Σιλωὰμ, ἢτε πάλιν ἐκεῖνοι, ὧν τὸ αἷμα ἔμιξεν ὁ Πιλάτος μῆ θυσιῶν. Ὥστε ἐντεῦθεν μανθάνομεν, ὅτι καὶ Δίκαιοι βιαίῳ θανάτῳ πολλάκις τελευτῶσι, κατάτινα ἄδηλα καὶ κρύφια Θεῆ κρίματα, γινόμενα κῆ ξεῖς ξόπες. Α'. Τινὰς μὲν ὃν Ὁσίους ἄνδρας πολλάκις ὁ Θεὸς συγχωρεῖ, ἢ ὑπὸ θηρίων, ἢ σεισμῶν, ἢ ὑδάτων, ἢ κρημνῶν, ἀναιρεθῆναι, ὅπως οἱ λοιποὶ πτοηθῶσι λέγοντες. Εἰ

Λευ. 13.

ἔπως ὁ τοιῆτος ἄνθρωπος τῆτο ὑπέση, τί μέλλομεν πάσχειν ἡμεῖς οἱ ἁμαρτωλοι; Καὶ εἰ ὁ δίκαιος, ὥσπερ γέγραπται, μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς πῆ φανεῖται; Β'. Ἕτεροι δὲ πάλιν ἴσως τινὰ μικρὰ ἐλαττώματα ἔχοντες, καὶ δι' ἐκείνης τῆς ἀπειλῆς αὐτὲ συγχωρηθέντες παθεῖν, τέλειοι λοιπὸν ἐμβὰ Θεῆ διρεθήσονται. Γ'. Ἄλλοι δὲ τινὲς ὡς δυνατοὶ, ἁμαρτίας λαῆ ἀναξάμβοι, πολλάκις πειρασμοῖς, καὶ χαλεπῷ θανάτῳ ὑπὲρ τῆς ἀναδοχῆς ἐμβαδίδονται, καὶ ἑαυτοῖς, καὶ τῷ λαῷ μείζονα σωτηρίαν ποιήμβοι. Καὶ γὰρ ὁ Χριστὸς ὑπὲ τὰς ἁμαρτίας ἡμῶν ἐξαυματίθη, καὶ τὸν ὑπὲρ ἡμῶν ἀνεδέξατο θάνατον. Τῆτο ὖν εἰδότες, μὴ θαμβηθῶμβ Ἡσαΐαν πριονιζόμενον ὁρῶντες, καὶ Στέφανον λιθοβολούμενον, καὶ Ἰωάννην ἀποκεφαλιζόμενον, καὶ Πέτρον σαυρούμενον, καὶ ἄλλες πολλὲς Ἁγίες χαλεποῖς κινδυνοις καὶ θανάτοις ἐμπίπτοντας. Ὁμοίως δὲ καὶ ὅπὶ τῶν πονηρῶν ἀνδρῶν καὶ ξεῖς ξόπες οἱ βίαιοι θάνατοι γίνονται. Α'. Ἡ ἵνα ἐκείνων τῇ ἀπειλῇ ἐμπιπτόντων οἱ λοιποὶ σωφρονιθῶσιν. Β'. Ἡ ἵνα καὶ αὐτοὶ οἱ θνήσκοντες μέρος ἐκεῖ ἀνέσεως εὕρωσι. πλείσιν γὰρ ἐκεῖ σωτηρίαν δίρισκησιν οἱ πικρῷ θανάτῳ τὲ σώματος χωριζόμβοι. καὶ τῆτο δηλῶν ὁ Κύριος ἔλεγε περὶ τινων πόλεων μὴ δεχομβών αὐτὰ τὸ κήρυγμα. Ὅτι γῇ Σοδόμων καὶ Γομόρρων ἀνεκτότερον ἔσαι ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. Γ'. Ἡ πάλιν κῆ θείαν ὀργὴν καὶ ἀπειλὴν Θεῆ, ὡς ὅπὶ τῶ Φαραὼ γέγονε, καὶ ὅπὶ τῶ Κατακλυσμῶ. Οἱ μὲν γὰρ πολάζονται ὧδε καὶ μόνον, ὡς ὁ Λάζαρος. Οἱ δὲ καὶ μόνον ὧδε ἐκ μέρες, καὶ πάλιν ἐκεῖ ἐκ μέρες, ὥσπερ καὶ οἱ ἐν Σοδόμοις ἐμφρηθέντες. Οἱ δὲ ἐκεῖ μόνον, ὡς ὁ κῆ τὸν Λάζαρον πλήσιος. Οἱ δὲ πάλιν βιαίῳ θανάτῳ ἐμβαπέμπονται θανάτῳ, ἵνα τῇ ἐκείνων ἀπειλῇ σωφρονέστεροι γίνωνται. Μὴ πίνων λέγε, μηδὲ θερμαίνε ὅταν ἴδῃς τινὰ κρημνιζόμενον, ἢ πνιγόμενον· Διατί ἔτος ὅτω τέθνηκεν; ἆρα ἔφθασεν ἡ ὥρα αὐτῆ; ἢ ἐμβὰ καιρὸν ἀπέθανεν; ἢ ἐκ τῆ πονηρῆ τῆτο γέγονεν; Ἀλλὰ γίνωσκε, ὅτι καὶ ἐξ ἰδίας πολλάκις ἀμελείας, καὶ αὐθαδείας, πειρασμοῖς καὶ συμφοραῖς, καὶ θανάτοις ἐμπίπτομβ. οἷον πάσχουσιν οἱ θεωρῶντες χειμερινὸν ἀέρος ζόφον, καὶ τὸ λιμένος τὸν ναῦν ὑπεξάγοντες, καὶ ἄλλοις κινδυνοις ἑαυτὲς ὑπορρίπτοντες ὡς αὐτεξουσίοις, μήτε τῶ Θεῆ θέλοντος, μήτε μὴν τῶ διαβόλῳ, ταῦτα καὶ τὰ τοιαῦτα πάντα κατ' ἐξουσίαν καὶ αὐθεντείαν ποιῶντες. Τὸ γὰρ Χριστὸ λέγοντος, Τριῶν δὲ καὶ αἱ θρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσὶν, εὔδηλον, ὅτι ὁ μόνον ἀνθρώπων, ἀλλ' ὁδὲ ἀλόγων, ἢ χοίρων, ἐξουσιάζει ὁ Σατανᾶς, ὡς τὸ Εὐαγγέλιον μαρτυρεῖ. Οὐκῶν τὰ μὲν τῇ τοιῆτων θανάτων γίνονται ὡς εἴρηται καὶ ἀπειλῇ Θεῆ πολλάκις ὅπὶ τῇ ἀμετανόητα ἁμαρτανόντων, ὡς ὅπὶ τῶ Κατακλυσμῶ καὶ τῇ Σοδόμων. Γέγραπται γὰρ, ὅτι φαῦλοι ἐν θανάτῳ ἐξαισίῳ, καὶ θάνατος ἁμαρτωλῶν πονηρός. καὶ, Παραπορευομένης καταιγίδος ἀφανίζεται ὁ ἀσεβὴς, καὶ, Δίκαιος ἐκ θήρας ἐκδικεῖ, αὐτ' αὐτῆ δὲ ἐμβαδίδοται ὁ ἀσεβής. Τὰ δὲ καὶ συγχώρησιν,

Πέτρ. α'. 4.

Πρὸς Φιλιπ. 2.

Ματθ. 10. 8.

Ψαλμ. 33. Παρ. 10. 11.

Γεν. 19.

Λευ. 16.

ὡς ὅτι τῷ τέκνων τῷ Γὼβ. Ἕτερα δὲ κατ' εἴδησιν Θεοῦ μόνῳ, μήτε σωβ-
Ματθ. δοκῶντος, μήτε μιῶ κωλύοντος. φησὶ γάρ. Οὐχὶ δύο στρουθία ἀσσαρίου πω-
10. λεῖται, καὶ οὐ ἓξ αὐτῶν ἐ πεσεῖται ὅτι τὴν γνῶ αὐτοῦ τοῦ Πατρός μου τοῦ ἐν Οὐ-
ρανοῖς; Ταῦτα δὲ ἔλεγε δεικνὺς, ὅτι εὐδοκοῦντος αὐτοῦ γίνεται, ἐ μιῶ
εἰς πάντα ἐνεργοῦντος. Γ'σως δὲ πολλάκις καὶ κῷ Θεοῦ βούλησιν τινὲς πικρῷ θα-
νάτῳ τελευτῶσι πρὸς σωτηρίαν αὐτῶν ὡς ἔφην. Δεηθεὶς γὰρ τοῦ Θεοῦ Μανασ-
σῆς ὁ βασιλεὺς ἐν τῷ Κόσμῳ τούτῳ ὑπολαυεῖν ὑπὲρ τῶν ἁμαρτιῶν αὐτοῦ, εἰ-
δὲ κατ' ὄναρ τινὰ ὑπερένδοξον Βασιλέα, κελεύοντα ἀφεθῆναι αὐτὸν Φωκᾶ
τῷ στρατιώτῃ, ὅπερ καὶ γέγονε. Καὶ ἄλλος τὶς ἰῶ Ἀναχωρητὴς σημείοις καὶ τέ-
ρασι βλαλάμπων, ἔχων καί τινα μαθητὴν σὺν αὐτῷ ἐν τῇ ἐρήμῳ. Ἐν μιᾷ
ἓν τῶν ἡμερῶν ἐγένετο τὸν αὐτοῦ μαθητὴν σύντινι πόλει πονηρὸν καὶ ἄθεον ἄρ-
χοντα ἐκβαλεῖν ἀφεθῆναι, καὶ δίρειν αὐτὸν τελευτήσαντα, καὶ μὴ πολλὰ ὄκ-
λα, καὶ τιμῆς, καὶ κηρῶν, καὶ θυμιαμάτων προκομιζόμενον. ὑποστρέψαντος δὲ
αὐτοῦ ἐν τῇ ἐρήμῳ, εὗρε τὸν Θεοφόρον αὐτοῦ ἐπισκάτιν ὑπὸ δαίνης βρωθεῖσα.
ἤρξατο ἐν ἀδημονεῖν, καὶ κεδὸν δικάζεσθαι τῷ Θεῷ λέγων. Πῶ ἡ δικαιοκρι-
σίασου Κύριε; Πῶς ἐκεῖνος ὁ πονηρὸς ἄρχων πολλὰ σὲ παροργίσας, ὕπως
ἐνδόξως ἐτελεύτησεν, ὁ δὲ Ἅγιος ὕπος πολλὰ σοὶ δουλεύσας, τοιοῦτον ὑπέστη
θανατάλωτον θάνατον; Ταῦτα ἓν καὶ τὰ τοιαῦτα αὐτοῦ δικαζομένῳ, ἐπέστη αὐτῷ
Ἄγγελος Κυρίου, καὶ εἶπεν. Ἐκεῖνος ὁ ἄρχων, ὅλως πονηρὸς ὤν, εἶχεν οὗ
ἔργον ἀγαθὸν, καὶ διὰ τῆς τιμῆς ἐκείνης, ἧς ἔτυχεν ἐν τῷ ἐξοδίῳ αὐτοῦ, ἀ-
πέλαβε τὸν μισθὸν ἐκείνου τοῦ οἰκείου ἀγαθοῦ, καὶ ἀπῆλθεν ἐκεῖ τελείως καπακε-
κειμένος. Ὁ δὲ σὸς ὑπασάτης, πάντα τῷ Θεῷ δι' ἄρεσα διαπραξάμενος, εἶχε
καὶ αὐτὸς ὡς ἄνθρωπος μικρόν τι ἐλάττωμα, καὶ διὰ τοῦ πικροῦ τούτου θανάτου ἀ-
πέλαβεν αὐτό, καὶ ἀπῆλθεν ἐκεῖ τελείως καθαρθείς. Οὕτω δ' δεῖ τοὺς βιαίοις
θανάτοις προπίπτοντας καπακρίνειν ἀποφαντικῶς, καὶ λέγειν, ὅτι κατὰ τὰς ἁ-
μαρτίας αὐτῶν τοὺς τοιούτους θανάτους ὑπέσησαν. Οὐδεὶς γὰρ ἀνθρώπων δύνα-
ται σαφῶς εἰδέναι ποίῳ κρίματι ὁ Θεὸς διοικεῖ τὰ τοιαῦτα. Ἐπειδὴ καὶ δι-
καίοις ἀνδράσι πολλάκις ποικίλοι θάνατοι ἐπῆλθον κατά τινας ἀδήλους προφά-
σεις. Φησὶ γὰρ ὁ Ἐκκλησιαστής. Ἔστι δίκαιος ἀπολλύμενος ἐν τῷ δικαίῳ αὐ-
τοῦ, καὶ ἔστιν ἀσεβὴς μένων ἐν τῇ κακίᾳ αὐτοῦ. καὶ ἔστι δίκαιος, ᾧ σωζανήσετ
σωζάνημα ὡς ἀσεβεῖ, καὶ ἔστιν ἄσεβης, ᾧ σωζανήσεται σωζάνημα ὡς δι-
καίῳ. Καὶ ὁ Δαβὶδ φησίν. Οἱ Θεοὶ ἦλθοσαν ἔθνη εἰς τὸν κληρονομίαν σου,
ἐμίανον τὸν ναὸν τὸν ἅγιόν σου, ἔθεντο Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον, ἔθεν-
το τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ Οὐρανοῦ, τὰς σάρ-
κας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς, ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ
κύκλῳ Ἱερουσαλὴμ, καὶ οὐκ ἦν ὁ θάπτων. Ἀλλὰ καὶ ὀλιγοχρόνιοι πολλοὶ πολ-
λάκις τῶν δικαίων γίνονται συμφερόντως, ὡς πάλιν φησὶν ὁ Σολομών. Οὗτι
Σοφ. 4. δυάρεστος τῷ Θεῷ γέγονε ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέ-

θη. ἁρπαγῇ, ἵνα μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυ-
χὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπι-
θυμίας μεταλλεύει νοῦν ἄκακον. τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μα-
κρούς· ἀρεστὴ γὰρ ἦν τῷ Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονη-
ρίας. Καὶ ἀθυμίαις δὲ σωματικαῖς καὶ διανοήσεσιν, αἷς ἁμαρτωλοὶ βυθίζε-
ρονται, καὶ δίκαιοι πολλάκις ἄνδρες βυθίπτουσι, τοῦ Θεοῦ συγχωροῦντος, καὶ
βουλομένου καὶ ἐν πάθεσι τοιούτοις καὶ θανάτοις πονηροῖς ἐπιδείξαι πᾶσιν ἡμῖν
τὸ δόκιμον τῆς τῶν Δικαίων πίστεως καὶ ὑπομονῆς, ὅτι καὶ τὰ ἐπίπονα καὶ θλι-
βερὰ πράγματα δι' χαρίτως δεξάμενοι, καὶ θανάτους χαλεποὺς ὑπομείναντες, οὐκ
ἠλλοιώθησαν σύντινι τῆς πρὸς Θεὸν ἀγάπης. Καθὼς καὶ Γὼβ πάλιν μεγάλοις πειρασμοῖς βαδοθεὶς, ἔμεινεν ἀσάλευτος. Ἔτι δὲ Πρὸς
καὶ ὁ Ἀπόστολος ἀθυμίαν ἔχων ἐν τῇ σαρκὶ αὐτοῦ, διαπαντὸς τῆς πρὸς Θεὸν Κορ. β'.
δι' χαρίτος οὐκ ἔλιπεν, ἵνα τινὰ ἀθυμίαν μικρὸν λέγει. Καὶ διὰ τοῦτο ὑπερ- 12.
βολὴν τῆς ἀποκαλύψεώς μου ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ, ἄγγελος Σατᾶν,
ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι, ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκά-
λεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ, καὶ εἴρηκέ μοι· ἀρκεῖσοι ἡ Χάρις μου· ἡ γὰρ δύ-
ναμίς μου ἐν ἀθυμίᾳ τελειοῦται. Καὶ πάλιν βαδὶ τῆς αὐτῆς ἀθυμίας πρὸς
Γαλάτας φησί. Καὶ τὸν πειρασμὸν τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε, Πρὸς
οὐδὲ ἐξεπτύσατε, ἀλλ' ὡς Ἄγγελον Θεοῦ ἐδέξασθέ με, ὡς Ἰησοῦν Χριστόν. Γαλ. 4.
Ἐπεὶ ἓν ὡς δέδεικται καὶ ἁγίοις ἀνδράσι συμβαίνουσι βαθυσματικά τινα πράγ-
ματα, ἀθυμίαι τε σωματικαὶ, καὶ θάνατοι χαλεποὶ, ἃ δυνάμεθα προπετῶς
καὶ ἀπολύτως καπακρίνειν ὡς ἁμαρτωλὰς τὰς πάσχοντας τι τοιοῦτον, ὅπως μὴ
ἀποφαντικῶς διατιθέμενοι τὰ εἰρημένα πράγματα, καὶ οὐκ ἀληθῶς, ὁμοιω-
θῶμεν τοῖς τοῦ Γὼβ φίλοις, οἵτινες τὸ μὲν φρενικῶδες ἔλκος, καὶ τὸν ἐσμὸν τῶν
σκωλήκων ἰδόντες, καὶ τὴν οἰκονομίαν τοῦ Κυρίου ἀγνοήσαντες, καθ' ἣν συνε-
χώρησεν αὐτῷ τοιούτους πειρασμοὺς δέξασθαι βαδὶ τοῦ διαβόλου, κατέκριναν αὐ-
τὸν ὡς ἁμαρτωλὸν, καὶ ἔμελλον αὐ φοβερὰν ἀπώλειαν κληρονομεῖν, ὡς βαδὶ
τὴν ἀλήθειαν φθεγξάμενοι, εἰμὴ θᾶττον ἡ προσευχὴ τοῦ Γὼβ ἵλεων αὐτοῖς
τὸν Θεὸν ἐποίησεν. Ὁ δὲ φονεὺς αἴρει μὲν τὸν ἐμπεσόντα αὐτῷ ἄνθρωπον
καὶ συγχώρησιν Θεοῦ, αἴρεται δὲ ὕτος πάλιν βαδὶ τῆς Ἀρχόντων καὶ τὸν
νόμον Κυρίου, ὡς ὑπεύθυνος, καὶ πλημμελὴς πονηρᾶ δράματος χρόμενος.

Νεμεσίου Ἐπισκόπου ἐκ τοῦ περὶ Προνοίας.

Πῶς ἓν φησὶν ἄνδρες ὅσοι πικροῖς βυθίπτουσι θανάτοις, καὶ σφαγαῖς
αἰκίαις; Εἰ μὲν δὲ ἀδίκως, διατί μὴ ἐκώλυσεν ἡ δικαία Πρόνοια
τὸν φόνον; εἰ δὲ δικαίως, πάντως αἰκίαις οἱ φονεύοντες. Πρὸς ταῦτα ἐρῶ-
μεν, ὅτι καὶ ὁ φονεύων ἀδίκως φονεύει, καὶ ὁ φονευόμενος, ἢ δικαίως φονεύ-
εται, ἢ συμφερόντως. δικαίως μὲν ἐφ' ὅτε διὰ πράξεις ἀπόπτους, ἡμῖν δὲ ἀδή-

λως. συμφερόντως δὲ, προκαταλαμβανόσης τῆς Προνοίας τὰς μελλόσας ἔσεσθαι παρ' αὐτῶ κακεργίας, καὶ ὅτι καλὸν αὐτῷ μέχρι τέλους σῶσαι τὸν ζωλύ. Ὁ δὲ φονεύσας, ἀδίκως ἐφόνευσε· διὰ γὰρ τὸ κέρδος λησείαν καὶ φόνον ἐποίησεν ἑκουσίως. Ἐφ' ἡμῖν γὰρ ἡ πρᾶξις, τὸ δὲ πάθος οὐκ ἐφ' ἡμῖν, οἷον τὸ φονευθῆναι. Θανάτος δὲ οὐδεὶς κακὸς, εἰ μὴ ὁ δι' ἁμαρτίαν, ὡς δῆλον ἐκ τῶ θανάτω τῆς Ὁσίων ἀνδρῶν. Τίμιος γὰρ φησὶν ὁ Θάνατος τῆς Ὁσίων αὐτῶ. Ὁ δὲ ἁμαρτωλὸς κἂν ἐν τῷ σκίμποδι, κἂν αἰφνιδίως, κὴ ὀπόνως τελευτήσῃ, κακῶς ἀπέθανε, κακὸν ἐνταφιον ἀπαγόμενος τὴν ἁμαρτίαν. Θανάτος δὲ φησὶν ἁμαρτωλῶν πονηρός. Ὁ μύθοι φονεύσας κακῶς ἐφόνευσεν. ὅθεν μὴν γὰρ τῆς δικαίως φονευομένων, εἰς τὸν τῆς δημίων ἑαυτὸν κατέταξε μοῖραν, ὅθεν δὲ τῆς συμφερόντων, εἰς τὸν τῆς μαιφόνων κὴ ἐναγῶν.

Ps. 33.

Τῶ Ἁγίω Βασιλείω. ἐκ τῶ, Ὅτι οὐκ ἔστιν αἴτιος τῆς κακῶν ὁ Θεός.

Τὸ μὴν ἐν κυρίως κακὸν ἡ ἁμαρτία, ὅπερ μάλιστα ἐστὶ τῆς τῶ κακῶ προσηγορίας ἄξιον, ἐκ τῆς ἡμετέρας προαιρέσεως ἤρτηται, ἐφ' ἡμῖν ὄντος, ἢ ἀπέχεσθαι τῆς πονηρίας, ἢ μοχθηρὸς εἶναι. Τῶν δὲ λοιπῶν, τὰ μὴν, ὡς ἀγωνίσματα εἰς ἔνδειξιν ἀνδρείας προβάλλεται, ὡς τῷ Γὼβ ἡ τῆς παίδων σέρησις, ὁ τῶ πλούτω παντὸς ἐν μιᾷ καιρῶ ῥοπῇ ἀφανισμὸς, ἡ διὰ τὸ ἕλκος πληγή. Τὰ δὲ, ὡς θεραπεία τῆς ἡμαρτημένων, ὡς τῷ Δαβὶδ ἡ τοῦ τὸν οἶκον αἰχμὴ, τοῦτο μὲν ἐπιθυμίας δίκας ἀποτινύουτι. Καὶ πάλιν κατανοήσαμεν ἄλλο τι εἶδος τῆς φοβερῶν τοῦτο τῆς δικαίας τῶ Θεῶ κρίσεως ἐπαγόμενον ὅθεν τῷ σωφρονεστέρους ποιῆσαι τοὺς πρὸς ἁμαρτίαν ὀλισθάνοντας, ὡς ὁ Δαθὰν, καὶ Ἀβειρὼν ὑπὸ τῆς γῆς κατεπόθησαν, βαράθρων αὐτοῖς καὶ χασμάτων ὑπορράγεντων. Ἐνταῦθα οὐκ αὐτοὶ τῷ ξόφῳ τῆς κολάσεως βελτίους γεγόνασι. πῶς γὰρ οἱ καταβαίντες εἰς ᾅδου; ἀλλὰ τοὺς λοιποὺς σωφρονεστέρους τῷ ὑποδείγματι πεποιήκασιν. Οὕτω Φαραὼ κατεποντίσθη πανσθρατιᾷ. Οὕτως ἐξεβίβασαν οἱ προσοικοῦντες τὸν Παλαισίνους.

Τῶ Χρυσοστόμω εἰς τὸν Σεισμόν.

Οὐκ ἔστι δίκαιος, ὃς οὐκ ἔχει ἁμαρτίαν τινὰ, καὶ οὐκ ἔστιν ἁμαρτωλὸς, ὃς οὐκ ἔχει τι ἀγαθόν. Ἐὰν ἓν ἴδῃς δίκαιον τινὰ νοσοῦντα, ἢ πειρασμῷ τινὶ ἐμπεσόντα, μὴ θορυβηθῇς, ἀλλ' ἐννόησον πρὸς ἑαυτὸν καὶ εἰπέ. Οὗτος ὁ δίκαιος κακόν τι ἐποίησε παντὸς μικρὸν ὡς ἄνθρωπος, καὶ ἀπολαμβάνει ὧδε, ἵνα μὴ ἐκεῖ κολασθῇ. Πάλιν αὖ ἴδῃς ἁμαρτωλὸν ἁρπάζοντα, πλεονεκτοῦντα, μυρία ποιοῦντα κακὰ, καὶ ἀθλούμενον, μὴ θαυμάσῃς, ἀλλ' εἰπέ. Οὗτος ὁ μυρία κακὰ ποιῶν, καὶ μηδὲν πάσχων δεινὸν, ἀγαθόν τι ἐποίησε παντὸς, καὶ ἀπολαμβάνει αὐτὸ ὧδε, ἵνα ἐκεῖ κολασθῇ. Διὰ τοῦτο καὶ ὁ Ἀβραὰμ, ἐπειδὴ σωμάβανε καὶ τὸν Λάζαρον ἔχειν ἁμαρτίαν, καὶ τὸν Πλούσιον ἔχειν τι ἀγαθὸν, ἔλεγε. Ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά.

Τῶ αὐτῶ ἐκ τῶ προς Σταγείριον.

Καὶ διατί φησὶν οἱ πολλοὶ μέχρι τελευτῆς ἐκ πρώτης ἡλικίας πολλαῖς προσπάλαισαν συμφοραῖς; Ὅτι προνοητικῶς μὴν, διὰ τὴν οἰκείαν αὐτὸς κολάζει πονηρίαν, ἔπειτα δὲ, ἵνα κὴ ἕτεροι κερδαίνωσιν ἐκ τῆς τούτοις συμβαινόντων κακῶν. Εἰδὲ μὴ ὅπὶ πάντων τοῦτο γίνεται, ὅπου τῆς κρίσεως ὁ καιρός. Τί οὖν φησὶν, ὅταν πρὶν ἔλθωσιν εἰς τὸν διάγνωσιν τῆς καλῶν, ἢ τῆς κακῶν, ὡς μεγάλα ἀδικηκότες κολάζονται; Τοῦτο μὴν ἀ μία τις ἐστὶν αἰτία, ἀλλὰ πολλαὶ κὴ διάφοροι. Καὶ διὰ κὴ διὰ τὸν τῆς γρηγορσμῶν ἀκρασίαν, καὶ διὰ τὸν τῆς θρεψάντων ῥᾳθυμίαν, καὶ διὰ τὸν τῆς ἀέρων αὐωμαλίαν, κὴ διὰ πολλὰ ἕτερα τοιαῦτα συμπτώματα τοῦτο γένοιτ' ἄν. Πρὸς δὲ τούτοις πολλὰς αὐτῶν οἶδεν ὁ Θεὸς ἐσομένους πονηρὰς· εἶτα ὥσπερτισι πέδαις προκατέχει ταῖς τιμωρίαις ταύταις αὐτάς.

Τῶ αὐτῶ ἐκ τῆς πρὸς Τιμόθεον, Β'. Ἐπιστολῆς.

Εἰ μηδεὶς πονηρὸς ἐκολάζετο, ἀδεὶς ἂν ἐνόμιζεν ἐφεστάναι τὸν Θεὸν τοῖς ἀνθρωπίνοις πράγμασι. Καὶ εἰ πάντες ἐκολάζοντο, ἀδεὶς ἂν προσεδόκησεν εἶναι ἀνάστασιν, ὡς πάντων ἐνταῦθα ἀπολαμβανόντων. Διὰ τοῦτο κολάζει, κὴ ἀ κολάζει. Διὰ τοῦτο ἐνταῦθα δίκαιοι μὴν θλίβονται, ὅτι πάροικοι, ὅτι ξένοι, ὅτι ἐν ἀλλοδαπίᾳ εἰσὶ, κὴ δοκιμῆς ἕνεκεν ταῦτα ὑπομένουσιν, ὡς ὁ Γὼβ. Οἱ δὲ ἁμαρτωλοὶ, ἐὰν καί ποτε τοιοῦτόν τι ὑπομείνωσι, δίκην τινύουσι τῆς ἁμαρτιῶν. Καὶ διὰ τῆς ἀγαθῶν εἰσί τινες οἱ φαῦλα ἔχοντες ἔργα, κὴ ἐνταῦθα αὐτὰ ἀποτίσονται. καὶ τῆς πονηρῶν οἱ χρηστὰ ἔχοντες, καὶ ἐνταῦθα αὐτὰ ἀπολαμβάνουσιν, ἵνα ἐκεῖ μὴ τιμωρηθῶσι.

Τῶ αὐτῶ ἐκ τῶ κῆ Γωαννίνου.

Καὶ τίνος ἕνεκεν φησὶ μὴ πάντες ἔτω κολάζονται; Καὶ γὰρ πολλοὺς ὁρῶμεν τῆς φαύλων διὰ σωματοῦντας κὴ σφιγγῶντας, κὴ πολλῆς ἀπολαύοντων ἀτιμείας, ἀλλὰ τὸ μηδὲν αὐτοὺς ἐνταῦθα παθεῖν, ἐφόδιον γίνεται μείζονος τῆς ἐκεῖ τιμωρίας. Καὶ τοῦτο δηλῶν ὁ Ἀπόστολος ἔλεγε. Κενόμβοι δὲ ὑπὸ Κυρίω παιδευόμεθα, ἵνα μὴ σὺν τῷ Κόσμῳ κατακριθῶμεν.

Πρὸς Κορ. α'. 11.

Τῶ Θεολόγω ἐκ τοῦ περὶ Φιλοπτωχείας.

Εἰ δὲ κὴ διὰ Θεὸν τὸ κακοπαθεῖν, ἤτοι ἀρρώστειν, ἔτω δῆλον, ἕως ἂν κὴ παρ' ἑαυτῆς ἡ ὕλη φέρει τὸ ἄπαντον, ὥσπερ ἐν ῥόμματι. Καὶ τίς οἶδεν, εἰ ὁ μὴν διὰ κακίαν κολάζεται, ὁ δὲ ὡς ἐπαινούμενος αἴρεται; Ἀλλὰ μὴ τοὐναντίον, εἰ ὁ μὴν διὰ πονηρίαν ὑφίσται, ὁ δὲ διὰ ἀρετὴν δοκιμάζεται; ὁ μὴν πλεῖον ἐπαιρόμενος, ἵνα κὴ πέσῃ χαλεπώτερον, ὅλως ἐώμενος προτερον, ὥσπέρτινα νόσον, ἐκρῆξαι τὸν ἑαυτῆς κακίαν, ἵνα κὴ κολασθῇ δικαιότερον, ὁ δὲ κὴ διὰ δόξαν πιεζόμενος, ἵν' ὥσπερ χρυσὸς ἐν καμίνῳ δοκιμασθεὶς τῆς κακίας, εἴτι μικρὸν εἶχε, τοῦτο ἐκπύξῃ; Καθαρὸς γὰρ ἀπὸ ῥύπου παντελῶς ἀδείς.

Τῦ Ἁγίυ Βασιλείυ. Ἐκ τῆς Ἀσκητικῶν.

Οὐ πάντα φύσεως εἰσὶ τὰ ἀῤῥωστήματα, ἀλλὰ ἅπερ ἐνίοτε ὁρῶμεν τινὰ ἰατρικῶ χρησιμεύοντα. Πολλάκις γὰρ καὶ μάστιγες ἁμαρτημάτων εἰσὶ τὰ ἀῤῥωστήματα, ἀλλὰ ὑπερφυῶ ἐπαγόμενα. Ὃν γὰρ φησὶν ἀγαπᾷ Κύριος παιδεύει. Καὶ διὰ τοῦτο ἐν ἡμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίυ παιδευόμεθα, ἵνα μὴ σὺν τῷ Κόσμῳ κατακριθῶμεν. Τοὺς ἓν τοιούτοις ἡσυχάζοντας, καὶ ἀφεμένους τῆς ἰατρικῆς ὑπομονῆς, ὑπομένειν χρὴ τὰ ἐπαγόμενα, καὶ τὸν λέγοντα. Ὀργὴν Κυρίυ ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ, καὶ τὴν διόρθωσιν ὑποδείκνυσθαι διὰ τὸ ποιεῖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μεμνῆσθαι τοῦ Κυρίυ λέγοντος. Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. Γίνεται δέ ποτε καὶ κατ' ἐξαίτησιν τοῦ πονηροῦ, ὥσπερ ἀγωνιστὴν μέγαν συγκαθιστῶντος αὐτῷ εἰς τὸν ἀγῶνα τοῦ Φιλανθρώπυ Δεσπότυ, καὶ τὴν μεγαλαυχίαν αὐτοῦ διὰ τῆς εἰς ἄκρον ὑπομονῆς τῆς δόλων αὐτοῦ καθαιρέντος, ὥσπερ ὅπ τοῦ Γὼβ γεγόμενον μεμαθήκαμεν. Ἢ καὶ εἰς ὑπόδειγμα τοῖς ἀφεστῶσιν ἀφίγονται ὑπὸ τοῦ Θεοῦ, οἱ δυνάμενοι μέχρι θανάτυ ἐναντιοῦσθαι τοῖς ἀλλογενοῖς, ὡς ὁ Λάζαρος, ὃς τοιούτοις ἕλκεσι συνεχόμενος, ἐδάμη γέγραπται, ὅτε αἰτῆσαι τι τὸν Πλούσιον, ὅτε δυσαρεστηθεὶς τοῖς παροῦσι, διὸ καὶ ἔτυχε τῆς ἐν τῷ κόλπῳ τοῦ Ἀβραὰμ ἀναπαύσεως, ὡς ὑπολαβὼν τὰ κακὰ ἐν τῇ ζωῇ αὐτοῦ. Εὕρομεν καὶ ἄλλην αἰτίαν ἀῤῥωστημάτων τοῖς Ἁγίοις συμβαίνουσαν, ὡς ὅπ τοῦ Ἀποστόλυ. Ἵνα γὰρ μὴ δόξῃ ὑπερβαίνειν τὸν ὅρον τῆς ἀνθρωπίνης φύσεως, καὶ μήτις αὐτὸν λογίσηται ἐν φυσικῇ κατασκευῇ ἔχειν τι θεμασότερον, ὅπερ ἔπαθον οἱ Λυκάονες, κέρματα καὶ ταύρυς προσαγαγόντες, εἰς θεώσασιν τῆς ἀνθρωπίνης φύσεως τῇ ἀῤῥωστίᾳ συμβῆναι δοκεῖ. Τί οὖν τοῖς τοιούτοις θεοῦ τῆς ἰατρικῆς γένοιτο κέρδος, καὶ οὐχὶ μᾶλλον κίνδυνος μετεωριζομένοις ὑπὸ τοῦ ὀρθοῦ λόγυ εἰς τὴν τοῦ σώματος ἐπιμέλειαν; Τοῖς μὲν ἐκ πονηρᾶς διαίτης τὴν ἀῤῥωστίαν ἑαυτοῖς σωματοποιήσασιν, οἷον τύπῳ τινὶ καὶ ὑπογραμμῷ χρήσιμον τῇ τοῦ σώματος θεραπεία πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν. Τὸ γὰρ παντὶ τρὸς ὑπὸ τῆς Γαστρικῆς ὠφελείας ἀποφεύγειν, φιλόνεικον, καὶ τὸ ἐν χερσὶ τῶν ἰατρῶν τὴν ἐλπίδα ἔχειν τῆς ἑαυτῶν ὑγιείας, κτηνώδες. Ἀλλ' ὡς κεχρήμεθα μὲν τῇ γεωργίᾳ, αἰτώμεθα δὲ θεοῦ τὰς καρπούς, καὶ τῷ κυβερνήτῃ μὲν τὸ πηδάλιον ἐπιτρέπωμεν, τῷ δὲ Θεῷ προσευχόμεθα ἐν τῷ πελάγυς ἀποσωθῆναι, οὕτω καὶ ἰατρὸν εἰσάγοντες, ὅτε ὁ λόγος συγχωρεῖ, τῆς πρὸς Θεὸν ἐλπίδος ἐκ ἀφιστάμεθα.

Πρὸς Ἑβρ. 12. Πρὸς Κορ. α. 11. Μιχ. 7. Ἰωάν. 5. Λουκ. 16. Πράξ. 14.

Μαξίμυ ἐκ τῶν Κεφαλαίων.

Ὁ μὲν ἐκφρων φησὶ τῶν Θείων Κειμάτων τὴν ἰατρείαν ἀπολογιζόμενος, ἀλλοτρίως φέρει τὰς διὰ τούτων ἐπισυμβαινούσας αὐτῷ συμφορὰς, μηδὲν ἄλλο τούτων αἴτιον, ἢ τὰς ἑαυτοῦ ἁμαρτίας λογιζόμενος. Ὁ δὲ ἄφρων τὴν

τὴν τοῦ Θεοῦ ἀγνοῶν σοφωτάτην πρόνοιαν, ἁμαρτάνων καὶ παιδεύομενος, ἢ τὸν Θεὸν, ἢ τὰς ἀνθρώπους τῆς ἑαυτοῦ κακῶν αἰτίαν λογίζεται. Οὐ γὰρ ἐστὶν ἁμαρτήσαντα τινὰ ἐκφυγεῖν τὴν μέλλουσαν κρίσιν αὖθις ἐκείσιον ἐνταῦθα πόνων, ἢ ἀκεσίων διαφορῶν.

ΕΡΩΤΗΣΙΣ, ΙΘ'.

Τί ἐστὶ Τύχη; καὶ εἰ ἔξεσι τὸν Χριστιανὸν ὁμολογεῖν τύχην;

ΑΠΟΚΡΙΣΙΣ.

Τύχη μὲν παρὰ τοῖς Ἕλλησιν ἐρρέθη, ἥτις ἐστὶν ἀπρονόητος τοῦ Κόσμυ διοίκησις. Ὁ δὲ Χριστιανὸς Θεὸν ὁμολογεῖ διοικοῦντα, καὶ προνοούμενον ἁπάντων. Εἰ δὲ καὶ αὐτὸς ὁμολογήσῃ τύχην, ἐξέπεσε τοῦ τῆς Χριστιανῶν Δόγματος καὶ φρονήματος, ὡς οἱ ματαιόφρονες Ἕλληνες. Ἐκεῖνοι γὰρ πάντα τὰ συμβαίνοντα τοῖς ἀνθρώποις, ὥσπερ τύχῃ, καὶ ἄτροις αὐτοῖς ὑπαφαίρεσι τοῖς ἀνθρώποις, ὅτι λογῆς καὶ οἱ Φαρισαῖοι γένεσιν, καὶ Εἱμαρμένην ἀφρόνως δοξάζουσι. Καὶ περὶ μὲν τῆς θεραπευόντων τὴν λεγομένην Τύχην, ἡ Θεία Γραφὴ ἐλέγχουσα τὴν ἄνοιαν καὶ ἀσέβειαν αὐτῶν, φησίν. Οἱ ἑτοιμάζοντες τῷ δαίμονι τράπεζαν, καὶ κερανοῦντες τῇ τύχῃ κέρασμα. Περὶ δὲ τῶν ἀστρολόγων, Σπασάτωσαν φησὶ, καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ Οὐρανοῦ. καὶ ἑξῆς. Ἴδε πάντες ὡς φρύγανα ἐν πυρὶ κατακαυθήσονται, καὶ οὐ μὴ ἐξέλωνται τὴν ψυχὴν αὐτῶν ἐκ φλογός. Ὡσαύτως δὲ καὶ ὁ Κύριος θεραμβῶν τὴν ἀφροσύνην αὐτῶν φησί. Πῦ εἰσὶν οἱ ἀστρολόγοι συ; ἀναγγειλάτωσαν τὰ ἐπερχόμενά σοι.

Ἡσαΐας 65. 47.

Τῦ Ἁγίυ Γρηγορίυ Νύσσης ἐκ τοῦ περὶ Εἱμαρμένης.

Εἰ πρὸς ἀκρίβειαν φησὶν ἡ ὥρα ληφθείη τῆς τοῦ ἀποκυηθέντος γενέσεως, πᾶσαν δι' ἀκολούθυ τὴν ζωὴν τοῦ τεχθέντος προαγορεύσουσιν οἱ ἀστέρες, τὸν χρόνον, τὸν τρόπον, τὰ τῆς ἠθῶν ἰδιώματα, τὰς κινδυνώδεις συμπλοκὰς, γάμους, καὶ παιδοποιΐας, καὶ ἀξιωμάτων ἐπιτυχίας, ἢ τὸ ἔμπαλιν ἀπαιδίας, καὶ νόσους, καὶ ἀτιμίας, καὶ βραχύτητα βίυ, καὶ τὰ ἐκ πενίας κακά. Ἐγὼ δὲ τοῖς ῥηθεῖσιν ἐπιγελάσας, ἐλεεινοὺς ἡμᾶς, πρὸς αὐτὸν εἶπον, τοὺς τοῦ Γαλιλαίου, καὶ Ἱπποκράτυς, καὶ τῆς τοιούτων, ἐγγόνους εἶναι τὰς εἱμαρμένας δοξάζων. Ἐπεὶ καὶ ἐκεῖνοι χαίρειν ἀφέντες τὴν τῶν ἄστρων κίνησιν, ἐκ τοῦ ὑπομειμένου σοφιστικῶς τὸ μέλλον προαγορεύουσιν. Ὅταν ὀφθαλμοὶ κοῖλοι, καὶ κρόταφοι συμπεπτωκότες, καὶ τὰ μέτωπα ἐσκληκότα τῷ δέρματι, τὸν θανάτον προμηνύουσι. Πολλοῖς δὲ εἶπον, νοσωδέστερον διακειμένοις τὰ σώματα, καὶ ὅσον οὐδέπω προσδοκωμένοις τεθνηξεσθαι, πρὸς τὸ ἔμπαλιν ἐξ ἰατρικῆς ἀνακλώθη τῆς τοιαύτης εἱμαρμένης τὰ νήματα. οἷόν τι καὶ τὸν παιδοτρίβην Ἡρω-

δικὸν ὁ Πλάτωνος ἰσόρησε λόγος. ὅτι δὴ γυμναστικῆς ἐμπειρίας, εἰς παντελῆ μὲν ὑγιείαν ὄπιθανατίᾳ τὸ νοσήματος ὄντος, ἐπαναγαγεῖν τὸ σῶμα οὐχ οἷός τε ἰῶ. ἀεὶ δὲ τὸν ᾅδὴ τὸν θάνατον δι' ὀπνοίας ὑπερτιθέμενος, οὐ ζωῆς ἀσφάλειαν, ἀλλὰ θανάτῳ ᾅδῃ πᾶσιν ἑαυτὸν παρισκάζων. ὅθεν καὶ εἰς γῆρας διήκεσε, μακρῷ θανάτῳ τὸ μὴ ἀποθανεῖν σοφισάμενος. Οὐκοῦν, ἀδελ καὶ τῶν τὸν λόγον ἀρρήκτης ἡμῖν εἰμαρμένη καταλαμβάνεται, εἴπερ δεισιδαίμονες τέχνη τινὶ ἀνάγκῃ αὐτῆς ἐκλύουσα. Τί δὲ καὶ αἱ κατὰ πόλεμον συμφοραὶ, καὶ οἱ σεισμοὶ, καὶ αἱ τῶν πόλεων καταπτώσεις, καὶ τὰ ἀνταυδρα τῶν μυριοφόρων ὁλκάδων ναυάγια, ὄπικλύσεις, καὶ ἐμπυρώσεις, καὶ χάσματα, καὶ ὅσα τοιαῦτα πανολέθρια εἴδη; πῶς ταῦτα ἁμαρτήσει τὸν τῆς προρρήσεως λόγον; πόσα μὲν ἐν τοῖς προτέροις, πόσα δὲ ἐν τοῖς καθ' ἡμᾶς ὁ βίος ἔδειξε πάθη; Τὸν ὅπι Νῶε κατακλυσμὸν, καὶ τῶν Σοδόμων ἐκπύρωσιν, ἢ τὸν Αἰγύπτιον στρατὸν ὑποβρύχιον ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ γεγόμενον, ἢ τὰς μετὰ ταῦτα τῶν ἀλλοφύλων σφαγὰς, τὰς μυρίας ἐκείνας ἀνδροκτασίας, ἢ τὸν αὐτόματον ἐν ὀλίγῳ τῷ χρόνῳ θανατον τῶ Ἰσραηλιτικὸ λαῷ, ἐν πολλαῖς μυριάσι θραυθέντος, ἢ τὰς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας τῶν Ἀσυρίων μιᾷ χρόνε ῥοπῇ νεκρωθείσας, τῶν τε ἐφεξῆς κακῶν τὰς ἰσορίας, ἐν Μηδικαῖς τε, καὶ Ἑλληνικαῖς συμφοραῖς συνεμπεσούσας, ἐν ναυμαχίαις τε, καὶ πεζομαχίαις μεγάλαις, καὶ πάντα ὅσα τοιαῦτα (μεγάλα) ὧν ἡ μνήμη τοῖς ἐφεξῆς διδάσκαλος γίνεται. Κἂν ταῦτα παρέλθωμεν πάντα, ἱκανὰ λέγοιτο πρὸς τὸν τῶν λεγομένων μαρτυρίαν, καὶ ὅσα ὁ καθ' ἡμᾶς ἰσόρησε βίος. Τίς γὰρ ἐκ οἶδε τὸν μεγάλων Βιθυνίαν; Τίς ἀγνοεῖ τὸν πλατείαν καὶ διρύχωρον Θρᾴκην; πῶς τὸν μὲν πόλεμος, τὴν δὲ σεισμὸς καὶ τὸ πυρὸς ἐν ἀκαρεῖ τὸ χρόνε ἄρδην ἐξέλιπε; Πόσοι παῖδες ἐκεῖ; πόσα νήπια; οἱ μέσως ἔχοντες, οἱ παρήλικες, ἐλεύθεροί τε, καὶ δοῦλοι, κρατοῦντες, καὶ ὑποχείριοι, πλούσιοι, πένητες, ἐρρωμένοι, νοσηλευόμενοι, πάντες ἐν μιᾷ καιρῷ ῥοπῇ κατεφθάρησαν, πάντες ὅπισης τὸ πῦρ ἐπενεμήθη, πᾶσιν οἱ οἶκοι πάφοι ἐγένοντο. Πῶ αἱ τῶν ἄστρων ἐκείνων διπλοκαὶ, αἳ τὰς διαφορὰς τῶν βίων ἐν ἀνθρώποις μεγίζουσαι; Ἆρα πᾶσιν ἐκείνοις μία τῶν ἄστρων σειρὸς τὰς ὠδίνας τῶν γενέσεων ἔλυσε; καὶ πᾶσιν ὁ Καρκῖνος ὡροσκοπῶν τὸν μοῖραν ἐπέβαλε; καὶ μὸν αἱ μυρίαι τῶν ἡλικιῶν τε, καὶ ἀξιωμάτων διαφοραὶ, τὸ μὴ πάντας ἀλλήλας καὶ παντὸν τῇ γενέσει σωσεσχεθῆναι διαμαρτύρονται. Εἰ ἓν ὁ μὲν τῆς γενέσεως χρόνος ἑκάστῳ διάφορος, ἡ δὲ τῶν συμφορῶν ταυτότης ὁδεμίαν ᾅδαλαγὸν ἐκ τῆς καὶ τὸν γένεσιν αἰτίας ἐδέξατο, ἆρα καὶ διὰ τῶν τὸ περὶ τὸν προρρήσιν ἀπαγὲς καὶ ἀσύσατον διελέγχεται;

Τῦ Θεολόγυ. Ἐκ τῦ περὶ Φιλοπτωχείας.

Οἱ μὲν ἐντεῦθεν Τύχῃ καὶ τὸ Αὐτόματον ἐδογμάτισαν, ὄντως αὐτόματα, καὶ ὡς ἔτυχεν ἀναπλασθέντα ὄπινοήματα. Οἱ δὲ ἀστέρων τινῶν δυ-

Γεν. 7. 19. Ἐξ. 15. Βασιλ. δ'. 19.

ναστείαν, ἄλογόντε καὶ ἄλυπον, πλεκόντων ὡσανὰ βέλονται τὰ ὑμέτερα, μᾶλλον δὲ καὶ αὐτὸ τὸ πλέκειν σωλωναγκασμένων, καὶ πλανήτων δέτινων καὶ ἀπλανῶν σωόδες καὶ ὑποχωρήσεις, καὶ κυείαν τῦ παντὸς κίνησιν. Οἱ δὲ ὅ,τι αὖ ἕκασος ἐφαντάσθησαν, τῷ παλαιπώρῳ γοῦν τῶν ἀνθρώπων ἐπεισήγαγον, ὅσον αὐτῆς τῆς Προνοίας ἀνέφικτόντε καὶ ἀθεώρητον, εἰς διαφόρες δόξας καὶ προσηγορείας αὐτὰ μερίσαντες. Ἀλλ' ἐματαιώθη γὰρ φησὶν ἡ ἀσύνετος αὐτῶν καρδία· καὶ φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν, καὶ ἤλλαξαν τὸν δόξαν τῦ ἀφθάρτε Θεῦ μύθοις τισὶ καὶ σκιαῖς, τὸν διὰ παντὸς Πρόνοιαν καθυβρίσαντες. Ἡμεῖς δὲ ταῦτα μὴ τερατευώμεθα, μηδὲ τὰς οἰομένας ὑποδεχώμεθα, κἂν δρόμῳσι τὸν γλῶσαν ἐν τοῖς ἀπόποις λόγοις καὶ δόγμασι, καὶ τῷ καινῷ τέρπωσι.

Πρὸς Ρ'ωμ. 1.

Ε Ρ Ω Τ Η Σ Ι Σ, Κ'.

Ἐκ ποίας δυνάμεως καὶ ἐνεργείας οἱ τὰ ἐναντία φρονῦντες, καὶ φράττοντες, προφητεύσι, πολλάκις καὶ θαυματυργῦσι;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Τὰ σημεῖα, καὶ αἱ θαυματυργίαι, καὶ αἱ προρρήσεις, πολλάκις καὶ δι' ἀναξίων κατάτινα χρείαν, ἢ οἰκονομίαν γίνονται. ὥσπερ ὅπι τῦ Βαλαὰμ, καὶ τῆς ἐγγαστριμύθε. Καὶ πάλιν οἱ Ἀπόστολοι διρόντες τινὰ ἄπισον ἐν τῷ ὀνόματι Χριστῦ ἐκβάλλοντα δαιμόνια, καὶ κωλύσαντες αὐτὸν, εἶπον τῷ Χριστῷ, καὶ εἶπε. Μὴ κωλύετε αὐτὸς· ὁ μὴ ὢν γὰρ φησὶ καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐσίν. Οὐκοῦν ὁπόταν ἴδῃς καὶ δι' αἱρετικῶν καὶ δι' ἀπίσων τι σημεῖον κατάτι κεῖμα Θεῦ ῥεόμενον, μὴ θαμβηθῇς, ἢ σαλευθῇς τῆς Ὀρθοδόξε Πίσεως. πολλάκις γὰρ καὶ ἡ πίσις τῦ προσερχομένε ἐσὶν ἡ τὸ σημεῖον ποιήσασα, καὶ οὐχ ἡ ἀξία τῦ ποιήσαντος. Καὶ γὰρ ὁ Γωάννης, ὁ μείζων πάντων τῶν ἐν γυναικῶν γενητοῖς, οὐ φαίνεται σημεῖον τι πεποιηκώς. Ὁ δὲ Γιδας πάντα πεποίηκε. Καὶ γὰρ καὶ αὐτὸς μετὰ τῶν ἄλλων ἰῦ τῶν πεμφθέντων νεκρὸς ἐγεῖραι, καὶ λεπρὸς καθάραι. Διὸ μὴ μέγα τι νομίσῃς, ἐάν τινὰ ἀνάξιον, ἢ κακόπισον σημεῖον ποιοῦντα θεωρήσῃς. Οὐ δεῖ δὲ ἅπε Ὀρθόδοξον ἄνδρα ἀπὸ σημείων καὶ προφητειῶν δοκιμάζειν ὅτι ἅγιος ἐσὶν, ἀλλ' ἀπὸ τῆς πολιτείας αὐτῦ. Πολλοὶ γὰρ πολλάκις, οὐ μόνον ὀρθόδοξοι ἁμαρτωλοὶ, ἀλλὰ καὶ αἱρετικοὶ, καὶ ἄπισοι σημεῖα ἀπετέλεσαν, καὶ προεφήτευσαν, κατάτινας οἰκονομίας ὡς εἴρηται, συγχωρηθέντες ὑπὸ τῦ Κυρίε, ὡς ὅπι τῦ Βαλαὰμ, καὶ τῦ Σαοὺλ, καὶ Ναβυχοδονόσορ, καὶ Καϊάφα ἔσιν διρεῖν τὸ Πνεῦμα τὸ Ἅγιον ἐνεργῆσαν εἰς αὐτὸς ἀναξίως καὶ βεβήλως ὄντας δι' αἰτίας διλόγυς. Ἐπεὶ ἓν ὡς

Α'ριθ. 23. Βασ. α'. 28. Λεκ. 9.

δέδεικται, καὶ ἀφ' ἁμαρτωλῶν, καὶ ἀπίστων, σημεῖα καὶ προφητεῖαι γίνονται πολλάκις ἀφάτους οἰκονομίας, ἃ δεῖ ἐκ τοιούτων πραγμάτων ὡς ἔφην δοκιμάζειν τινὰ εἰ ἅγιος ἐστὶν, ἀλλ' ἐκ τῶν καρπῶν αὐτῶν ὡς ἔφη ὁ Κύριος. Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Τοὺς δὲ καρποὺς τὸ ἀληθὲς καὶ πνευματικὸν αὐθρὶς ἐδήλωσεν ὁ Ἀπόστολος εἰπών. Ὁ δὲ καρπὸς τοῦ Πνεύματος ἐστὶν ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια, κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Εἰ τοίνυν τοὺς τοιούτους καρποὺς κέκτηται ἄνθρωπος, κἂν ποιῇ σημεῖον, κἂν μὴ ποιῇ, ἅγιος ἐστὶν ὁ τοιοῦτος, ὅτι ἅγιος ἐστὶ, καὶ τοῦ Θεοῦ φίλος. Πᾶς γὰρ ὁ τῆς ἀληθινῶν ἀγίων τοῦ Θεοῦ, οὐκ ἐκτὸς πνευματικοῦ χαρίσματος ὑπάρχει. Ἢ γὰρ λόγον σοφίας δέχεται, ἢ λόγον γνώσεως, ἢ πίστιν, ἢ χάρισμα ἰαμάτων, ἢ ἕτερόν τι τῶν τοῦ Ἀποστόλου ἐν τοῖς περὶ δωρεῶν τοῦ Ἁγίου Πνεύματος εἰρημένων. Ἄνθρωπος δὲ τῶν καρπῶν τούτων ὁ ποιῶν σημεῖα, ἢ προφητεύων, εἷς ἐστὶ τῶν λεγόντων ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Κύριε, Κύριε, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν, καὶ προεφητεύσαμεν; καὶ ἀκούων· Ἀμὴν λέγω σοι, οὐδέποτε σε ἔγνων· ἀποχώρει ἀπ' ἐμοῦ ὁ ἐργαζόμενος τὴν ἀνομίαν. Καὶ ταῦτα μὲν περὶ ὀρθοδόξων ἁμαρτωλῶν ποιούντων σημεῖα εἴρηται. Αἱρετικὸς δὲ ποιῶν σημεῖα, ἢ προφητεύων, δῆλος ἐστὶν, ὅτι ὑπὸ δαιμόνων ἐμπαίζεται, καίπερ νομίζει ἐκ Θεοῦ ἐνεργεῖσθαι αὐτῷ τὰ τοιαῦτα. Οὐδὲν δὲ προγινώσκουσι τῶν ἐσομένων, ἢ ἀποῤῥήτων οἱ δαίμονες, ἀλλὰ μόνος ὁ Κύριος, ὁ εἰδὼς τὰ πάντα πρὸ γενέσεως αὐτῶν, καθὼς καὶ διὰ τοῦ Προφήτου λέγει. Οὐκ ἔστιν ἀναγγέλλων τὰ ἐπερχόμενα πλὴν ἐμοῦ. Οἱ δὲ δαίμονες ἐκεῖνα λέγουσι τοῖς ἀνθρώποις, ἃ βλέπουσι καὶ ἀκούουσιν, ἢ καὶ ἀπὸ συμβόλων τινῶν καταλαμβανόμενοι τὰ πολλὰ τῶν πραγμάτων μιμοῦνται. Ὁ δοιπόρων μὲν παρουσίαν σημαίνουσι, βλέποντες αὐτοὺς προπατοῦντας ἐν τῇ ὁδῷ, καὶ μελόντων ἔρχεσθαι προλαμβάνουσι, καὶ ἀπαγγέλλουσι τὴν τούτων ἄφιξιν. Σκέψεις δὲ ἀνθρώπων κατ' ἐχθρῶν αὐτῶν, καὶ λόγους καὶ μόνας σκεπτομένων μετὰ τινων προαιρούμενοι, καὶ ἀναγγέλλοντες τὰ τοιαῦτα οἷς βέλονται, καὶ ὅσα ὅμοια τούτοις, ἐκ τοῦ ὁρᾶν καὶ ἀκούειν μιμοῦνται τοῖς ἀνθρώποις. Εὐφορίαν δὲ καρπῶν γῆς, καὶ ἀφορίαν, καὶ πνεύμων κινήσεις, καὶ ἐπομβρίας, καὶ ὑετῶν ἐποχὴν, καὶ αὐχμὸν, καὶ χειμώνων βαρύτητα, καὶ ὅσα πλησίον τούτοις, ἐκ συσήμων τινῶν τεκμαιρόμενοι, προλέγουσιν ὥσπερ καὶ οἱ ἄνθρωποι. Καὶ ἐννοίας πάλιν, καὶ βουλὰς ἀνθρώπων ὡσαύτως, ἐκ συμβόλων τινῶν ὁρῶντες καταλαμβάνονται ἐν τῷ ἀνθρώπῳ, ἢ καὶ ἐκ λόγων τινῶν. Οὐ μόνον δὲ τὰ τοιαῦτα δύνασθαι εἰπεῖν οἱ ἀκάθαρτοι δαίμονες, ἀλλὰ καὶ θανάτου ἀνθρώπων. Ἔνι γὰρ σύσημα τινὰ, ἐντεθὲν ὑπὸ τῆς Προνοίας τῷ ἀνθρωπίνῳ σώματι, μάλιστα ἐν ταῖς ὄψεσιν αὐτοῦ, τὰ προμηνύοντα σαφῶς τὸν θάνατον αὐτοῦ, καὶ πρὸ πολλοῦ χρόνου, καὶ πρὸ βραχέος, ὡς φασὶν οἱ τοῦ ἰατροῦ ἐπιστήμου λεπτῶς καὶ ἀκριβῶς ἐπαΐοντες. Ἤδη δέ-

Ματ. 7. Πρὸς Γαλ. 5.

Πρὸς Κορ. α'. 12.

Ματ. 7.

Ἡσαΐας 41. 44.

τινες καὶ Σαρρακηνῶν τοὺς πολυπείρους βεβαιοῦνται τοῦτο προγνωστικὸν κεκτῆσθαι, οἵτινες ἐν πολέμῳ τὸν μέλλοντα θνήσκειν ἐκ συσήμου τινὸς ἐπαγγέλλουσιν. Οὕτως ἂν καὶ οἱ Δαίμονες τοὺς θανάτους τῶν ἀνθρώπων καὶ μᾶλλον ὡς διορατικώτεροι τῶν ὑλικῶν ἰδιωμάτων προαγγέλλουσι. Πνεύματα γὰρ λεπτὰ καὶ ἀσώματα ὑπάρχοντες, διερμηνεύουσι καὶ ἐπίστανται ὑπὲρ πᾶσαν ἀκριβῆ ἐπιτήμην ἀνθρώπων τὰς δυνάμεις, καὶ ἐνεργείας, καὶ τὰς πλεονασμοὺς, καὶ τὰς ἐλλείψεις τῆς ζωτικῆς τοῦ σώματος καὶ τῆς τοῦ αἵματος ὑπάρξεως. κἀκεῖθεν λοιπὸν συλλογιστικῶς, ἀλλ' οὐκ ἀκριβῶς τεκμαίρονται τοῦ τελευτοῦ τοῦ ἀνθρώπου. Τὸ αὐτὸ δὲ ἐστὶν εἰπεῖν καὶ ὅτι τῶν μάντεων, καὶ ὅτι τῶν ἐγγαστριμύθων. Θεωροῦντες γὰρ οἱ δαίμονες τὶς ὁ κλέψας, καὶ ποῦ τὰ κλαπέντα εἰσὶ, δύνανται ταῦτα εἰπεῖν. ὥσπερ πολλάκις θεωρήσαντες πολυσυμβρίαν ἐν τῇ Ἰνδικῇ χώρᾳ γεγενημένην, προλέγουσι τινὶ ἐν Αἰγύπτῳ μεγάλην ἔσεσθαι τοῦ Νείλου ἀνάβασιν. Εἰδέτις ἐρωτήσειεν αὐτοὺς τὸν πυκνισμὸν, καὶ τὰς δακτύλους τῆς ἀναβάσεως, ὅπερ οὐσιν εἰπεῖν, καὶ ἐλέγχονται μηδὲν ὑπισχνούμενοι. Δοκοῦσι δὲ πάλιν ὑπὸ τῶν πεισθέντων αὐτοῖς ψευδοπροφητῶν ἀνθρώπων, καὶ σημεῖα ἐξ αὐτῶν, καὶ παθῶν σωματικῶν ἰάσεις ὑπιτελοῦντων, πρὸς ἀπάτην ἑαυτῶν, καὶ ἑτέρων, καὶ νεκρῶν ἀνθρώπων ἀνισταμένων, καὶ δεικνύειν, καὶ προσφθέγγεσθαι τοῖς ζῶσιν ἐν φαντασίᾳ. Εἰσδυόντων γὰρ εἰς τὸ νεκρὸν σῶμα τοῦ ἀνθρώπου ὁ δαίμων, καὶ κινοῦντα αὐτὸ, δείκνυσι τὸν νεκρὸν ἐγηγερμένον ὑπὸ τῆς ματαίας ψυχῆς τοῦ πλανῶντος ἄνθρωπον, καὶ ὡς ἐκ προσώπου τοῦ νεκροῦ ὑπὸ λέγεται ὁ πονηρὸς τῷ ἀπατωμένῳ ὑπ' αὐτοῦ ἀνθρώπῳ, περὶ ὧν τε αὐτὸς βούλεται, καὶ περὶ ὧν τε αὐτὸς πάλιν ἐπερωτᾶται παρ' αὐτοῦ, ἀναγγέλλων αὐτῷ τὰ ἐν κρυπτῷ ὑπὸ ἀνθρώπων γινόμενα πράγματα καὶ λαληθέντα, ὡς ὑπισχνούμενος ἀκριβῶς τῷ παρεῖναι αὐτὸν, λεληθότως ἐν αὐτῷ τὰ τοιαῦτα πράττεσθαι παρ' αὐτῶν, καὶ ὑπισκοπεῖν καὶ ἀκούειν. Ἀλλὰ ῥύσαιτο ἡμᾶς ὁ Θεὸς ἐκ τῆς τοιαύτης πλάνης.

Περὶ αἱρετικῶν Ἐπισκόπων.

Ἔγνωμεν γὰρ καὶ Ἐπίσκοπον αἱρετικὸν ἐν Κυζίκῳ τῇ πόλει, τῶν λεγομένων Μακεδονιανῶν τῶν Πνευματομάχων, ὅτι δένδρον ἐλαίας ἐκ τοῦ πόα ἐν ᾧ ἴσατο εἰς ἕτερον τόπον χήματι δίκης μετώικησε, ὡς σκοτίζον τοῦ θυείδα τοῦ ματαίου δίκτυον αὐτοῦ. Καὶ πάλιν ὑπὸ δανειστοῦ δέ τινος ἀδίκου χήραν γυναῖκα βασείοντος σὺν ἓξ υἱοῖς αὐτῆς ἀνδρὸς, καὶ ἀπαιτοῦντος οὐχ ὅσον τοῦ δάνειον, ἀλλὰ πλεῖον, ἐγνωκὼς τοῦτο ὁ προλεχθεὶς αἱρετικὸς Ἐπίσκοπος, μήπω τεθνεῶτος τοῦ ἀνδρὸς αὐτῆς, ἀλλ' ἔτι προκομιζομένου, κατέχε τὴν κλίνην, ἐν ᾗ κατέκειτο, καὶ παρεσκεύασε τὸν νεκρὸν δῆθεν λαλῆσαι, καὶ εἰπεῖν, πόσον ἐστὶ τὸ ὀφειλόμενον χρέος τῷ ὑπὸ δανειστῇ αὐτοῦ; Τότε δὲ τοῦ αἱρετικοῦ θανόντος, ἐν τῷ μνήματι αὐτοῦ διάφοροι φαντασίαι καὶ σημεῖα ἀπετελέσθησαν. Διὰ τοῦτο τοίνυν ὁ δεῖ πάντα σημειοφόρον πιστεύειν, καὶ ὡς ἅγιον προσδέχεσθαι, ἀλλὰ δοκιμάζειν, καὶ τὸν λέγοντα. Μὴ παντὶ πνεύματι πιστεύε-

Ἰω. α'. 4.

Πρὸς Κορ. β'. 11.

τε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα εἰ ἐκ τοῦ Θεοῦ ἐστὶν, ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν Κόσμον. Καὶ ὁ Ἀπόστολος. Οἱ γὰρ τοιοῦτοι φησὶ ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ. καὶ θαυμαστόν. αὐτὸς γὰρ ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός. θ μέγα ἄν, εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης. ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν. Καὶ γὰρ ὁ Ἀντίχριστος ἐρχόμενος κατὰ συγχώρησιν Θεοῦ, ποιήσει ὑπαργόντων αὐτῷ τῶν δαιμόνων πάμπολλα σημεῖα, καὶ τέρατα ψεύδους, πρὸς ἀπώλειαν μὲν τῶν ἀπίστων, εἰς δοκίμιον δὲ τῶν πιστῶν. Καὶ τί ξένον εἰ τοῦ Διαβόλου συνεργοῦντος αὐτῷ ποιήσει σημεῖα φαντασίας διάφορα; ὁπόταν καὶ ἤδη ἔγνωμεν καὶ ἑτέρας τινὰς μάγους καὶ γόητας

Ἐξ. 7. 8. ἐργασαμένους τέρατα ποικίλα ἐξ ἐνεργείας δαιμόνων, ἐξ ὧν εἰσὶν Ἰαννῆς καὶ Ἰαμβρῆς οἱ ὅτι Μωϋσέως, τὰς ῥάβδους αὐτῶν εἰς ὄφεις, καὶ τὰ ὕδατα εἰς αἷμα μεταβαλόντες, καὶ βατράχων πλῆθος ἀνενεγκόντες ἐκ τῶν ὑδάτων, ὥστε πλησαι τὴν γῆν Αἰγύπτου. Σίμων δὲ ὁ ὅτι τῶν Ἀποστόλων μάγος, ὁπόσα εἰργάσατο σημεῖα φαντασιώδη; Ἀνδριάντας γὰρ ἐποίει περιπατεῖν, καὶ εἰς πῦρ κυλιόμενος οὐκ ἐκαίετο, εἰς ἀέρα ἵπτατο, καὶ ἐκ λίθων ἄρτους ἐποίει, ὅφις ἐγίνετο, καὶ εἰς ἕτερα ζῶα μετεμορφοῦτο, διπρόσωπος ἐγίνετο, εἰς χρυσὸν μετεβάλλετο, θύρας κεκλεισμένας λύοιγε, σιδηρᾶ δεσμὰ διέλυσεν, ἐν δείπνοις εἴδωλα παντοδαπῶν εἰδέων παρέστη, τὰ ἐν οἰκίᾳ σκεύη ὡς αὐτόματα φερόμενα πρὸς ὑπηρεσίαν βλέπεσθαι ἐποίει, τῶν φερόντων οὐκ ὁρωμένων, σκιὰς πολλὰς προσπαθεῖσθαι αὐτῷ παρεσκεύαζεν, ἅσπερ ψυχὰς τῶν τεθνεώτων εἶναι ἔφασκε, πολλοὺς δὲ γόητα αὐτὸν ἐλέγχειν πειρωμένους βαλλάξας πρὸς ἑαυτὸν, ἔπειτα προφάσει δίωξίας βᾶν θύσας, καὶ ἑστίασας αὐτοὺς, διαφόροις νόσοις καὶ δαίμοσιν ὑπέβαλε. ζητούμενος ποτὲ ὑπὸ τοῦ Καίσαρος, καὶ φοβηθεὶς ἀπέδρα τὴν ἑαυτοῦ μορφὴν ἑτέρᾳ μεθείς. Ὡσαύτως δὲ καὶ ὁ Γελλιανὸς, καὶ ὁ Ἀπολλώνιος, καὶ ὁ Ἀπολέϊος, οἱ μάγοι ὅτι Δομετιανοῦ τοῦ βασιλέως διάφορα φαντασίας εἰργάσαντο, ὧν μία ἐργασία ταυτὶ φέρεται ἐν τοῖς τῶν ἀρχαιοτέρων ἀνδρῶν διηγήμασι. Λοιμικῆς ποτὲ νόσου καταλαβούσης τὴν Ῥώμην, καὶ παντὸν σποράδην ἀπολλυμένων, προεῖπόντο οἱ μάγοι ὅτοι ὑπὸ τοῦ βασιλέως, καὶ τῶν μεγιστάνων αὐτοῦ βοηθῆσαι τῇ πόλει ἀπολλυμένῃ. Καὶ φησὶν ὁ Ἀπολέϊος· ἐγὼ τὴν ἐν τῷ ἕτερῳ μέρει τῆς πόλεως ἐνδημήσασαν λοιμικὴν φθορὰν καταπαύω ἐντὸς ιέ. ἡμερῶν. Εἶτα καὶ ὁ Ἀπολλώνιος· καὶ ἐγὼ τὴν ἐν τῷ ἄλλῳ ἕτερῳ μέρει ἐντὸς δέκα ἡμερῶν φησὶ καταπαύω. Ἀποκριθεὶς καὶ ὁ ἀκροθίνιος παρ' αὐτοὺς, καὶ πλεῖον ἐγγίζων τῷ διαβόλῳ διὰ τῆς ματαιότητος Γελλιανὸς, ἔφη· Ἐντὸς ιέ. ἡμερῶν πᾶσα ἡ πόλις ἀπόλλυται, μὴ βοηθήσασα τὴν ἐξ ὑμῶν βοήθειαν. ἐμοὶ τοίνυν τὸ ἐπιβάλλον ἕτερον μέρος τῆς πόλεως ἐντεῦθεν ἤδη παυέσθω τῆς λοιμικῆς φθορᾶς, καὶ δὴ ἐπαύθη. ὡς ἂν λοιπὸν βασκληθῶσι αὐτὸν ὑπὸ τοῦ βασιλέως,

καὶ

καὶ τῶν δύο ἄλλων μερῶν καταπαῦσαι τὸ πάχος τὴν νόσον. Ἀπολλωνίου δὲ μέχρι τοῦ νῦν σώζεσι τόποις ἐνεργοῦσι τὰ τελέσματα ἰσάμενα· τὰ μὲν εἰς ἀποδρομὴν ζώων τετραπόδων, καὶ πετεινῶν, βλάπτειν δυναμένων ἀθρώπους· τὰ δὲ εἰς ἐποχὴν ῥευμάτων ποταμίων ἀπάντως φερομένων· ἄλλα δέ τινα εἰς ἕτερά τινα ὅπη φθορᾶ, καὶ βλάβῃ ἀνθρώπων ὑπάρχοντα ἀποτρόπαια ἴσανται. Οὐ μόνον δὲ ἐν τῇ ζωῇ αὐτοῦ ταῦτα εἰργάσαντο δι' αὐτοῦ οἱ δαίμονες, ἀλλὰ καὶ μετὰ θάνατον αὐτοῦ θαμβοῦντες τῷ μνήματι αὐτοῦ, σημεῖά τινα ἀπετέλεσαν ἐξ ὀνόματος αὐτοῦ, πρὸς ἀπάτην τῶν ῥαδίως ὑποκλεπτομένων ἀθρώπων εἰς τὰ τοιαῦτα ὑπὸ τοῦ Διαβόλου. Τί ἄντις εἴποι περὶ τῶν καὶ Μανέθωνα μαγικῶν ἔργων; ὃς τοιοῦτος ἄκρος γέγονε τῇ μαγικῇ ἀπάτῃ, ὅτι ἀεὶ ἔσκοπτε τὸν Τυανέα Ἀπολλώνιον, ὡς μὴ ἀκριβῶς τὸν κατ' αὐτὸν σύνταγον ἐμπειρίαν ἐχούσης. Ἔδει γὰρ αὐτὸν φησὶ, καθάπερ ἐγὼ, λόγῳ μόνῳ ποιεῖν ἅπερ ἐβούλετο, καὶ μὴ τελέσμασί τισιν ὀπτέπειν τὰ παρ' αὐτοῦ πραττόμενα.

Τοῦ Ἱερεμίου. Κεφ. 23.

Οὐαὶ αὐτοῖς, ὅτι ἀπὸ καρδίας αὐτῶν λαλοῦσι, καὶ οὐκ ἀπὸ στόματος Κυρίου. καὶ, Οὐκ ἀπέστελλον αὐτοὺς Προφήτας, καὶ αὐτοὶ ἔτρεχον, καὶ οὐκ ἐλάλησα πρὸς αὐτοὺς, καὶ αὐτοὶ προεφήτευον, λέγει Κύριος.

Ἰεζεκιήλ. Κεφ. 14.

Τὰ δὲ λέγει Κύριος. Ὃς ἂν ἀπαλλοτριωθῇ ἀπ' ἐμοῦ, καὶ ἔλθῃ πρὸς τὸν ψευδοπροφήτου τοῦ ἐπερωτῆσαι αὐτὸν ἐν ἐμοὶ, Ἐγὼ Κύριος ἀποκριθήσομαι αὐτῷ, ἐν ᾧ ἐνέχεται ἐν αὐτῷ. καὶ στηριῶ τὸ πρόσωπόν μου ὅτι τὸν ἄνθρωπον ἐκεῖνον, καὶ θήσομαι αὐτὸν εἰς σημεῖον, καὶ εἰς ἀφανισμὸν, καὶ ἐξαρῶ αὐτὸν ἐκ μέσου τοῦ λαοῦ μου, καὶ γνώσεσθε ὅτι ἐγὼ Κύριος. Καὶ ὁ ψευδοπροφήτης ἐὰν πλανηθῇ καὶ λαλήσῃ λόγον, ἐγὼ Κύριος πεπλάνηκα αὐτὸν, καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπ' αὐτὸν, καὶ ἀφανιῶ αὐτὸν ἐκ μέσου τοῦ λαοῦ μου, καὶ λήψονται τὴν ἀδικίαν αὐτῶν, κατὰ τὸ ἀδίκημα τοῦ ἐπερωτήματος. Καὶ ἐὰν τοῖς προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν, καὶ τὸ καθόλου μὴ βλέπουσι.

Τοῦ Ἐκκλησιαστοῦ. Κεφ. 8.

Οὐκ ἔστιν ἄνθρωπος ἐξουσιάζων ἐν πνεύματι, καὶ γινώσκων τί τὸ ἐσόμενον. Καὶ εἶδον ἐγὼ σύμπαντα τὰ ποιήματα τοῦ Θεοῦ, ὅτι οὐ δυνήσεται ἄνθρωπος τοῦ δρᾶν τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν Ἥλιον. ὅσα ἂν μοχθήσῃ ἄνθρωπος τοῦ ζητῆσαι, καὶ οὐχ εὑρήσει. Καίγε ὅσα ἂν εἴπῃ ὁ σοφὸς τοῦ γνῶναι, οὐ δυνήσεται τοῦ δρᾶν. καὶ, Ὥσπερ οἶδα ἐν γαστρὶ τῆς κυοφορέσης, ὕτως οὐ γνωσθήσεται τὰ ποιήματα τοῦ Θεοῦ. Ἐκκλ. 11.

Ἐκ τῆς Σοφίας αὐτοῦ. Κεφ. 9.

Τίς γὰρ ἄνθρωπος γνώσεται βουλὴν Θεοῦ; ἢ τίς ἐνθυμηθήσεται τί θέλει ὁ Θεός; Λογισμοὶ γὰρ θνητῶν ἀνθρώπων δειλοὶ, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν. Καὶ μόλις εἰκάζομεν τὰ ἐπὶ γῆς, καὶ τὰ ἐν χερσὶν εὑρίσκομεν

κομψῷ πόνῳ, τὰ δὲ ἐν Οὐρανοῖς τίς ἐξιχνιάσει; Βελλω δέσε ὁ Θεὸς τίς ἔγνω, εἰμὴ σὺ ἔδωκας σοφίαν;

Τῦ Α'ποστόλου Πρὸς Ρωμαίους, Κεφ. ΙΙ.

Ω Βάθος πλέτε ϗ σοφίας ϗ γνώσεως Θεῦ. Ὠς ἀνεξερεύνητα τὰ κρίματα αὐτῦ, ϗ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτῦ. Τίς γὰρ ἔγνω νῦν Κυρίε; ἢ τίς σύμβυλος αὐτῦ ἐγένετο; Ε'κ τῆ Α'ποστολικῶν Διατάξεων.

Βασ. ά. 10. Ἰω. ΙΙ.

Ο'τε πᾶς προφητῶν ὅσιος, ὅτε πᾶς ὁ δαίμονας ἐκβάλλων ἅγιος. Καὶ γὰρ ὁ Βαλαὰμ μάντις προεφήτευσε δυσεβὴς ὤν, ϗ Σαὺλ, ϗ Καϊάφας. Πολλὰ δὲ ϗ ὁ διάβολος προλέγει, ϗ οἱ ἀμφ' αὐτὸν δαίμονες, ϗ ὅ ὠφελῆτο μίτεσιν αὐτοῖς δυσεβείας ασινθήρ. Δῆλον ὖν, ὅτι οἱ ἀσεβεῖς κὰν προφητεύσιν, ϗ δι' ἀποκαλύπτεσι διὰ τῆς προφητείας αὐτῶν ἀσέβειαν, ὐδὲ οἱ δαίμονας ἐκβάλλοντες, ἐκ τῆς τῶν ὠσχωρήσιως ὁσιωθήσονται, ἀλλὰ ϗ τὴν ἐχάτλιν ὑποσήσονται τιμωρίαν. Καὶ ὁ Βαλαὰμ τιμωρίαν ἔτισε, διαφθείρας τὸν Γσραὴλ ἐν τῷ Βεελφεγὼρ, ϗ Σαὺλ, ϗ Καϊάφας αὐτοφονῦται γεγόνασι. ϗ οἱ Σκεὺᾶ ἐπιχειρῦντες δαίμονας ἐλαύνειν, ὑπ' αὐτῶν ἐθαυματίαν διὰ ϗμόμενοι ἔφυγον ἀπρεπῶς. Θεοδωρήτε ἐκ τῆ Α'πόρρων.

Τοῦ Θεῦ συγχωρῦντος, ἐνεργῦσιν οἱ δαίμονες. Οὕτω γὰρ ϗ τὰ Φαραὼ οἱ φαρμακοὶ τὸ τῆς ῥάβδε, ϗ τὸ τὲ ποταμὲ, ϗ τὸ τῆ βατράχων εἰργάσαντο, ἐνδεδωκότος τῦ Θεῦ διὰ τὴν τὲ προσατῦντος αἰτίαν. Ε'πιτείνειν μὴν γὰρ αὐτὲς ἐπέλυσε τὰς θηλείας πληγὰς, λύειν δὲ αὐτὰς ὐκ ἴσχυον. ἃ γὰρ συνεχώρησεν ὁ Θεὸς, ἐκεῖνα μόνα εἰργάσαντο. Τῦτο ὖν ϗ ἐνταῦθα δεδήλωκε λέγων· Ε'ὰν ἀναστῇ ἐν σοὶ προφήτης, ἢ ἐνυπνιαζόμενος ἐνύπνιον, ϗ δῶσῃ σημεῖον, ἢ τέρας, ϗ ἔλθῃ τὸ σημεῖον, ἢ τὸ τέρας ὃ ἐλάλησε πρὸς σὲ, ϗ εἴπῃ· Πορευθῶμεν ϗ λατρεύσωμεν θεοῖς ἑτέροις, οἷς ὐκ οἴδατε, ὐκ εἰσακύσεθε τῦ προφήτε ἐκείνε, ἢ τῦ ἐνυπνιαζομένε τὸ ἐνύπνιον ἐκεῖνο, ὅτι πειράζει Κύριος ὁ Θεὸς ὑμῶν ὑμᾶς, εἰ ἀγαπᾶτε Κύριον τὸν Θεὸν ὑμῶν ἐξ ὅλης τῆς καρδίας ϗ τῆς ψυχῆς ὑμῶν. Τοιγάρτοι τῷ Θεῷ συγχωρῦντος, ὁ ψευδοπροφήτης τερατεύεται. Διδασκόμεθα δὲ ϗ μὴ προσέχειν σημείοις, ὅταν ὁ ταῦτα ὁρῶν ἐναντία τῆς δυσεβείας διδάσκει. Ε'κέλυσε δὲ ϗ τὸν ψευδοπροφήτην ὑποπτεύεσθαι, ϗ τὸν λαὸν τῆς πονηρᾶς δελείας ἀπαλλαγῆναι. Α'φιστεῖτε γάρ φησι τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

Κυρίλλε περὶ τῆς εἰ πνεύματι λατρείας.

Δεύτ. 13.

Νῦν δὲ ἐλαφρίας εἵνεκα τῦτο διωλισθήκασι τῆ παρ' Ε'λλησι τινὲς, ὡς οἴεσθαι τῆ καθ' ἡμᾶς θρησκείαν πρὸς μόνον δαίμοσι, ϗ μάντεσιν, ἀλλὰ ϗ τοῖς εἰς ἀέρα ῥίπτεσι πτηνοῖς. Τοιγάρτοι ϗ τὰς εἰς Ε'ῶτε, ϗ εἰς Ε'σπέρας, εἰς δεξιὸν ϗ εἰς ἀριστερὸν ἐνεργάζονται πήσεις, κὰν ἡ πράξασα πε φαίνοιτο κορώνη τὸ ἐς ὑποσήσαντες, καθάπερ τι τῆ ἄγαν ἀληθεσάτων ἐκδεχόμενοι, ὑπονοεῖσι χαίροντες. ἐπερυθριῶσι δὲ ὐδαμῶς οἱ δειλαιοι τῆς ὕτω σεπτῆς προφητείας τὸν δυνάμιν ἀνατίθεσθαι θρησκοῖς. σημεῖος δὲ αὐτοῖς ἐκπεποίηται λόγος· φαίνεσι γὰρ φησὶ δι' αὐτῶν οἱ Θεοί. Ἠμεῖς δὲ θεὸς ὐκ εἶναι φαμὲν τὰς ὑποσάτας Α'γγέλους. παρ' ὧν εἰς ἡμᾶς ἀγαθοίτε ϗ ἀξιάγασοι Προφῆται πεχειροτόνηνται, ϗ τῆ ἐσομένων Γνῶσαι. Οὐκεῦν δαιμονίοις ἀνατεθέον ὅτι πε τῆ ἐπομένων τὸν γνῶσιν, Θεῷ δὲ μᾶλλον αὐτὸν προσνεμεῖμεν ὡς ἐξαίρετον. Καὶ φυλακισμὸς ἔσαι λοιπὸν τὰ δι' ὀρνίθων μαντεύματα, ϗ διγνοίας ἐκ ἀσφαλῆς, ἔλεγχος δὲ σαφὴς ἡ ἐπὶ τόδε πίσις, ϗ αὐτὸς ὁ Νόμος φάσκων. Οὐκ ἔσαι ἐν Γσραὴλ μαντεύόμενος μαντείαν, ἢ οἰωνιζόμενος, φαρμακὸς, ἐπαοιδὸς, περατοσκόπος, ϗ ἐγγαστρίμυθος, ϗ ἐπερωτῶν τὸς νεκρύς. Α'λλ' ἐκ οἶδ' ὅπως εἰς τῦτο τινὲς ἐξαπατῶνται ἐκεῖνο λέγοντες, ὅτι Κύριον Σαβαὼθ αὐτὸν ὀνομάζεσι κατεπάδοντες τοῖς ἡρῴοσι, ὡς δῆθεν μὴ αἰσχρὸν εἶναι τὸ ὕπτιόδωμα ἀφαπτόδοντες. Ε'οίκασι δὲ ψυχρότητι ϗ ἀθρανεῖ πρὸς ἀπάτλιν, ϗ φρενοβλαβείας ὑποκρίσασθαι λογισμὸν, ϗ τῆ συναθλύντων αὐτοῖς δαιμονίων, ϗ τοῖς τῆς τερατεργίας αὐτῶν ὑπηρέτας, τὸν Θεῷ δὲ ϗ μόνον πρεπωδεσάτλιν, χαριζόμενοι δόξαν, κολακεύοντές τε, ϗ κολακεύόμενοι. Θεόμαχον γὰρ ϗ φιλοδοξώτατον τῆ δαιμόνων τὸ σῖφος. Χρὴ τοιγαρῦν μὴ ταῖς ἐκείνων συναποφέρεσθαι δυσβελίαις, ἀλλὰ ὑποφεύγειν ὑπὸ τοιῶτον πονηρῶν ἰαξῶν, ϗ τερατεργῶν. Σὺ δὲ ἔτι τῆ τὲ σώματος μορίων ἀλγεῖς, ϗ πεπίσθκας ἀληθῶς, ὅτι Κύριος Σαβαὼθ, ϗ αἱ τοιάδε κλήσεις, ἃς Θεῷ πῇ ϗ φύσιν ἡ Θεία προσνέμει Γραφὴ, λυτικαί σοι ἔσονται τὲ κακὲ, αὐτὸς ὑπὲρ ἑαυτὲ προσδεχόμενος, ἀναφώνει τὰς λέξεις. Α'μεινον γὰρ Θεῷ τὴν δόξαν ἀνατίθεσθαι, ϗ ὐχὶ τοῖς ἀναθάρτοις δαίμοσι. μέμνησο δὲ ϗ τὲ λέγοντος. Α'σθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τὲς Πρεσβυτέρες τῆς Ε'κκλησίας, ϗ προσδυξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ Ο'νόματι τῦ Κυρίε, ϗ ἡ δ' χὴ τῆς πίσεως σώσει τὸν κάμοντα, ϗ ἐγερεῖ αὐτὸν ὁ Κύριος, κὰν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ.

Ιακ. 5.

Τῦ Χρυσοσόμε ἐκ τῆ εἰς τὸν ρμέ. Ψαλμόν.

Μὴ πεποίθατε ὅτι ἄρχοντας· ὅπι καπάρατος γὰρ ὁ ἔχων τὴν ἐλπίδα ἐπ' ἄνθρωπον. Α'λλὰ νοσεῖ τὸ παιδίον, ϗ σὺ τὸν ἐπαοιδὸν μεσκοπεῖς, ϗ τὲς μεσέργες χαρακτῆρας τοῖς βαχήλοις τῆ νηπίων μεσιτίθης. κὰν ἐνύπνιόν σε ἐκπαράξῃ, προς τὸν ὀνειροκρίτλιν βέχεις. κὰν ὀπολέσῃς τι, προς τὸν μάντιν ὑπάγεις. κὰν φοβηθείης ἐχθρὸν, προσάτλιν τινὰ σῖα τῆ ἀνθρώπων προνοεῖς. ϗ ὅλος ἐφ' ἑκάσης χρείας ἐλέγχῃ, ῥήματι μόνον ὀνομάζων τὸν Θεὸν καταφυγὴν, ἔργῳ δὲ τὴν τῆ ματαίων βοήθειαν ὑπασώμενος. Ε'λπισον ὖν ὅτι Κύριον, ϗ αὐτός σε διατηρήσει σῶον ὑπὸ παντὸς κακῦ. Αὐτῷ γὰρ πρέπει δοξα εἰς τὲς αἰῶνας.

Δευτ. 18.

ΕΡΩΤΗΣΙΣ, ΚΑ'.

Διατί ὁ προγινώσκειν οἱ ἄνθρωποι τὴν ἡμέραν τῆς τελευτῆς αὐτῶν; καὶ εἰ ἄρα τελευτῶντες αἰσθάνονται τὰ τῆς μελλόντων αὐτοὺς ἀπολαύειν ἀγαθῶν, ἢ κακῶν;

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ προεγίνωσκον τοῦτο, πολλὰ ἄτοπα ἔμελλον συμβαίνειν. Ἕκαστος γὰρ ἔχων ἐχθρὸν, καὶ γινώσκων ὅτι ἤδη ἤγγικεν ἡ ἡμέρα τοῦ θανάτου αὐτοῦ, ἐπορεύετο ἂν καὶ ἐθανάτωσεν αὐτὸν, λογιζόμενος ὅτι εἴτε ὑπὸ Θεοῦ, εἴτε ὑπὸ ἀνθρώπων, ἴδοὺ τελευτῶ, καὶ τέως προσαποκτείνω τὸν ἐχθρόν μου. Πάλιν δὲ ὁ προγνοὺς ὑπὸ Θεοῦ καὶ νέος, ὅτι ἑκατὸν ἔτη μέλλει ζῆσαι, οὐκ ἔτι ἀρετῆς, ἢ δικαιοσύνης ἐφρόντιζεν, ἀλλὰ πᾶσαν αὐτοῦ τὴν ζωὴν ἐν ἀσωτείαις, καὶ ἁμαρτίαις συμφυρόμενος, πολλάκις πρὸ ὀλίγων ἡμερῶν τοῦ θανάτου αὐτοῦ μετανοεῖν ἤρχετο. Καὶ ποία λοιπὸν χάρις τῷ ἀνθρώπῳ, δουλεῦσαι τῷ Σατανᾷ ὅλον τὸν χρόνον τῆς ζωῆς αὐτοῦ, ὀλίγας δὲ ἡμέρας ἐξ ἀνάγκης δουλεῦσαι τῷ Θεῷ; Ὅτι δὲ τελευτῶν ἕκαστος αἰσθησίν τινα καὶ πληροφορίαν λαμβάνει τῶν μελλόντων ὑπὲρ ὧν ἔπραξε, φησὶν ὁ μέγας Διονύσιος περὶ τῶν ἱερῶς κεκοιμημένων. Ὅταν ὅτι τὸ πέρας ἔλθωσι τοῦ τοῦδε βίου, τότε εἰς ἀφθαρσίαν αὐτῶν ὁδὸν, ὡς ἐγγυτέραν ἤδη γεγονυῖαν, ἐμφανέστερον ὁρῶσι, καὶ τὰς δωρεὰς τῆς Θεαρχίας ὑμνοῦσι, καὶ θείας ἡδονῆς ἀναπίμπλανται, τότε ὅτι τοῖς χείροσι ξοπλοὶ ἐκ ἔτι δεδοικότες, ἀλλ' εὖ εἰδότες, ὅτι τὰ κτηθέντα καλὰ βεβαίως καὶ αἰωνίως ἕξουσιν. Οἱ δὲ μολυσμῶν ἀνάπλεοι, καὶ ἀνιαρῶν κηλίδων, εἴπερ ἱερᾶς τινὸς τετυχήκασι μυήσεως, αὐτοὶ δὲ παύτῳ ἐκ τοῦ ἰδίου νοὸς ὀλεθρίως ἀναρράπισαντες ὅτι τὰς φθοροποιοὺς ὑπομόλυναν ὅτι θυμίας, ὅταν ὅτι τὸ τέλος ἔρχωνται τῆς ἐνταῦθα ζωῆς, ἐκ ἔτι ὁμοίως αὐτοῖς διαπαφρόνητος φαίνεται τῶν λογίων ἡ θεσμοθεσία, τὰς ὀλυμπίας δὲ τῶν οἰκείων παθῶν ἡδονὰς ἑτέροις ὀφθαλμοῖς ὅπισκοπήσαντες, καὶ τοῦ ἱεροῦ ζηλοῦ, ἧς αὐσπάτως ἀποπεπτώκασι μακαρίσαντες, ἐλεεινῶς καὶ ἀβελήτως ἀποχίζονται τοῦ τοῦδε βίου, πρὸς μηδεμίαν ἱερὰν ἐλπίδα χειραγωγούμενοι διὰ τοῦ χειρίστην ζωήν. Τύπων δὲ ἀδένος γινομένων καὶ τὰς κοιμήσεις τῶν Ἱερῶν Ἀνδρῶν· αὐτὸς μὲν ὁ πρὸς τὸ πέρας ἐρχόμενος τῶν οἰκείων ἀγώνων, διὰ φροσύνης ἱερᾶς ἀποπληροῦται, καὶ σὺν ἡδονῇ πολλῇ πρὸς τοῦ ὁδὸν ἐπαίνει τῆς ἱερᾶς παλιγγενεσίας.

Τοῦ Θεολόγου ἐκ τοῦ εἰς τὸν Καισάριον τὸν ἀδελφόν.

Πείθομαι σοφῶν λόγοις, ὅτι ψυχὴ πᾶσα καλὴ καὶ θεοφιλὴς, ἐπειδὰν τοῦ σωδεδεμένου σώματος λυθεῖσα ἐνθενδε ἀπαλλαγῇ, διὰ τοῦ ἐν συναισθήσει καὶ θεωρίᾳ τοῦ μέλλοντος αὐτῷ καλοῦ γενομένη, ἅτε τοῦ ὑπερκοσμίου καθαρ-

καθαρθέντος, ἢ ὑποτεθέντος, ἢ ἐκ οἶδ' ὅ,τι καὶ λέγειν χρὴ, θαυμασίαν τινὰ ἡδονὴν ἕδεται, καὶ ἀγάλλεται, καὶ ἡδέως χωρεῖ πρὸς τὸν ἑαυτῆς Δεσπότην, ὥσπερ τι δεσμωτήριον χαλεπὸν τὸν ἐνταῦθα βίον ὑποφυγοῦσα, καὶ τὰς βαρυπειμόνας ὑποσεισαμένη πέδας, ὑφ' ὧν τὸ τῆς διανοίας πτερὸν καθείλκετο, καὶ οἱονεὶ τῇ φαντασίᾳ καρπᾶται τὴν ὑποκειμένην Μακαριότητα.

Τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Ματθαῖον.

Οὐκ οἴδατε πῶς ἐν τῇ τελευταίᾳ ἡμέρᾳ συντρέφει ψυχὴν ἁμαρτήματα; πῶς κάτωθεν τὴν καρδίαν ἀνακινεῖ; Ὅθεν καὶ δὴ μετὰ πολλῶν τότε ἐστὶν ἀκοῦσαι διηγημένων, καὶ ὄψεις φοβερὰς, ὧν ἀδὲ τὴν θεωρίαν φέρειν λοιπὸν ἰσχύοντες οἱ ἀπιόντες, καὶ τὴν κλίνην μὴ ταχέως ἄραντες τινάσσουσιν οἱ εἱμένοι, καὶ φοβερὸν ἐνορῶσι τοῖς παροῦσι, τῆς ψυχῆς σῶον ἑαυτῆς ἔσω ὠθοῦσης, καὶ ὀκνούσης ὑπερβαλλῶσα τοῦ σώματος, καὶ τὴν ὄψιν τῶν ἐρχομένων Ἀγγέλων μὴ φερούσης. Εἰ γὰρ ἀνθρώπους φοβερὸς ἐνορῶντες δεδιττόμεθα, Ἀγγέλους ἀπειληφόρους, καὶ δυνάμεις ὑποτόμους τῶν ἀδεκπεμπομένων βλέποντες, τί ὑ πεισόμεθα, ἐλκομένης ἡμῶν ὑπὸ τοῦ σώματος τῆς ψυχῆς, καὶ συρομένης, καὶ πολλὰ ὑποδυρομένης εἰκῆ καὶ μάτην;

Διαδόχου ἐκ τοῦ περὶ πνευματικῆς τελειότητος.

Ἐὰν ἐν μὴ πρεπόντως μετανοήσωμεν, καὶ περὶ τῶν ἁμαρτιῶν ἡμῶν πάντων ἐξομολογησώμεθα, δειλίαν τινὰ ἄδηλον ἐν τῷ καιρῷ τῆς ἐξόδου ἡμῶν διήσομεν ἐν ἑαυτοῖς. Χρὴ δὲ ἡμᾶς εὔχεσθαι τοὺς ἀγαπῶντας τὸν Κύριον, ἐκτὸς παντὸς δείσκεσθαι φόβου τότε. Ὁ γὰρ ἐν φόβῳ δειδιὼς τότε, δῆλον ὅτι πρὸς τὰς παραείας ἄρχοντας ἀπελεύσεται. Ἡ δὲ ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ ἀγαλλιωμένη ψυχὴ, ἐν τῇ ὥρᾳ τῆς ἀναλύσεως, ἐπαίρω τῶν σκοτεινῶν παύτων πράξεων, πρὸς τὰς Ἀγγέλους τῆς εἰρήνης ἐπείγεται μετὰ χαρᾶς καὶ φέρεται. Διόπερ καὶ ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου μετὰ τῶν Ἁγίων παύτων οἱ μετὰ τοιαύτης παῤῥησίας ἐξελθόντες τοῦ βίου ἁρπαγήσονται. Οἱ δὲ κἂν ἐν βραχεῖ δειλιῶντες ἐν τῷ καιρῷ τοῦ θανάτου, ἐν τῇ παύτων ἄλλων ἀνθρώπων καταληφθήσονται πληθύϊ, ὡς ὑπὸ κείσιν ὄντες καὶ δίκλω καὶ ὀξέπασιν, ἵνα διὰ τοῦ πυρὸς δοκιμασθέντες τῆς κρίσεως, τὰς κεχρεωστημένας αὐτοῖς καὶ τὰς πράξεις αὐτῶν ἀπολάβωσι κλήρους. Ἑκάστου γὰρ φησὶ τὸ ἔργον ὁποῖόν ἐστὶ τὸ πῦρ δοκιμάσει. Νείλου ἐκ τοῦ πρὸς Ἀγάθιον.

Πρὸς Κορ. α. 3.

Οὕτως φοβερὸν τὸ τοῦ θανάτου μυστήριον. Ὅτε τῶν ἀπαιτούντων τὴν ψυχὴν ἐπισασία φοβερὰ συνέχει, φείσασαν αὐτὴν πρὸς τὴν ἔξοδον, καὶ δείματα καὶ χρήματα φοβερά. Ὅτε καὶ οἱ δαίμονες ὀνειδίζοντες τὴν ἁμαρτίαν, πρὸς ἑαυτοὺς ἕλκοντες, εἰς ἀμειδῆ καὶ σκυθρωπὰ χωρία, ὡς πρὸ τῆς βασάνου τὴν κατάπληξιν ἱκανὴν εἶναι πρὸς κόλασιν. Ὅτε ἡ συνείδησις ὄπισθεν φέρουσα πρὸς τὰ πεπλημμεληκότα φέρει, τὴν πρὸς ἀξίαν τῶν ἡμαρτημάτων ἀναλύουσα κόλασιν. Ἔνθεν γὰρ ἑδρῶτι κεῖται τὸ σῶμα βάρυχρον, σημεῖα δακνύον

τῶ οὖδον καμάτω, καὶ τῆς ἀδήλω παραχῆς τὰ ὁρώμενα παρέχοντε τεκμήρια πρόδηλα. Ἐντεῦθεν καθάπερ οἱ τῆ πικρῶν γδυόμενοι φαρμάκων ἀποσυφῶσι τῆ ἀνδία τὸ πρόσωπον, τῆς ψυχῆς πρὸς ἰῶ ἔχειν ἐκ τῆ ὀρθοτόμων ἐκεῖ χαλεπῶν ἀχθεσιν τυπωσάσης τὸν χαρακτῆρα τῆς ὄψεως, καὶ τῶ χήματι τῶ φαινομένω τὴν ἑαυτῆς φανερωσάσης κεκρυμμένην σύνοιαν.

ΕΡΩΤΗΣΙΣ, ΚΒ'.

Ποῖα ἁμαρτήματα συγχωρεῦνται μετὰ θάνατον διὰ τῆ Λειτουργιῶν, καὶ Εὐχῶν, καὶ Ἐλεημοσυνῶν, τῆ γινομένων ὑπὲρ τῆ κοιμηθέντων;

ΑΠΟΚΡΙΣΙΣ.

ΚΑὶ πρὸ τούτων πάλιν ὁ μέγας Διονύσιος λέγει. Ὅτι εἰ μὲν ἀμελέτητα καὶ ἀτελῆ τυγχάνοντα τὰ ἁμαρτήματα τῶ τελευτήσαντος, προσλαμβάνεται τινὰ ὠφέλειαν ἐκ τῆ ὑπὲρ αὐτῶ ἐπιτελουμένων. Εἰ δὲ βαρεῖα καὶ χαλεπά εἰσιν, ἀπέκλεισεν ὁ Θεὸς κατ' αὐτῶ. Πλὴν δεῖ ἡμᾶς φροντίζειν τῆ ἰδίων ψυχῶν, καὶ μὴ ἐλπίζειν μετὰ θάνατον δι' ἀλλοτρίων προσφορῶν συγχωρεῖσθαι.

Διονυσίω Ἀρεοπαγίτε ἐκ τῶ περὶ τῆ ἱερῶς Κεκοιμημένων.

Πρὸς Κορ. β'. 5.

ΕΓὼ δὲ, ὅτι μὲν ἀμοιβαίαν ἔχει τὴν ἀποπλήρωσιν ἕκαστος, εὖ οἶδα, τοῖς λόγοις ἀκολουθῶν. Ἀπέκλεισε γὰρ φησὶν ὁ Κύριος κατ' αὐτῶ. Καὶ νομίσεται ἕκαστος τὰ διὰ τῶ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν. Ὅτι δὲ καὶ τῆ Δικαίων αἱ προσευχαὶ καὶ κατὰ τὸν τῦδε βίον, μήτιγε μετὰ θανάτον, εἰς τὰς ἀξίας ἱερῶν εὐχῶν ἐνεργῦσι μόνον, αἱ τῆ λογίων ἡμᾶς ἐκπαιδεύουσιν ἀληθεῖς παραδόσεις. Τί γὰρ πρὸς τῶ Σαμουὴλ

Βασ. α'. 12. 15.

ὁ Σαοὺλ ἀπώνατο; Τί δὲ τὸν τῶν Ἑβραίων λαὸν ὤνησεν ἡ προφητικὴ προσευχή; Καὶ γῦν ὁ Θεῖος Ἱεράρχης ἐκφαντορικὸς ἐστὶν, ὡς τὰ λόγια φησὶ, τῶν θεαρχικῶν δικαιωμάτων, Ἄγγελος γὰρ Κυρίω Παντοκράτορος Θεῦ ἐστὶ. Μεμάθηκεν ἐν ἐκ τῶν Θεοπαραδότων λογίων, ὅτι τοῖς ὁσίως βιῶσασιν ἡ φανωτάτη καὶ Θεία ζωὴ κατ' ἀξίαν ὑπὸ τῶν δικαιοπάτων καὶ θείων ζυγῶν αὐτιδίδοται, παρορώσης ἐξ ἀγαθότητος τῆς Θεαρχικῆς φιλανθρωπίας τὰς ἐγγινομένας αὐτοῖς ἐξ ἀνθρωπίνης ἀσθενείας πηλίδας. ἐπείπερ εὑδεῖς (ὡς τὰ λόγια φησὶ) καθαρὸς ἀπὸ ῥύπω. Ταῦτα μὲν ἐν ὁ Ἱεράρχης οἶδεν ἐπηγγελμένα πρὸς τῶν ἀληθινῶν λογίων, αἰτεῖ δὲ αὐτὰ γενέσθαι, καὶ δωρηθῆναι τοῖς ὁσίως βιώσασι τὰς ἱερὰς ἀντιδόσεις. Οὐ γὰρ ἂν ὁ Ἱεράρχης, ὁ τῆς Ἱεραρχικῆς καὶ Θεαρχικῆς δικαιώσεως Ὑποφήτης, ἐζήτει ποτὲ τὰ μὴ τῶ Θεῶ προσφιλέσθαι, καὶ πρὸς αὐτῶ δοθήσεσθαι θεοσδῶς ἐπηγγελμένα. διὸ τοῖς ἀνιέροις ἐκ ἐπιδέχεται ταῦτα κεκοιμημένοις, ἀ μόνον

ὅτι

ὅτι τῆς ὑποφητικῆς ἐν τάχω θεραπεύσεται πάξεως, καὶ τι τῆ Ἱεραρχικῶν αὐθαδῶς τολμήσει, μὴ πρὸς τὸ τελεπάρχω κεκινημένος, ἀλλ' ὅτι ἐν τῆ ἐναγῶν δυχῶν ἀποδέξεται, πρὸς τὸ δικαίω λογίου καὶ αὐτὸς ἐκ ἀπεικότως ἀκόων. Αἰτεῖτε, καὶ δ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε. Ἰάκ. 4.

Ἐκ τῆ Ἀποστολικῶν Διατάξεων.

ΕΠιτελείσθω δὲ ἅπαν τῆ κεκοιμημένων ἐν ψαλμοῖς καὶ προσευχαῖς, ἀφ' ὃν ἐν ἕσπερ ἡμέρας ἐγερθέντα, καὶ σύναπε εἰς ὑπόμνησιν τῆ ἐόντων, καὶ τῆ κεκοιμημένων, καὶ τεσσαρακοστὰ κατὰ τὸν παλαιὸν νόμον καὶ τύπον. (Μωσῆς γὰρ ὁ λαὸς ἅπως ἐπενύθησε.) καὶ ἐναύσια ὑπὲρ μνήμης αὐτῶν δίδοσθω ἐκ τῆ ὑπαρχόντων αὐτῶν πένησιν, εἰς ἀνάμνησιν αὐτῶν. Ταῦτα μὲν περὶ δικαίων λέγομεν. Περὶ δὲ ἀσεβῶν, ἐὰν τὰ τῶ Κόσμω δῶς πένησιν, ἀδὲν ὀνήσεις αὐτούς. ὦ γὰρ μισοῦντι ἐχθρὸν ἰῶ τὸ Θεῖον, δῆλον ὅτι καὶ μισήσαιτι. Οὐ γὰρ ἔστιν ἀδικία παρὰ τῶ Θεῶ. Δίκαιος γὰρ ὁ Κύριος, καὶ δικαιοσύνας ἠγάπησε. Καὶ ἰδὲ ἄνθρωπος, καὶ τὸ ἔργον αὐτῶ. Καὶ συνδήσεις ἕκαστον κατὰ τὰ ἔργα αὐτῶ. Τῦ Ἰεζεκιήλ. Κεφ. 18.

Πρὸς Ρωμ. 2. Ψαλμ. 10. 61.

ΔΙκαιοσύνη δικαίω ἐπ' αὐτὸν ἔσαι. καὶ ἀνομία ἀνόμω ἐπ' αὐτὸν ἔσαι. ἕκαστον κατὰ τὴν ὁδὸν ὑμῶν κρινῶ ὑμᾶς, οἶκος Ἰσραὴλ, λέγει Κύριος.

Τῦ Ἁγίω Ἐπιφανίω ἐκ τῆ Παναρίων.

ΕΠωφελεῖ δὲ καὶ ἡ περὶ τῶν κεκοιμημένων δίσεβῶν δίκη. εἰ τὰ μεγάλα αἰτιάματα μὴ ἀποκόπτει, ἀλλ' ὅμως, διὰ τὸ πολλάκις ὡς ἀνθρώπους ὄντας ἡμᾶς ἐσφάλθαι ἀκουσίως τε καὶ ἑκουσίως. καὶ, Οὐκ ἔστι μετάνοια μετὰ θάνατον. Οὔτε γὰρ Λάζαρος ἀπέρχεται πρὸς τὸν Πλούσιον ἐκεῖ, ὅτε ὁ Πλούσιος πρὸς τὸν Λάζαρον. Ἐσφράγισαι γὰρ τὰ ταμεῖα, καὶ πεπλήρωται ὁ χόρτος, καὶ ὁ ἀγὼν ἐτελέσθη, καὶ οἱ στέφανοι ἐδόθησαν, καὶ πάντα σαφῶς τετελείωται μετὰ τῶν σῶν ἐκδημίαν, καὶ οἱ ἠτιμασμένοι ἐν τῶ σκάμματι τὸν βίον ἐξεβλήθησαν.

Τῦ Χρυσοστόμω ἐκ τῶ κατὰ Ματθαῖον.

ΟΤ' δεὶς γὰρ ἐντεῦθεν μὴ ἀφαλυσάμενος τὰ ἁμαρτήματα τῶ, ἀπελθὼν ἐκεῖ, δυνήσεται τὰς ὀπὴ τούτοις δ' ἄλλως ἀφυγεῖν. Ἀλλ' ὥσπερ οἱ ἀπὸ τῶν δεσμωτηρίων τούτων μετὰ τῶν ἀλύσεων προσάγονται ὀπὴ τὸ δικαστήριον, ὅπω καὶ αἱ ψυχαὶ πᾶσαι, ὅταν ἐντεῦθεν ἀπέλθωσι, τὰς ποικίλας ἀφικείμεναι σειρὰς τῶν ἁμαρτημάτων, ὀπὴ τὸ φοβερὸν ἄγονται Βῆμα.

ΕΡΩΤΗΣΙΣ, ΚΓ.

Αἰθητὸς ἐστὶν ὁ Παράδεισος, ἢ νοητὸς, φθαρτὸς, ἢ ἄφθαρτος;

ΑΠΟΚΡΙΣΙΣ.

Περὶ τούτου ῥήσεις τῶν ἁγίων ἐξητήσωμεν. Οἱ μὲν πάντη φθαρτὸν εἶναι ἐνόησαν, οἱ δὲ ἄφθαρτον. Ἕτεροι μέσιόν τινα τάξιν ἔχοντα, μηδὲ ὁλοτελῶς φθαρτὸν, καὶ τὰς παρ' ἡμῖν κήπους τε καὶ καρπὰς, τὰς φθειρομένας καὶ σκωληκιῶντας, καὶ δυσωδοῦντας, μηδὲ μὲν πάλιν καὶ τὸ μέλλουσαν ἀφθαρσίαν καὶ ἀθανασίαν, ἄὐλόν τε, καὶ πνευματικὸν, ἐν πᾶσι νοῦ ὑπάρχοντα, ἀλλ' οἷος φησὶν ὑπῆρχεν ὁ ἄνθρωπος, μέσης φθορᾶς καὶ ἀφθαρσίας χωρώμενος, τοιοῦτος δὲ καὶ ἔστιν ὁ Παράδεισος. Καὶ τάχα καλῶς οἱ ἔπω φρονήσαντες εἴρηκεν. Εἰ γὰρ πάντη ὅμοιος τῶν λοιπῶν κήπων τυγχάνει, πῶς τῇ Ληξῇ ἀρχὴ ἀποδόσεως ὁ Χριστὸς ἀγαθῶν ὥσπερ τι ἐξαίρετον τοῦ ἐν τῷ Παραδείσῳ ἀγαγωγὴ ἐχαρίσατο; Πῶς δὲ καὶ ὁ Παῦλος τοῦ ἐν Παραδείσῳ ἁρπαγὴ ἀποθαυμάζων ἐκεῖ ἔφασκε μυσταγωγηθῆναι τὰ ἄῤῥητα ῥήματα; Εἰδὲ δὴ προσήκει, ὅτι περ τοῦτο κἀκεῖνο εἰπεῖν διενοήθησαν, ὅτι ὥσπερ δύο Ἱερουσαλὴμ ἡ Γραφὴ λέγει, Οὐράνιον καὶ Ἐπίγειον, δύο Κόσμους, ὁρώμενον καὶ νοούμενον, ἔτω καὶ δύο Παραδείσους, σὰρκικὸν, καὶ τὸν Λῃστοῦ, καὶ τὸν Ἅγιον Παῦλον, οὗ φησί πως εἶναι καὶ τὰς τῶν δικαίων ψυχὰς, καὶ ἕτερον Παράδεισον αἰσθητὸν, ἐξ οὗ καὶ τὰ Νειλῶα ταῦτα καὶ Εὐφρατήσια ὕδατα ἐκπορεύονται ὑπὸ Γῆς, οὗ τὰ Ἀδὰμ, καὶ ἡ Εὔα, καὶ ὁ ὄφις, καὶ τὰ φυτά. Εἰ γὰρ τὸν ὄφιν, καὶ τὰ φυτὰ, καὶ τὰ ὕδατα ἀλληγορικῶς ἐκλάβοιμεν, πάντως τε καὶ τὸν Ἀδὰμ, καὶ τοῦ Εὔαν ἀναῤῥέψομεν, μᾶλλον δὲ καὶ τοῦ Θείαν Γραφὴν ἀθετήσομεν. Ὅπερ ἦν ὑπῆρχεν ὁ Ἀδὰμ μέσης φθορᾶς καὶ ἀφθαρσίας, τοιοῦτος δὲ καὶ ἔστιν ὁ Παράδεισος.

Τῆ Ἁγίᾳ Ἐπιφανίᾳ ἐκ τῆ Ἀγκυρωτῆ.

Εἰ δὲ ἔστιν ὅπου γῆς Παράδεισος, καὶ μὴ ἀληθῆ τὰ ἐν τῇ Γενέσει γεγραμμένα, ἀλλὰ ἀλληγορεῖται, ὡδὲ ἀληθεύει τῆς ἀκολουθίας πάντα ἀλληγορούμενα. Ἐν ἀρχῇ γὰρ φησὶν ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανὸν, καὶ τοῦ Γῆν, καὶ πάντα, καὶ μὴ ἔστιν ἀλληγορούμενα, ἀλλ' ὁρώμενα, καὶ τὸν ἄνθρωπον ἐν ἀληθείᾳ ὄντα ποιήσας ὁ Θεὸς, ἔθηκεν αὐτὸν ἐν Παραδείσῳ τῆς ὑφῆς. Οὕτω τοίνυν καὶ ὁ Ἀδὰμ πεφυκὼς ἐν τῷ Παραδείσῳ τῆς ὑφῆς ἔφαγε ἀπὸ τοῦ ξύλου. Ὁ δὲ Παράδεισος φησὶν ἐν Ἐδὲμ καὶ Ἀνατολὰς, πηγὴ δὲ ἀνέβαινεν ἐξ Ἐδὲμ. καὶ μὴ εἴπῃ κατέβαινεν, ἵνα μὴ νομίσωμεν ἐν Οὐρανῷ εἶναι τοῦ Ἐδὲμ. Εἰ δὲ ἐν Οὐρανῷ οὖ, ἄνωθεν εἶχεν εἰπεῖν, ὅτι κατέρχεται, ἀλλὰ φησὶ, Ποταμὸς ἐκπορεύεται ἐξ Ἐδὲμ, καὶ ἀφορίζεται εἰς τέσσαρας ἀρχάς. ὄνομα τῇ ἑνί.

Πρῶ-

Πρῶτος Φεισὼν, ὁ ᾧδε μὲν τοῖς Ἰνδοῖς καὶ Αἰθίοψι Γάγγης καλούμενος, παρ' Ἕλλησι δὲ Ἰνδὸς προσαγορευόμενος, καὶ περικυκλῶν πᾶσαν τὴν γῆν Εὐϊλάτ, τοῦ γε μικρὰν Αἰθιοπίαν, καὶ τοῦ μεγάλου, τὰ μέρη τῆ Εὐϊλεῶν. Εὐϊλέας δὲ φησὶν εἶναι τὰς ἐσωτάτας Ἰνδίας. ὑπερᾷ δὲ τὴν μεγάλην Αἰθιοπίαν, καὶ πίπτει πρὸς Νότον, καὶ Δύσιν, ἔσωθεν ζώων Γαδείρων, εἰς τὸν μέγαν Ὠκεανὸν, τὸν κυκλοῦντα πᾶσαν τοῦ Γῆν.

Δεύτερος Γεὼν, ὁ καὶ Νεῖλος, καὶ τοῦ Αἰθιοπίαν κατερχόμενος, καὶ ὑπερῶν τοῦ μικρὰν Αἰθιοπίαν, Ἀνεβίτωτε, καὶ Βλέμμυαν, καὶ Ἀξονίτην, καὶ ὑπικλύζων τὰ μέρη Θηβαΐδος, καὶ Αἰγύπτε, εἰς ταύτην ἐκπίπτει τοῦ θάλασσαν. Εἰδέτις ἀπιστεῖ, ἀκουέτω τῶ Ἱερεμίᾳ λέγοντος· Ἵνα τί ὑμῖν, καὶ τῇ γῇ Αἰγύπτε, τῶ πιεῖν ὕδωρ Γεὼν τεθολωμένον; Ἱερ. 2.

Τρίτος δὲ Τίγρις, ὁ πορεύόμενος κατέναντι τῆ Ἀσσυρίων, καὶ ὑπερέμενον τὰ μέρη τῆς Ἀνατολῆς, καὶ δυόμενος ὑπὸ τοῦ γῆν, ἀνίσχει ὑπὸ τῆς Ἀρμενίας, καὶ μέσον Καρδιαίων, καὶ Ἀρμενίων, καὶ ἀναπηγάζει πάλιν, καὶ ὑπερέμνεται εἰς τοῦ τῆ Ἀσσυρίων γῆν.

Τέταρτος Εὐφράτης. ὁμοίως καὶ οὗτος δυόμενος ὑπὸ τοῦ γῆν, ἀνέρχεται ὑπὸ τῆς Ἀρμενίας, ὑπικλύζων τοῦ Περσίδα. Εἰ τοίνυν ἔστι Παράδεισος αἰσθητὸς ὅπου γῆς, πάντως ὡδὲ πηγὴ, ὡδὲ ποταμὸς, ὡδὲ τέσσαρες ἀρχαὶ, ὡδὲ συκῆ, ὡδὲ ξύλον. εἰ μὴ οὗ ξύλον, μὴ οὗ Εὔα ἡ ἐξ αὐτῆ φαγοῦσα. εἰ μὴ οὗ Εὔα, ὡδὲ Ἀδάμ. καὶ εἰ μὴ οὗ Ἀδὰμ, ὡδὲ ἄνθρωποι εἰσὶν, ἀλλὰ μῦθος λοιπὸν ἡ ἀλήθεια, καὶ ἀλληγορεῖται πάντα κατὰ τὸν θεοπλάπον Ὠριγενῆ.

Διονυσίᾳ Ἀλεξανδρέως ἐκ τῆ καὶ Ὠριγένους.

Ἐὰν δὲ τὸν Παράδεισον μὴ τῶ Κόσμῳ μέρος εἶναι λέγῃς, μηδὲ ἐν αὐτῷ γεγονέναι, μηδὲ σωῒ τοῖς ἄλλοις καὶ ἐξ αὐτῶ κατέπαυσεν ὁ Θεὸς γεγράφθαι, ἀλλ' ὑπερκόσμιον χωρίον, πῶς τὸν γήϊνον ἐκεῖ καὶ πλασὸν ἄνθρωπον εἰσήγαγε; πῶς δὲ ἐκεῖ ἔπλασεν ἔτι ἐκ τῆς γῆς πάντα ὁ Θεὸς τὰ θηρία τῶ ἀγρῶ, καὶ τὰ πετεινὰ τῶ Οὐρανῶ, ὅπως τὸν ἄνθρωπον καὶ τοῦ γυναῖκα; καὶ ἤγαγε αὐτὰ πρὸς αὐτὸν ἰδεῖν τί καλέσει αὐτά; πῶ ξύλον θανατηφόρον, καὶ ἀπατεῶν Ὄφις ἐκεῖ; Οὐκοῦν λογιζέσθω πᾶς, ὅτι ἐκ εἰς τὸν Οὐρανὸν, ἀλλ' ὄντως ἐν τῇ Γῇ πεφύτευται. ἔστι γὰρ τόπος Ἀνατολῆς, καὶ χωρίον ἐκλογῆς.

Ὀνόματα ποταμῶν, λδ'.

Φεισὼν, Γεὼν, Τίγρις, καὶ Εὐφράτης, Γορδαίης, Νύμφιος, Ταναΐς, Δάναβις, Μιλιὸς, Ἐρύμανθος, Ἀλόης, Ἀσωπὸς, Θερμώδων, Ἡράσιμος, Ῥῖος, Ἀξιὸς, Πύραμος, Βίος, Ἕρων, Σάγγαρις, Ἄφελος, Πλωτὸς, Τέρπης, Καλαύστρος, Σίμιος, Σκάμανδρος, Σχοῖνος, Ἀχελῶος, Ῥόδιος, Ῥόδαμος, Βήθρων, Σέργεις, Ἵστρος ὁ καὶ Δάναβις, Ῥόδανος, ὁμῶ μὲν ὄρη μεγάλα.

Ὄρη

Ο'ρη μεγάλα, ιβ'.

Λίβανος, Καύκασος, Ταῦρος, Α'τλας, Ο'λυμπος, Α'ραράτ, Θαβώριον, Σίναιον, Πυρναῖον, Κιθαιρώνιον, Θερμώνιον, Ε'ρμώνιον, τὸ καὶ Σιών.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΚΔ'.

Τί ἐστὶ τὸ, Κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Τὸ μὲν κατ' εἰκόνα, οὐκ οὐσίας ἀλλοίωσίς ἐστιν, ἀλλ' ἀρχῆς ὁμοιότης. Τὸ δὲ καθ' ὁμοίωσιν, τὸ ἥμερον εἶναι, καὶ ἡρῷον, καὶ εἰς δυνάμιν ἐξομοιοῦσθαι τῷ Θεῷ, καὶ τὸν τῆς ἀρετῆς λόγον. Γίνεσθε γὰρ φησὶν ὅμοιοι τοῦ Παιδός μου τοῦ ἐν Οὐρανοῖς.

Θεοδώρητος Ε'πισκόπου Κύρου.

Τινὲς μὲν τὸ ἀόρατον τῆς ψυχῆς εἰκόνα Θεοῦ κεκλήκασιν, ἀλλ' οὐκ ἀληθῶς εἰρήκασιν. Εἰ γὰρ εἰκὼν Θεοῦ τῆς ψυχῆς τὸ ἀόρατον, μᾶλλον ἂν εἰκόνες Θεοῦ κληθεῖεν Α'γγελοι, καὶ πᾶσαι αἱ ἀσώματοι, καὶ ἅγιαι φύσεις, ἅτε δὴ πασῶν σωμάτων ἀπηλλαγμέναι, καὶ ἀμιγεῖς τὸ ἀόρατον ἔχουσαι. Τινὲς δὲ οἱ πολλῆς δὴ θείας, λεγούσης ἐπακούσαι τῆς Γραφῆς. Α'νοιξον τοὺς ὀφθαλμούς σου, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἄκουσον. καὶ, Ω'σφράνθη Κύριος ὀσμὴν εὐωδίας. καὶ, Τὸ στόμα Κυρίου ἐλάλησε ταῦτα. καὶ, Ε'ν τῇ χειρὶ αὐτοῦ πάντα τὰ πέρατα τῆς γῆς. καὶ ὅσα τοιαῦτα κακῶς ἀκούοντες, καὶ νοοῦντες, ἐνόμισαν ἀνθρωπόμορφον εἶναι τὸ Θεῖον. Καὶ ἐ συνιᾶσιν οἱ ἅγαν ἠλίθιοι, ὅτι ὡς ἀνθρώποις δι' ἀνθρώπων διαλεγόμενος ὁ Θεὸς, τῇ τῶν ἀκουόντων ἀσθενείᾳ τοὺς λόγους συμμετρεῖ. Καὶ ἐπειδὴ δι' ὀφθαλμῶν ὁρῶμεν, τοῦ ὀπτικοῦ αὐτοῦ δυνάμιν ὀφθαλμὸν ὀνομάζει, καὶ τοῦ ἀκουστικοῦ ὦτα, καὶ πρόσαγμα τὸ στόμα. Α'λλ' ἔδει αὐτὸν, μὴ μόνον τῶν ἀκούειν τοὺς λόγους, ἀλλὰ καὶ τοὺς τὸ ἀόρατον τοῦ Θεοῦ διδασκάντων. Πῦ γὰρ φησὶν, πορεύθω ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου πῦ φύγω; ἐὰν ἀναβῶ εἰς τὸν Οὐρανὸν, σὺ ἐκεῖ εἶ. ἐὰν καταβῶ εἰς τὸν Α'δην, πάρει. καὶ, Οὐχὶ τὸν Οὐρανὸν, καὶ τὴν Γῆν ἐγὼ πληρῶ, λέγει Κύριος; καὶ, Πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Εἰ δὲ Πνεῦμα ὁ Θεὸς, ἁπλοῦς ἄρα καὶ ἀσχημάτιστος. Τὸ πάνυ, Κατ' εἰκόνα Θεοῦ, κατὰ τὸ ἀρχικὸν γνώθαι τὸν ἄνθρωπον ἴσμεν. Φησὶ γὰρ ὁ Θεός. Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ μετέραν, καὶ ὁμοίωσιν. καὶ ἐπάγει. Καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ Οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ πάσης τῆς Γῆς.

Ψαλ.44. Γεν. 8. Ησα. 1. Ψαλμ. 94.

Ψαλμ. 138.

Ιερ. 23. Ιω. 4.

Γεν. 1.

Ω'σπερ

Ω'σπερ γὰρ αὐτὸς τῶν ὅλων ἔχει τὴν δεσποτείαν, οὕτω δέδωκε καὶ τῷ ἀνθρώπῳ τῶν ἀλόγων ζώων τὴν ἐξουσίαν. Ε'τι μέντοι καὶ ἄλλα δύναιν εἰπεῖν, ὡς ἀρχετύπου μιμήματα. Δημιουργεῖ γὰρ καὶ ἄνθρωπος κατὰ μίμησιν τοῦ πεποιηκότος Θεοῦ καὶ οἰκίας, καὶ πόλεις, καὶ Οὐρανὸν, καὶ Η'λίου, καὶ Α'στέρων ἐκτυπώματα, καὶ ἀνθρώπων καὶ ζώων ἀλόγων εἰκόνας καὶ ἐνδάλματα. Α'λλ' ἄπειρον τὸ τῆς δημιουργίας διάφορον. Ο' μὲν γὰρ καὶ ἐξ ὄντων, καὶ ἐξ ὄντων δημιουργεῖ, καὶ δίχα πόνου, καὶ χρόνου· ὁ δὲ ἄνθρωπος καὶ πόνου, καὶ χρόνου, καὶ ὕλης δεῖται, καὶ σκέψεως εἰς τὴν τοῦ γινομένου κατασκευήν. Α'λλὰ καὶ ὅπου δημιουργῶν ὁ ἄνθρωπος μιμεῖται ἀμυγέστατα τὸν Ποιητὴν, ὡς εἰκὼν τὸ ἀρχέτυπον. Καὶ γὰρ ἡ εἰκὼν ἔχει τὰ τοῦ ἀρχετύπου ἐνδάλματα. ἀλλὰ τὸ μὲν τῶν μορίων εἶδος ἔχει· τὰς δὲ ἐνεργείας οὐκ ἔχει. ἐστέρηται γὰρ τῆς ψυχῆς, δι' ἧς κινεῖται τὸ σῶμα. Οὕτω πάλιν καὶ βασιλεύει ὁ ἄνθρωπος, καὶ κρίνει κατὰ μίμησιν τοῦ Θεοῦ. Α'λλ' ὁ μὲν Θεὸς ἀπαγόρευε, καὶ μαρτύρων δεῖται δικάζων. ὅπου γὰρ καὶ τὸν Καΐν κατέκρινεν, αὐτόπτης τοῦ μίσους γεγόμενος. Ο' δὲ ἄνθρωπος κρίνων, καὶ μαρτύρων δεῖται, καὶ κατηγόρων· ἀγνοεῖ γὰρ τὰ γινόμενα. Οὕτω καὶ Θεὸς ὁ ἄνθρωπος, καὶ εἰκὼν Θεοῦ προσηγορεύθη. Ε'γὼ γάρ φησιν εἶπα Θεοί ἐστε. καὶ τὰ ἑξῆς. Καὶ ὁ ἀνὴρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων. ἀλλ' ὁ μὲν φύσει Θεός ἐστιν, ὁ δὲ χάριτι. Οὕτω καὶ τὸ ἀπερίγραπτον ἀληθῶς μὲν καὶ κυρίως ἐστὶ τοῦ Θεοῦ· μιμεῖται δέπως αὐτὸ καὶ ὁ νοῦς ὁ ἀνθρώπινος. Ε'ν ἀκαρεῖ γὰρ περινοεῖ πᾶσαν τὴν Γῆν, πάτε Οὐρανία, καὶ τὰ ὑποχθόνια, ἀλλ' οὐ τῇ οὐσίᾳ, μόνον δὲ τῇ τοῦ νοῦ φαντασίᾳ. Ο' δέγε Θεὸς καὶ τῇ οὐσίᾳ, καὶ τῇ σοφίᾳ, καὶ τῇ δυνάμει, τὸ ἀπερίγραπτον ἔχει. Εὕρεσιν αὐτὸς καὶ ἑτέραν μίμησιν ἀπειβεστέραν ἐν τῇ τοῦ ἀνθρώπου ψυχῇ. ἔχει γὰρ καὶ αὐτὴ τὸ λογικὸν, καὶ τὸ ζωτικὸν ἐν ἑαυτῇ. καὶ φυτᾷ μὲν ὁ νοῦς τὸν λόγον, συμφορεῖσι δὲ τῷ λόγῳ πνεῦμα, οὐ θυμὸν καθάπερ ὁ λόγος, συμπαρομαρτῶν δὲ ἀεὶ τῷ λόγῳ καὶ συμφορῶν θυμῷ. Α'λλὰ ταῦτα μὲν ὡς ἐν εἰκόνι φορέσει τῷ ἀνθρώπῳ, ἃ δὴ χαίρειν καὶ ἀυπόστατος ὁ λόγος ἐστὶ καὶ τὸ πνεῦμα. Ε'πὶ δὲ τῆς Α'γίας Τριάδος ἓξ νοεῖν τὰς ὑποστάσεις, καὶ ἀσυγχύτως ἰδιωμάτων, καὶ καθ' ἑαυτὰς ὑφεστώσας. Γεγέννηται μὲν γὰρ πρὸ τῶν αἰώνων ἐκ τοῦ Παιδὸς ὁ Θεὸς Λόγος, ἀχρόνως δὲ ἐστὶ τοῦ Γεννήσαντος, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Παιδὸς μὲν ἐκπορεύεται, νοεῖται δὲ καὶ ἐν ἰδίᾳ ὑποστάσει· πάντα γὰρ φησὶν ἐνεργεῖ τὸ σὺν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιρῶν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. Ω'στε τὸ μὲν κατ' εἰκόνα ἐστὶ τὸ νοερὸν καὶ αὐτεξούσιον καὶ ἀρχικὸν, τὸ δὲ καθ' ὁμοίωσιν ἡ τῆς ἀρετῆς καὶ τὸ δυνατὸν ὁμοίωσις.

Ψαλ.81. Πρὸς Κορ. α. 11.

Πρὸς Κορ. α. 12.

Νεμεσίου Ε'πισκόπου ἐκ τοῦ περὶ φύσεως ἀνθρώπου.

Τὸν ἄνθρωπον ἴσμεν ἐξ ἀρχῆς ὅτε θνητὸν ὁμολογουμένως, ὅτε ἀθάνατον γεγονέναι, ἀλλ' ἐν μεθορίοις ἑκατέρας φύσεως. Ι'να μὲν τοῖς σωματικοῖς ἀκολουθήσῃ πάθεσι, θνητὸς καὶ ταῖς σωματικαῖς μεταβολαῖς· ἂν

δὲ

δὲ τὰ τῆς ψυχῆς προτιμήσῃ καλὰ, τῆς ἀθανασίας ἀξιωθῇ. Εἰ γὰρ ἐξ ἀρχῆς αὐτὸν θνητὸν ἐποίησεν ὁ Θεὸς, ἐκ αὖ ἁμαρτόντα κατεδίκασε θανάτῳ· τῷ γὰρ θνητῷ θνητότητα ἐδεὶς καταδικάζει. Εἰδ' αὖ πάλιν ἀθάνατον, ἐδ' αὖ ζοφῆς σωματικῆς δεῖται, ἐδ' αὖ αὐτὸν ζοφῆς ἐνδεᾶ κατεσκεύασεν. ἐδεὶ γὰρ τῷ ἀθανάτῳ ζοφῆς σωματικῆς δεῖται. ἐδ' αὖ ὅτῳ ῥαδίως μετενόησε, καὶ τὸν ῥυόμενον ἀθάνατον, θνητὸν δ' ἐθέως ἐποίησεν. Οὐδὲ γὰρ ὅτι τῷ ἁμαρτησαίτων Ἀγγέλων τοῦτο φαίνεται πεποιηκὼς, ἀλλὰ καὶ τῷ ἐξ ἀρχῆς φύσιν ἀθάνατοι διέμειναν, ἄλλῳ τῷ ἡμαρτημένων ἀπεκδεχόμενοι δίκην, καὶ ὐ τὸν θάνατον. Βέλτιον ἦν, ἢ τοῦτον τὸν ζόφον νοεῖν τὸ προκείμενον, ἢ ὅτι θνητὸς μὲν κατεσκεύάθη, δυνάμενος δὲ ἐκ προκοπῆς τελειούμενος ἀθάνατος γενέσθαι, τετέσι δυνάμει ἀθάνατος. Καὶ ἐπειδὴ ὐ συνέφερεν αὐτῷ πρὸ τῆς τελειώσεως γνῶναι τὴν φύσιν αὐτοῦ, ἀπηγόρευσε μὴ γεύσασθαι τοῦ ξύλου τῆς γνώσεως. Ἦσαν γὰρ, μᾶλλον δὲ εἰσὶν ἔτι καὶ νῦν δυνάμεις ἐν τοῖς φυτοῖς μέργισαι. τότε δὲ ὡς ἐν ἀρχῇ τῆς Κοσμοποιίας ἀκραιφνεῖς ὔσαι, ἰσχυροτάτην εἶχον τὴν ἐνέργειαν. Ἦν ἂν ἢ ὑπόγευσις τινὸς καρποῦ, γνῶσιν ἐμποιοῦσα τῆς οἰκείας φύσεως. Οὐκ ἐβούλετο δὲ αὐτὸν ὁ Θεὸς πρὸ τῆς τελειώσεως γνῶναι τὴν οἰκείαν φύσιν, ἵνα μὴ γνοὺς ἑαυτὸν ἐνδεᾶ πολλῶν ὄντα, τῆς σωματικῆς ὑπομεληθεὶς χρείας, καταλείπῃ τὴν τῆς ψυχῆς πρόνοιαν. καὶ διὰ ταύτην τὴν αἰτίαν ἐκώλυσεν αὐτὸν μεταλαβεῖν τοῦ καρποῦ τῆς γνώσεως. Παρακούσας δὲ, καὶ γνοὺς ἑαυτὸν, τῆς μὲν τελειώσεως ἐξέπεσε, τῆς δὲ σωματικῆς χρείας ἐγένετο ἐνδεής. σκέπασμα ἂν δ' ἐθέως ἐζήτησε. φησὶ γὰρ ἡ Γραφή. Ἔγνω ὅτι γυμνός ἐσί. Πρότερον δὲ ἐν ἐκστάσει αὐτὸν ἐποίησε, καὶ ἐν ἀγνωσίᾳ ἑαυτοῦ. ἐκπεσὼν ἂν τῆς τελειότητος, ἐξέπεσεν ὁμοίως καὶ τῆς ἀθανασίας, ἰῷ ὕστερον ἐπολήψεται χάριτι τοῦ Ποιήσαντος αὐτόν. Μετὰ δὲ τὴν ἔκπτωσιν, καὶ ἡ τῶν κρεῶν ἀπόλαυσις αὐτῷ συνεχωρήθη. Πρότερον μὲν γὰρ τοῖς ἀπὸ τῆς γῆς μόνοις ἐκέλευσεν αὐτὸν ἀρκεῖσθαι. Ταῦτα γὰρ ἰῷ ἐν τῷ Παραδείσῳ. Ἀπεγνωσμένης δὲ τῆς τελειώσεως, τῇ συγκαταβάσει λοιπὸν συνεχωρήθη τὰ τῆς ἀπολαύσεως. Χρεία γὰρ ἀνθρώπων ζοφῆς μὲν καὶ ποτὲ διὰ τὰς κενώσεις, καὶ διαφορήσεις. Ἐπειδὴ δὲ ἐκ σώματος ἐσὶν ὁ ἄνθρωπος, πᾶν δὲ σῶμα ἐκ τῶν τεσσάρων στοιχείων συνέστηκεν, ἀνάγκη τὰ τοῖς πάθεσι ὑπίπτειν αὐτὸν, οἷς καὶ τὰ στοιχεῖα, τομῇ, καὶ μεταβολῇ, καὶ ῥύσει, ἅπερ ἐσὶ μόνα τὰ σώματος. Μεταβολῇ μὲν τῇ κατὰ ποιότητα, ῥύσει δὲ τῇ κατὰ κένωσιν. Κινεῖται γὰρ ἀεὶ τὸ ζῶον, διά τε τῆς προσλήψεως πόρων, καὶ τῆς ἀπήλων, περὶ ὧν ὕστερον ἐροῦμεν. Ἀνάγκη τοίνυν, ἢ τοῖς κενουμένοις ἀντεισφέρεσθαι τὰ ἴσα, ἢ διαλύεσθαι τὸ ζῶον ἐνδείᾳ τῆς ὑπεισόντων. Ξηρῶν δὲ ὄντων καὶ ὑγρῶν καὶ πνεύματος τῶν κενουμένων, ἀνάγκη καὶ ξηρᾶς, καὶ ὑγρᾶς ζοφῆς δεῖσθαι τὸ ζῶον καὶ πνεύματος. Ἔσι δὲ ἡμῖν ἡ ζοφὴ, καὶ τὸ ποτὸν διὰ τῶν στοιχείων, ἐξ ὧν συνετέθημεν. Ἕκαστον γὰρ τῷ μὲν οἰκείῳ καὶ ὁμοίῳ χέφεται, τῷ δὲ ἐναντίῳ θεραπεύεται. Τῶν δὲ

στοιχείων τὰ μὲν προσεχῶς ἅμα, τὰ δὲ καὶ διὰ μέσων τινῶν προσφερόμενα. ὡς ὕδωρ. ποτὲ μὲν καθ' ἑαυτὸ, ποτὲ δὲ διὰ μέσων τῶν οἴνου καὶ τοῦ ἐλαίου, καὶ πάντων τῶν καλυμένων ὑγρῶν καρπῶν. ὐδὲν γὰρ ἕτερον ἐσὶν οἶνος, ἢ ὕδωρ ὑπ' ἀμπέλου πεποιημένον. Ὁμοίως δὲ, καὶ πυρὸς μεταλαμβάνομεν, ποτὲ μὲν προσεχῶς ὑπ' αὐτοῦ θαλπόμενοι, ποτὲ δὲ διὰ μέσων ὧν ἐσθίομεν, ἢ πίνομεν. ἐν πᾶσι γὰρ, ἢ πλεῖον, ἢ ἔλαττον μοῖρα τοῦ πυρὸς ἐγκατέσπαρται. Τὸν αὐτὸν τρόπον καὶ τὸν ἀέρος προσεχῶς μὲν ἀναπνέοντες, καὶ ἐμπεχυμένον ἡμῖν ἔχοντες, καὶ ἐν τῷ ἐσθίειν καὶ πίνειν αὐτὸν ἕλκοντες, διὰ μέσων δὲ τῶν ἄλλων πάντων, ὧν προσφέρομεν, τῷ δὲ γῷ, προσεχῶς μὲν ἡμεῖς ὐδαμῶς, διὰ μέσων δέ τινων. Γῆ μὲν γὰρ σῖτος γίνεται, σῖτον δὲ ἡμεῖς ἐσθίομεν. Κόρυθες μὲν γὰρ, καὶ θῆρες καὶ πέρδικες πολλάκις τῷ γῷ σιτοῦνται, ἄνθρωπος δὲ, διὰ μέσων τοῦ σπέρματος, καὶ τῶν ἀκροδρύων, καὶ τῶν σαρκῶν. Ἐπειδὴ δὲ ὐ μόνον δι' ὠφέλειαν, ἀλλὰ καὶ δι' αἴσθησίαν τῷ μᾶλλον τῷ ἀφῇ, ἢ μάλιστα πλεονεκτεῖ πάντων τῶν ζώων ὁ ἄνθρωπος, ὐ θεμέθηκεν ἡμῖν ὅτε δέρμα παχὺ, ὡς τοῖς βυσὶ, καὶ τοῖς ἄλλοις ζώοις τοῖς παχυδέρμοις, ὅτε ῥίχας μεγάλας καὶ πυκνὰς, ὡς ταῖς αἰξὶ, καὶ τοῖς προβάτοις, καὶ λαγωοῖς, ὅτε φολίδας, ὡς τοῖς ὄφεσι καὶ τοῖς ἰχθύσι, ὅτε ὄσρακα, ὡς ταῖς χελώναις, καὶ τοῖς ὀσρέοις, ὅτε ἀπαλόσρακα, ὡς τοῖς καράβοις, ὅτε πτέρυγας, ὡς τοῖς ὀρνέοις, ἀναγκαίως ἐθῆπας ἐδείθημεν, τῆς ἀναπληρώσης ἐν ἡμῖν ὅπερ ἡ φύσις τοῖς ἄλλοις ἐδωρήσατο. Διὰ ταῦτα μὲν ὖν, ζοφῆς καὶ αἰθῆπος δεόμεθα, οἰκήσεώς τε ὐχ ἧκισα δὲ καὶ διὰ τὰς τῶν θηρίων ὀποφυγάς. Διὰ δὲ τὰς δυσκρασίας τῶν ποιοτήτων, καὶ τὴν λύσιν τῆς συνεχείας τοῦ σώματος, ἰαζῶν καὶ θεραπείας ἐν χρήσει κατέσημεν. Τῆς δὲ μεταβολῆς καὶ ποιότητος γινομένης, ἀνάγκη, διὰ τῆς αὐτικειμένης ποιότητος, εἰς τὸ σύμμετρον ἀγαγεῖν τὴν κατάσασιν τοῦ σώματος. Οὐ γὰρ ὡς οἴονταί τινες, τὸ θερμανθὲν σῶμα καταψύξαι προκειται τοῖς ἰαζοῖς, ἀλλ' εἰς τὸ εὔκρατον μεταποιῆσαι. Εἰ γὰρ καταψύξειαν, εἰς τὴν ἐναντίαν μεθίσαται νόσον ἡ διάθεσις. Χρεία τοίνυν ἀνθρώπῳ ζοφῆς μὲν, ἢ ποτὲ, διὰ τὰς κενώσεις, καὶ τὰς διαφορήσεις· ἐδῆπος δὲ, διὰ τὸ μηδαμοῦ ἔχειν ἐκ φύσεως ἰχυρὰν περιβολήν· οἴκου δὲ, διὰ τὰς δυσκρασίας τοῦ περιέχοντος ἀέρος, καὶ διὰ τὰ θηρία· διὰ δὲ τὰς δυσκρασίας καὶ μεταβολὰς τῶν ποιοτήτων, καὶ τὴν αἴθησιν τὴν δοθεῖσαν τῷ σώματι, ἰαζῶν καὶ θεραπείας ἐν χρείᾳ κατέσημεν. Εἰ γὰρ μὴ προσῆν ἡμῖν αἴθησις, ὅτ' ἂν ἠλγοῦμεν, ὅτ' ἂν θεραπείας ἐδεήθημεν καὶ μὴ ἀλγοῦντες, καὶ διεφθαρημένον ἂν ἐν ἀγνωσίᾳ τοῦ κακοῦ, τὸ πάθος ὐκ ἰώμενοι. Ἐπεὶ τόγε ἀρχαῖον ὐδεὶ τούτων ἐδεῖτο, ὐδέτι τῶν ἀλόγων ζώων ἐτόλμα καταβλάπτειν τὸν ἄνθρωπον, ἀλλ' ἦν αὐτῷ πάντα, καὶ ὑποταγμένα ἕως ἐμάτει τῷ οἰκείων παθῶν, καὶ τῆς ἐν αὐτῷ ἀλογίας· μὴ κρατῶν δὲ τῶν οἰκείων παθῶν, ἀλλὰ κρατούμενος ὑπὸ τῶν παθῶν, ἐκρατήθη καὶ διὰ τῶν ἔξωθεν ἀλόγων θηρίων. Συνεισῆλθε γὰρ τῇ

τῇ ἁμαρτίᾳ καὶ ἡ θεὰ τάτων βλάβη. Ὅτι δὲ τᾶτο ἐστὶν ἀληθὲς, διδάσκουσιν οἱ ἄνισον μετελθόντες βίον, καὶ θεὰ τῆ τοιάτων μηδὲν βλαβέντες, ὡς ὁ Δανιὴλ ἀπὸ τῆ λεόντων, καὶ Παῦλος ἀπὸ τῆς ἐχίδνης. Τίς ἂν ἀξίως θαυμάσειε τὴν διάνοιαν τᾶ ζώα τάτα, τᾶ σωιζόντος ἐν ἑαυτῷ τὰ θνητὰ τοῖς ἀθανάτοις, καὶ τὰ λογικὰ τοῖς ἀλόγοις σωιάπτοντος; τᾶ φέροντος ἐν τῇ καθ' ἑαυτὸν φύσει τῆς πάσης κτίσεως τὴν εἰκόνα; διὸ καὶ μικρὸς κόσμος εἴρηται. Τοσαύτης δὲ τιμῆς θεὰ Θεᾶ καὶ προνοίας ἠξίωται, ὅτι δι' αὐτὸν καὶ τὰ νῦν καὶ τὰ μέλλοντα, καὶ Θεὸς ἄνθρωπος γέγονε, Θεᾶ τέκνον ἐστὶν, Οὐρανῶν βασιλεύει, κατ' εἰκόνα Θεᾶ καὶ ὁμοίωσιν γεγονώς. Χειρῶ σωιζάγει, πάσης ἀρχῆς καὶ ἐξουσίας προκάθηται. Τίς δ' ἂν εἰπεῖν αὐτᾶ δύναται τὰ πλεονεκτήματα; πέλαγη γὰρ διαβαίνει, Οὐρανὸν ἐμβατεύει τῇ θεωρίᾳ, ἄστρων κινήσεις καὶ διαστήματα, καὶ μέτρα καταμοεῖ, γλῶ καρπᾶται καὶ θάλασσαν, θηρίων καὶ κητῶν καταφρονεῖ, πᾶσαν ὑπερτίμως καὶ τέχνῃ κατορθοῖ, ὑπόζυγον διὰ τῆ χαμμάτων οἷς βάλεται προσομιλεῖ, μηδὲν ὑπὸ τᾶ σώματος κωλυόμενος, προφητεύει τὰ μέλλοντα, πάντων ἄρχει, πάντων κρατεῖ, πάντων ὑπολαύει, ὑπὸ πάντων δορυφορεῖται, ὑπὸ Ἀγγέλων φρυρεῖται, Θεῷ διαλέγεται, δαίμοσιν ὑπάττει, τὴν τῆ ὄντων φύσιν ἐξερευνᾷ, Θεὸν προσεργάζεται, οἶκος καὶ ναὸς γίνεται Θεᾶ, καὶ κληρονόμος τῆς αὐτᾶ Βασιλείας. αὐτῷ ἡ δόξα εἰς τὲς αἰῶνας τῆ αἰώνων.

Δαν. 6. Πράξ. 28.

ΕΡΩΤΗΣΙΣ, ΚΕ'.

Πῶς νοητέον τὸ, Γίδοντες οἱ υἱοὶ τᾶ Θεᾶ τὰς θυγατέρας τῆ ἀνθρώπων;

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ Θεσσάλος Ἑνὼς ὑπὸ τᾶ Σὴθ γεννηθεὶς, ἤλπισε φησὶν ὑπακοεῖσθαι τῷ ὀνόματι Κυρίᾳ τᾶ Θεᾶ, τατέστι, λέγεσθαι παρ' ἑτέρων Θεός. Ἐπειδὴ γὰρ λῷ πάσῃ ἀρετῇ κεκοσμημένος, Θεὸν ὠνόμαζον αὐτὸν τὰ χαπτᾶ τῆ ὑπεικεστέρων τινὲς, τῇ ὑπερτάτῃ τιμῇ στεφανᾶν ἠρημένοι. Θαυμάζοντες γὰρ, ὡς ἔφλι, τῆς ἐνάσης αὐτῷ δικαιοσύνης τὸ μέγεθος, Θεὸν ὠνόμαζον δι' ὃς, πρέπειν ὅτι μάλιστά γε τῇ τᾶ ἀνδρὸς ἀρετῇ τλὺ ἐπωνυμίαν ἠγέμονοι. Τάτᾳ τοίνυν τᾶ ὑπάκλλω Θεᾶ υἱοὶ, τὰς τῆ ἀνθρώπων θυγατέρας, τατέστι τῆ ὑπὸ Κάϊν, ἔλαβον ἑαυτοῖς εἰς γυναῖκας, ὃ λῷ αὐτοῖς πρώλω κεκωλυμένον. Ὁ δὲ Σύμμαχος αὐτὶ τᾶ, υἱοὶ τᾶ Θεᾶ, υἱοὶ τῆ Θεῶν, καὶ τῆ διαστρεφόντων ἐκδέδωκεν. Οἶδαμεν δὲ, ὅτι τῆ αὐτιγράφων τινὰ πρεμέχει σαφῶς· Γίδοντες οἱ Ἄγγελοι τᾶ Θεᾶ τὰς θυγατέρας τῆ ἀνθρώπων. Εἶπα πρεμπέπτωί τινες τῆς φιλοσαρκίας τὰ ἐγκλήματα πρὸς τοῖς ὠλιθηκόσιν Ἀγγέλοις. Καὶ πῶς ἂν εἴη μωρίας ἐγγὺς τῆ σαρκικῶν ἐρᾶσθαι λέγειν τὰ σαρκὸς ἀνωτέρω, καὶ ἐξεπικόστα Πνεύματα; ποίαν εἰς τᾶτο κίνησιν φυσικλῶ ἔχοντα, ἢ ποίᾳ νόμῳ σαρ-

Γεν. 6.

σαρκικᾶ κατερεθίζοντος; Οὐκοῦν ἀναγνωσώμεθα μᾶλλον· Γίδοντες οἱ υἱοὶ τᾶ Θεᾶ τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ μὴ τῶν Ἀγγέλων φύσιν ἀτιμάσωμεν.

ΕΡΩΤΗΣΙΣ, ΚΣ'.

Εἰ πάντα ὅσα ἐποίησεν ὁ Θεὸς καλὰ λίαν, πῶς μὴ πάντα πρὸ καθαρῶν, καὶ ἀκαθάρτων ζώων φησί; Γεν. 1.

ΑΠΟΚΡΙΣΙΣ.

Πάντα μὲν ὁ Θεὸς καλὰ ἐποίησεν. ὑπὸ δὲ τῆς τῆ ἀνθρώπων πλεονεξίας, καὶ ἀκρασίας πρόσληψίν τινα, εἰς ὃ μὴ γέγονεν, ἃ καλὰ τυγχάνει. Αὐτίκα γᾶν πολλοὶ ὕστερον τῆ ἀνθρώπων ἐθῶν τὰ πάντα ἀδιαφόρως ἐπιλαβομένων, (καὶ τλὺ ὑπὸ τὸ βλάπτον ὑπεθυμίαν αὐξησάντων,) ἀναγκαίως ἡ τᾶ Θεᾶ πρόνοια τλὺ τῆ καθαρῶν, καὶ ἀκαθάρτων διάκρισιν εἰσηγήσατο. Τὰ γὰρ σύια τῆ ζώων, χερσαίων τε, καὶ ἐνύδρων, πλείονα τὸν ἀριθμὸν ἔχοντα, πάντη ἀπηγόρευσε. Πάντα δὲν καλὰ ἐν καιρῷ αὐτῶν, καὶ εἴ τινα χρείαν χρησιμεύοντα τῆ ἀνθρώπῳ. ὡς καὶ ὑπὸ ἰοβόλων ἕρπετῶν φάρμακα θεραπείας κατασκευάζεσθαι. φησὶ γὰρ ὁ Σειράχ. Πάντα γὰρ ἐν καιρῷ δοκιμασθήσεται. καὶ, Ὁ Κύριος ἔκτισεν ἐκ τῆς γῆς φάρμακα, καὶ ἀνὴρ φρόνιμος οὐ προσοχθιεῖ αὐτοῖς. Εκκλ. 39. Εκκλ. 38.

Τᾶ Ἁγίᾳ Βασιλείᾳ ἐν τῷ Κανόνων.

Τοῖς δὲ κομψοῖς ἐγκρατευταῖς, πρὸς τὸ σεμνὸν αὐτῶν πρόβλημα, διατί καὶ ἡμεῖς οὐχὶ πάντα ἐσθίομεν; ἐκεῖνο λεγέσθω, ὅτι καὶ τὰ προπάτορα ἡμῶν βδελυσσόμεθα. Κατὰ γὰρ τλὺ ἀξίαν λάχανα χόρτα ἡμῖν ἐστὶ τὰ κρέα. Κατὰ δὲ τλὺ τῆ συμφερόντων διάκρισιν, ὡς καὶ ἐν λαχάνοις τὸ βλαβερὸν τᾶ καθαροῦ χωρίζομεν. Οὕτω κᾶν τοῖς κρέασι τὸ χρήσιμον τὸ βλαβερὸν διακρίνομεν, ἐπεὶ λάχανόν ἐστι καὶ τὸ κώνειον, ὥσπερ κρέας ἐστὶ καὶ τὸ γύπειον, ἀλλ' ὅμως ὅτε ὑοσκύαμον φάγοι αἴτις νᾶν ἔχων, ὅτε κυνὸς ἅψαιτο, μὴ μεγάλης ἀνάγκης καταπειγούσης, ὡς ὄγε φαγὼν οὐκ ἰώμενος.

ΕΡΩΤΗΣΙΣ, ΚΖ'.

Γεν. 15. Διατί δὲ τυθλῶαι προσέταξεν ὁ Θεὸς τῷ Αβραὰμ δάμαλιν ξιετίζουσαν, καὶ αἶγαν ξιετίζουσαν, καὶ κριὸν ξιετίζοντα, τρυγόνα, καὶ περιστερά;

ΑΠΟΚΡΙΣΙΣ.

Αἰνίγματα ἰῶ ταῦτα τῷ γενεῖ συμβησόμενα. Τοιγάρτοι μὴ τὰς θυσίας ἐπήγαγε. Γινώσκων γνώσῃ, ὅτι πάροικον ἔσαι τὸ σπέρμα σε ἐν γῇ ἀλλοτρίᾳ. καὶ ὑπενέγκει· Τετάρτῃ δὲ γενεᾷ ἀποστραφήσονται ὧδε. Διάτοι τοῦτο, τρία τῷ καθαρῶν τετράποδα, καὶ ἕκαστον τριετές, τυθλῶαι προσέταξεν, εἰς δήλωσιν τῆς τριῶν, γενεῶν αἳ παροικῆσαι διετέλεσαν. Η' δὲ τρυγὼν τὴν γενεὰν ἐκείνην ἐνέφηνε, τοιάνδε ἀποπτᾶσαν μὴν, καὶ ἐξελθοῦσαν ἐξ Αἰγύπτου, ἐν δὲ τῇ ἐρήμῳ κατασκηνώσασαν. Φιλέρημον γὰρ τόδε τὸ ὄρνεον. Η' δέγε περιστερὰ τὴν ἄλλην γενεὰν παρεδήλου, ἢ τὴν ἐπαγγελμένην ἀπελάμβανε Γῆν. ἥμερον γὰρ τὸ ζῶον, καὶ ταῖς οἰκίαις ἐμφιλοχωροῦν. Οθεν, τὰ μὴ ἀ διεῖλεν, ὡς τὴν τῆς δουλείας ἀπαλλαγὴν αἰνιττόμενα. Τὰ δὲ τετράποδα διεῖλεν, ἐπειδὴ τὴν ἐν Αἰγύπτῳ κακοχίαν ἐσήμαινε. Τὰ δέγε ἐφιπτάμενα τοῖς διχοτομήμασιν ὄρνεα, ἅπερ ὁ Αβραὰμ ἐκ τῆς θυσίας ἐξήλαυνε, τὴν φονικὴν τῆς Αἰγυπτίων προαισθάνεται γνώμην, ἣν ἅπαντον ἀπέφηνεν ὁ Θεὸς, τὰς προὸς τὸν Αβραὰμ ἐμπεδῶν προσχέσεις. Ωσπερ γὰρ ἐν τῷ τύπῳ τὰς σαρκοβόρους ὄρνεις ἐξήλαυνεν ὁ Αβραὰμ, ὅπως ἡ μνήμη τοῦ Αβραὰμ τὰς Αἰγυπτίους ἐκόλασε. Τὸ δὲ περὶ Ηλίου δυσμὰς ὀφθῆναι τὸν καπνιζόμενον κλίβανον, καὶ τὰς τοῦ πυρὸς λαμπάδας, ἐδήλου μὴν καὶ τὸ δεχθῆναι τὰ θύματα, προεσήμαινε δὲ καὶ τὴν εἰς τέλος τοῦ προρρηθέντος χρόνου ἐσομένην ὑπεφάνειαν τοῦ Θεοῦ. Διὰ πυρὸς γὰρ ἐπεφάνη καὶ τῷ Μωϋσῇ, καὶ μετὰ ταῦτα τῷ λαῷ.

ΕΡΩΤΗΣΙΣ, ΚΗ'.

Γεν. 17. Τί δήποτε περιτμηθῆναι αὐτὸν προσέταξε;

ΑΠΟΚΡΙΣΙΣ.

Προειπὼν τὴν παροικίαν, φυλακήν τινα μηχανᾶται τῇ ἀσεβείᾳ, ἵνα τοῖς δυσεβέσιν ἀνθρώποις ἀναμιγνύτες, μὴ διαφθείρωσι τὴν εὐγένειαν. Οθεν ἐν τῇ ἐρήμῳ διαβάντες ἔτη τεσσαράκοντα, περιττὴν ἐνόμισαν τὴν περιτομὴν τῶν ἐθνῶν, κεχωρισμένοι, καθ' ἑαυτοὺς πολιτευόμενοι. Νῦνα δὲ λοιπὸν εἰς τὴν Επαγγελμένην εἰσήγοντο Γῆν, τότε

πᾶσιν ὁ Θεὸς προσέταξε τῷ Γησὲ περιτμεῖν ἅπαντας, καὶ ὕστερον τῆς γῆς παραδῦναι τὴν διαστοείαν. Εμελλον γὰρ ἀλλοφύλοις ἔθνεσι πελάζειν. Οὗ δὴ χάριν ἀναγκαίως τῆς σφραγίδος ἐδέοντο, τῆς ὑπὸ τῶν ἄλλων φυλῶν αὐτοὺς χωριζούσης. Εἰ δὲ καὶ μέγα φρονοῦσιν ὅτι τῇ περιτομῇ οἱ Ιδαῖοι, μαθέτωσαν, ὡς ὁ μόνον Αβραὰμ περιετμήθη, ἀλλὰ καὶ Ισμαὴλ ὁ ἀμίδελος, καὶ οἱ οἰκογενεῖς οἰκέται, καὶ οἱ ἀργυρώνητοι, καὶ Ιδουμαῖοι, καὶ οἱ ἀπὸ τῆς Χετταίας, ἔμαθον δὲ ὑπὸ τῶν Ισμαηλιτῶν καὶ οἱ Αἰγύπτιοι περιέμεσθαι. Οὐ τοίνυν ἡ περιτομὴ δικαίως ἐργάζεται. ἔστι γὰρ πάντες ὡς δυσεβεῖς ὄντες τοῦ τῆς Γραφῆς κατηγορεῦντες. Αλλ' ἡ πίστις καὶ ἡ ἀρετὴ, αἵτινες καὶ τὸν Αβραὰμ ἐσέμνωσαν.

(Σχόλιον.) Αβραὰμ ἐγέννησε τὸν Μαδιὰμ ἐκ τῆς ἐχάτης αὐτῆ γυναικὸς Χετταίας, ἐξ ἧ τὸ τῶν Μαδιανιτῶν γένος. ὁ δὲ Μαδιὰμ γυνᾷ τὸν Αφὰρ, ἐξ ἧ ἡ Αφρικὴ χώρα τὴν ἐπωνυμίαν ἔχει, κατοικήσαντος ἐκεῖ. Λὼτ δὲ ἐγέννησε τὸν Αμμὼν ἐκ τῆς πρεσβυτέρας αὐτῆ θυγατρός. ἐξ ἧ οἱ Αμμανῖται, καὶ τὸν Μωαβ ἐκ τῆς νεωτέρας αὐτῆ θυγατρὸς, ἐξ ἧ οἱ Μωαβῖται.

Τῆ Αγίᾳ Επιφανίᾳ ἐκ τῶν Παναρίων.

Η' Μὲν Περιτομὴ διὰ τὴν παροικίαν δέδοται, ἡ δὲ παροικία διὰ τὸν διασταγμὸν τῶν Αβραὰμ ὥρισαι. Ειπὼν γὰρ ἐν διασταγμῷ ὁ δίκαιος πρὸς τὸν Θεὸν, κατὰ τί γνώσομαι τοῦτο, ὅτι κληρονομήσω τὴν γῆν ταύτην; φησὶ πρὸς αὐτὸν ὁ Θεός. Λάβε μοι δάμαλιν ξιετίζουσαν, καὶ τὰ ἑξῆς. Καὶ περὶ τὴν τῆ Ηλίου δύσιν ὡς εἶδε λαμπάδας πυρὸς καὶ κλίβανον, ἐπάγει καὶ τὴν ὑπεστιμησιν ὁ Θεὸς λέγων· Πάροικον ἔσαι τὸ σπέρμα σε ἐν γῇ ἀλλοτρίᾳ ἔτη τετρακόσια τριάκοντα.

Εἰς τὸ Αγκυρωτὸν.

Τετρακοσίων τοίνυν καὶ τριάκοντα ἐτῶν παροικίας ὁρισθείσης καὶ τῷ Αβραὰμ, καὶ τῷ σπέρματος αὐτῆ, τὰ ὁρισθέντα ἐτελειοῦντο. Τῇ ἓν ἑαυτῇ δ' ἀπλαγχνίᾳ ὁ Θεὸς τὰ ἔτη τῆς αὐτῆ παροικίας ἐμέρισε, καὶ δ' ὧν μὲν τετρακόσια δεκαπέντε ἔτη ἀνεβάλλετο, ἔτι αὐτῶν ὄντων ἐν τῇ Χαναανίτιδι, καὶ τὰ ἄλλα τριακόσια δεκαπέντε διεῖλε τοῖς εἰς Αἴγυπτον κατελθοῦσι. Φησὶ γὰρ ὁ Μωϋσῆς. Η' δὲ κατοίκησις τῶν υἱῶν Ισραὴλ ἐν Γῇ Χαναὰν, καὶ ἐν Γῇ Αἰγύπτῳ, ὡς ἔτη τετρακόσια τριάκοντα. Φασὶ δέτε εἰρωνικῶς οἱ ἀκάθαρτοι Μανιχαῖοι. καλὸς ὁ Θεὸς τῷ νόμῳ, ὃς ἐπλεονέκτησε τοὺς Χαναναίους, ἵνα δῷ τοῖς Υἱοῖς Ισραὴλ τὸν τόπον αὐτῶν. Αλλ' ἴσωσαν οἱ ἀνόητοι, ὅτι ὁ Θεὸς Δίκαιος ὢν, δικαίως τὰ πάντα διεξάγει. Ο' γὰρ δίκαιος Νῶε, λείψανον τῷ Κόσμῳ μετὰ τὸν κατακλυσμὸν γενόμενος, πολυτρόπως τοὺς ἑαυτῷ παῖδας διλαβεῖς καθιστᾶν ἐπειράτο, ἵνα μὴ τοῖς αὐτοῖς περιπέσωσι κακοῖς, οἷσπερ καὶ οἱ ἐν τῷ Κατακλυσμῷ. Οὐ μόνον γὰρ διὰ λόγων τέτοις τὴν δυσέβειαν καὶ δυλάβειαν παρεδίδε, ἀλλὰ καὶ δι' ὅρκου ἀφ' οὗ ἑκάστε αὐτῶν τὴν πρὸς τὸν ἀδελφὸν εὔνοιαν ἀπήτησε, καὶ διαμερίζει πάντα τὸν Κόσμον δικαίως τοῖς τρισὶν υἱοῖς αὐτῆ τοῖς κλήροις διελών, ἑκάστῳ μερίδα καὶ κλῆρον ἑκάστῳ ὀπονείμας.

Γεν. 22.

Μεχὶς τῆ Υἱῶν Νῶε. (Σήμ.)

ΚΑὶ τῷ μὲν πρωτοτόκῳ Σὴμ ὑπέπεσεν ὁ κλῆρος ἀπὸ Περσίδος καὶ Βάκτρων ἕως Ἰνδικῆς, καὶ μῆκος τὸ κλήρου ἕως τῆς χώρας Ῥινοκορούρων. κεῖται δὲ αὕτη ἡ Ῥινοκορούρα ἀναμέσον Αἰγύπτου καὶ Παλαιστίνης, ἀνίκαιρον τῆς Ἐρυθρᾶς θαλάσσης. (Μεχὶς Χάμ.) Χὰμ δὲ τῷ δευτέρῳ ἀπὸ τῆς αὐτῆς Ῥινοκορούρων ἕως Γαδείρων τὸ πρὸς Νότον. (Μεχὶς Γάφεθ.) Γάφεθ δὲ τῷ τρίτῳ ἔλαχεν εἰς μεσίσιαν ἀπὸ Μηδείας ἕως Γαδείρων καὶ Ῥινοκορούρων τὰ πρὸς Βορρᾶν. (Υἱοὶ Σήμ.) Ἐλὰμ, ἀφ' ὧν Ἐλυμαῖοι, Περσῶν οἱ ἀρχαῖοι. Ἀσσὼρ, ἀφ' ὧν Ἀσσύριοι. Ἀρφαξὰδ, ἀφ' ὧν Χαλδαῖοι. Ἀρὰμ, ἀφ' ὧν Σύροι. Λοὺδ, ἀφ' ὧν Λύδιοι. Ἔβερ, ἀφ' ὧν Ἑβραῖοι.

Τῷ δὲ Σὴμ γίνονται παῖδες καὶ παιδίσκαι, καὶ παίδων παῖδες εἰκοσιπέντε, ἕως ὅτε αἱ γλῶσσαι διεμερίσθησαν, καὶ εἰσὶ διεσπαρμένοι ἐν γλώσσαις καὶ φυλαῖς, καὶ βασιλείαις. τὰ δὲ ὀνόματα αὐτῶν ἐστὶ τάδε. Ἐλυμαῖοι, Ἀσσύριοι, Χαλδαῖοι, Λαζονεῖς, Ἐβραῖοι, Γυδοὶ, Μαδηνοὶ, Βακτριανοὶ, Ἄραβες, οἱ καὶ Δαρδανίοι, Καμήλιοι, Μάρδοι, Ἀρριανοὶ, Κεδρούσιοι, Σκῦθαι, Τρκανοὶ, Ἄρμενοι, Γυμνοσοφισταὶ, Τρωγλοδύται, Παίονες, Πάρθοι, Κοιλλωοὶ, Σύροι, Κομμαγηνοὶ, Ἐλαμῖται, Γερμανοὶ, Κοισποσσίοι, Βαβυλώνιοι, Κορσαλλωοὶ, Ἀδιαβληνοὶ, Καῖανοὶ, Ἐλμασηνοὶ, Σαρρακηνοὶ, Μασσύριοι, Ἐλαμῖται, Χίονες, Μαγουσαῖοι, Ἀρμήνιοι, Κίλικες, Καππαδόκαι, Ποντικοὶ, Βίκωνες, Χάλυβες, Λαζοὶ, Ἴβηρες. (Υἱοὶ Χάμ.) Χὰς, ἀφ' ὧν Χουσαῖοι Αἰθίοπες. Οὗτος ὁ Αἰθίοψ ἐγέννησε τὸν Νεβρωὸδ, τὸν γίγαντα καὶ κυνηγὸν, τὸν καὶ πρῶτον ἐφθαρότα μαγείαν, καὶ ἀστρολογίαν, καὶ κτίσαντα τὴν Βαβυλῶνα, ἐβασίλευσεν ἐν αὐτῇ, πρῶτος βασιλεὺς γεγονώς. Μεσραὶμ, ἀφ' ὧν Μεσραῖοι Αἰγύπτιοι. Φοὺθ, ἀφ' ὧν Φουθαῖοι Λίβυες. Χαναὰν, ἀφ' ὧν Χαναναῖοι. Σαβὰ, ἀφ' ὧν Σαβαῖοι Αἰθιόπων γένος. Εὐϊλὰτ, ἀφ' ὧν Γετουλοί.

Χὰμ δὲ τῷ δευτέρῳ παῖδες, καὶ παίδων παῖδες, ἕως τοῦ διαμερισμοῦ τῆς γλωσσῶν, τεσσαράκοντα δύο. Αἰθίοπες, Τρωγλοδύται, Ἀγγαῖοι, Γαγγηνοὶ, Ἡσαβλωοὶ, Ἰχθυοφάγοι, Ἑλληνικοὶ, Αἰγύπτιοι, Φοίνικες, Μαρμαρίδαι, Κάρες, Ψιλῖται, Μοσσυνοὶ, Μάκωνες, Μάκρωνες, Συρτῖται, Λεπτῖται, Μαγῆται, Βιθυνοὶ, Νομάδες, Λύκιοι, Μαριανδινοὶ, Παμφύλιοι, Μοσχησίδιοι, Πισιδινοὶ, Αὐγαλαῖοι, Κίλικες, Μαυρούσιοι, Κρῆτες, Μαργάδες, Νομίδαι, Ἄφροι, οἱ καὶ Βιζακινοὶ, Νασαμῶνες, Φασγλωοὶ, Μάζικες, Γαραμοὶ, Γετοῦλοι, Βλέμμυες, Ἀζωρῖται. Οὗτοι κατέχουσιν ἀπὸ Αἰγύπτου ἕως Ὠκεανοῦ. καὶ νῆσοι αὐτοῖς, Κορσικα, Λάμπουσα, Γαῦλος, Ῥόδος, Καρίανθος, Ἀσυπάλαια, Χίος, Λέσβος, Τένεδος, Ἴμβρος. Ἴμβρος, Σάμος, Κῶος, Κυζικηνὸς, Μεγίστη Κύπρος, Σαββαθᾶ, ἀφ' ὧν Ἀσαβάροι, Εὐβεκαθὰ, ἀφ' ὧν Εὐσεβιχθωοί. (Υἱοὶ Γάφεθ.) Γῶμερ, ἀφ' ὧν Γαλάται. Μαγὼγ, ἀφ' ὧν Σκῦθαι. Μαδαοὶ, ἀφ' ὧν Μῆδοι. Ἰωυὰν, ἀφ' ὧν Ἴωνες. Ἐλισὰ, ἀφ' ὧν Αἰολεῖς. Θόβελ, ἀφ' ὧν Ἴβηρες, Μοσὸχ, ἀφ' ὧν Καππαδόκαι. Θιρὰς, ἀφ' ὧν Θρᾷκες. Ἀχαιὰζ, ἀφ' ὧν Ῥίγλωες. Ῥιφὰθ, ἀφ' ὧν Παφλαγόνες. Θοργαμὰ, ἀφ' ὧν Φρύγες. Θαρσεῖς, ἀφ' ὧν Κίλικες. Χετιεὶμ, ἀφ' ὧν Κύπριοι, Κίτιοι, Ῥόδιοι. Γὼγ, ἀφ' ὧν Γάτθοι. Γεργομὰμ, ἀφ' ὧν Ἄρμενοι. Γάφεθ δὲ τῷ τρίτῳ παῖδες, καὶ παίδων παῖδες δεκαπέντε. Μῆδοι, Ἀλβανοὶ, Γαργανοὶ, Ἀρμένιοι, Ἀρραῖοι, Ἀμαζόνες, Κωλοὶ, Κορζηνοὶ, Βοσπαγηνοὶ, Καππαδόκες, Παφλαγόνες, Γαλάται, Μαριανδινοὶ, Τιβαρηνοὶ, Χάλυβες, Μοσσύνοικοι, Κολχοὶ, Μελαγχλαινοὶ, Σαυρομάται, Γερμανοὶ, Σαρμάται, Μαιῶται, Σκῦθαι, Ταῦροι, Θρᾷκες, Βαυσρανοὶ, Γηλύζιοι, Μακεδόνες, Ἕλληνες, Λίβυες, Φρύγες, Πανόνιοι, Οὐέσροι, Οὖννοι, Δαῦναι, Γάπυγες, Καλαυροὶ, Ἱππικοὶ, Λατῖνοι οἱ καὶ Ῥωμαῖοι, Τυρρηνοὶ, Γάλλοι, Κέλτοι, Λιβυσινοὶ, Καμπανοὶ, Κελτίβηρες, Παλοὶ, Ἀκουϊτανοὶ, Γαλλιανοὶ, Βέσοντες, Καρτανοὶ, Λυσιτανοὶ, Οὐαχαῖοι, Βρεταννικοὶ, Σκότοι, Σπαῖοι. Νῆσοι δὲ αὐτοῖς Βρεταννία, Σικελία, Εὔβοια, Ῥόδος, Χῖος, Λέσβος, Κυθέρεια, Ζάκυνθος, Κεφαλληνία, Ἰθάκη, Κέρκυρα, Κύπρος.

Εἶπα δὲ ἔθνος ὄνομα, ἢ νήσου, ἐντέτακται διαπαντὸς ἐν κλήρῳ ἄλλου, ἢ κατὰ τὰς ῥυμοτομίας καὶ καιρὸν ἀποικίας, ἢ καὶ προσληψιν τοῦ Χάμ, ὃς ἐπλεονέκτησε καὶ ἔλαβε τὸν Σὴμ μέρη, μηδεὶς θαυμαζέτω, ἢ ἀμφιβαλλέτω. Τύπων πάντων τῶν Ἐθνῶν ὅπως ἐκ τῶν τριῶν Υἱῶν τοῦ Νῶε γεγονότων, καὶ τριχῆ τοῦ Κόσμου τοῖς τρισὶν Υἱοῖς διαμεριζόντος, οἷς ὡς εἴρηται, ὅρκος ἀπηντήθη μηδὲ τοῦ παρὸς ὑπ' αὐτῶν, μηδενὶ ἐπεμβαίνειν τῷ τοῦ ἀδελφοῦ αὐτοῦ κλήρῳ, τὸν δὲ ὑπερβαίνοντα τὸν τοῦ ὅρκου διαταγὸν, ἐξολοθρεύεσθαι ἐν τῷ ὅρκῳ ἔφησαν, καὶ πᾶν τὸ σπέρμα τοῦ ὑπερβαίνοντος χώρᾳ τινὶ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ πλεονεκτοῦντος τὸν ἴδιον ἀδελφόν. Ἐπεὶ ἦν ἐν τῷ τοῦ Χὰμ κλήρῳ Αἴγυπτος, καὶ πάντα τὰ πρὸς Νότον ὑπέπεσαν, παύου δεκοῦντα καυσωθῆ τινὰ ὑπάρχειν, πλεονέκτης δὲ ὢν ὁ Χαναὰν, ὁ υἱὸς τοῦ Χὰμ, ἐπῆλθε τῇ Παλαιστινῶν γῇ, τοῦτέστι τῇ Γεδαίᾳ, καὶ ἁρπάζει αὐτῷ τοῦ κλήρου ὅσαν τοῦ Σὴμ, καὶ ἐμακροθύμει ὁ Θεὸς δοὺς χρόνους μετανοίας, ἵνα μετανοήσωσιν οἱ ἐκ τοῦ Χὰμ ἔγγονοι, καὶ ἀποδώσωσι τοῖς υἱοῖς τοῦ Σὴμ τῶν ἰδίαν κληρονομίαν, καὶ παραχωρηθεὶς ὁ Θεὸς, μηδὲν κακὸν τοῦτοις ἐπενεγκεῖν. Ἐπεὶ δὲ ἔτεσι πολλοῖς ἡ μακροθυμία τοῦ Θεοῦ συνεχωρήθη καὶ τὸ εἰρημένον· ὅπως ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορραίων· ἔμενέ τε τῇ ἁμαρτίᾳ ὁ Χαναὰν, χρονίσας τότε Ἀμορραῖον, καὶ Γεργεσαῖον, καὶ Ἰεβουσαῖον, καὶ Ἀφερεζαῖον, καὶ Εὐαῖον, καὶ Ἀρκαῖον, καὶ Ἀσναῖον, καὶ Ἀράδιον, καὶ Σιδώνιον, καὶ τῷ χρόνῳ τότῳ τῆς μακροθυμίας τοῦ Θεοῦ ὁ μετεμελεῖτο ὁ Χὰμ, τότε σύκεσε ἔκδικος ὢν ὁ Θεὸς ἀληθὴς, καὶ δεκαοκτὼ γενεὰς ἐκδικεῖ τὸν ὅρκον, ὃν μεταξὺ ἀλλήλων πρὸς

Θεὸν συνέθεντο, ἐξολοθρεύσειν τὸ σπέρματος Χαναάν, καὶ τὰ ἐκ σώματος αὐτῶν ἐξελιλυθότα, καὶ τὸ σπέρμα τῶ Σὴμ τὴν ἰδίαν χώραν ὑπολαμβάνει. Οὐκ ἠδίκησεν ἓν ὁ Θεὸς τὰ δίκαια ἑκάστῳ μέρη ἀπονέμων. Μάτην τοίνυν λοιδοροῦσιν οἱ ἐμβρόντητοι Μανιχαῖοι.

ΕΡΩΤΗΣΙΣ, ΚΘ'.

Ἐξ.7. Πῶς νοητέον τὸ, Ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραώ;

ΑΠΟΚΡΙΣΙΣ.

Ῥᾴδιον ἦν τῷ Θεῷ μὴ τὴν ἀπείθειαν, παρολεθρίαν ἐπαγαγεῖν. Ἀλλὰ ἀφράστῳ πεχρημένος μακροθυμίᾳ, μείζονα αὐτῷ παιδείαν ἐπήγαγε. Ταῦτα δὲ αὐτίτυπον ἐποίει τὴν ἐκείνου καρδίαν. Ὥσπερ γὰρ ὁ Ἥλιος τῇ τῆς θέρμης ἐνεργείᾳ τὸν μὲν κηρὸν μαλάττει, τὸν δὲ πηλὸν σκληρύνει, ἅπερ τῇ τοῦ Θεοῦ μακροθυμίᾳ οἱ μὲν τῶν ἀνθρώπων σκληρύνονται, οἱ δὲ μαλάττονται. Ἐπειδὴ οὐχ ἅπαντες τῷ μέλλοντι πιστεύσει βίῳ. Κολάζει μὲν ὁ Θεός τινας ἐνταῦθα πονηρὰς, ἀνακηρύττει δὲ ἀσεβεῖς. Τοῦτο χαίειν ὁ Ἀπόστολος, τινὰς μὲν σκεύη ὀργῆς, τινὰς δὲ σκεύη ἐλέους ὠνόμασεν. ἐπειδὴ δι' ἐκείνων μὲν ὄφελος γίνεται κολάζων ἐνδίκως ὁ Θεὸς, ἀπὸ τούτων δὲ ὠφελείας, καὶ προμηθείας ἀξιῶν τοὺς τῆς ἀρετῆς ἀθλητάς. Καθάπερ γὰρ οἱ ἰατροὶ τοὺς αὐτοκέσως ἀχθεσμένους πολλῶν παρόντων τέμνουσι, τῷ τῆς ἰατρείας διδάσκοντες ζόπον τοὺς μαθητὰς, οὕτω καὶ ὁ Θεὸς τὸν Φαραὼ, ἀπὸ τὴν ἀπείθειαν καὶ σκληροκαρδίαν αὐτοῦ, παντοδαπαῖς τιμωρίαις ὑπέβαλε, πρὸς σωφρονισμὸν τῶν ὑπολειπομένων.

Παρ.19. Φησὶ γὰρ ὁ Παροιμιαστής. Λοιμὸν μαστιγωθέντα, ἄφρων πανουργότερος ἔσται. Πανοῦργος δὲ ἰδὼν πονηρὸν τιμωρούμενον κρατιστῶς παιδεύεται, οἱ δὲ ἄφρονες παρελθόντες ἐζημιώθησαν. Καὶ πιπτόντων ἀσεβῶν, δίκαιοι πατάφοβοι γίνονται.

(Σχόλιον.) Μηδεὶς δὲ ὑπολάβῃ τὸν Φαραὼ εἰς ἀναισθησίαν τῷ ὑπὸ τοῦ Θεοῦ πραττομένων ἐκβιάζεσθαι. ἀλλ' ὅτι ἡ ἀνοχὴ τῶν μαστίγων αἰτία τῆς πωρώσεως ἐγίνετο. ἰδίνα δὲ ἐπήγαγεν ἐπ' αὐτὸν τὰς πληγὰς, ἀπολύειν τὸν λαὸν ἐπηγγέλετο. ἰδίνα δὲ ἠφίειν τὸν βάσανον, ἑαυτὸν ἐσκληρύνετο. Φησὶ γάρ. Ἰδὼν δὲ Φαραὼ, ὅτι γέγονεν ἀνάψυξις, ἐβάρυνε τὴν καρδίαν αὐτοῦ, καὶ οὐκ εἰσήκουεν αὐτῶν, καθάπερ ἐλάλησε Κύριος.

Τοῦ Χρυσοστόμου ἐκ τοῦ πρὸς Σταγείριον.

ΚΑθάπερ ὅταν τοὺς μὲν πολλοὺς ἀφίησιν ἐν τῷ δεσμωτηρίῳ οἰκεῖν ὁ κριτὴς, ὡς καὶ ἐκεῖ καταλύσαι τὸν βίον πολλάκις. Ὅταν δέ τινας τῶν πολλῶν ἀθετῆσαι βούληται, εὐθὺς ἢ καὶ δύο ἐξ ἐκείνων λαβὼν, καὶ ἐφ' ὑψηλοῦ καθήσας τοῦ βήματος, ἅπασι τοῖς παροῦσι, ἅπως αὐτὸν κελεύει ὅτι τὸν θάνατον ἄγεσθαι. Καὶ ὁ πάντων αὐτῷ πρὸς τῶν λοιπῶν φόβον χρεία τῆς πονη-

πονηρῶν. Οὕτω καὶ τῷ Θεῷ, ὁ πάντων τῶν μοχθηρῶν, ὅταν ἡμᾶς σωφρονῖσαι βούλεται, χρῆται, ἀλλ' ἵνα μὴ ἐξ αὐτῶν ἀπολαβὼν, ἐς οἷόν ἀδιορθώτως ἔχοντας, ἐνδείκνυται τὴν δύναμιν, καὶ τὴν ὀργὴν. πολλὰ ἐν τούτῳ κατορθῶν. τούς τε γὰρ πονηροὺς ἵνα διὰ τὴν μεταβολὴν πονηρίας, εἰ βούλοιντο, προκαλεῖ, τούς τε ἀγαθοὺς προσεκτικωτέρους ἐργάζεται.

ΕΡΩΤΗΣΙΣ, Λ'.

Τίνος ἕνεκα καταρᾶται ὁ Ἰὼβ τὴν ἡμέραν αὐτοῦ; Ἰώβ.3.

ΑΠΟΚΡΙΣΙΣ.

Ἄμεμπτος καὶ δίκαιος ὑπάρχων ὁ Ἰὼβ τὰ τῆς χάριτος κατώρθωσε. τὸ δὲ τῆς χάριτος ἐξαίρετον, τῆς ἀγάπης ἐστὶ κατόρθωμα εἴς τε τὸν Θεὸν, καὶ τὸν πλησίον. Ἐπεὶ οὖν ὁ μόνον τὸ ἑαυτῷ ἐφρόντιζεν, ἀλλὰ καὶ τὸ τοῦ πλησίον ἐσκόπει, μήπως ἀγωνιζομένῳ αὐτῷ, καὶ τοῖς πόνοις ἐγκαρτεροῦντος, οἱ συνειδότες αὐτῷ δυσσέβειαν, σκανδαλισθῶσι, καὶ ἃ μὴ θέμις εἰπωσιν, ἢ λογίσωνται, καὶ ὑφ' ἁμαρτίαν γένωνται, διὰ τῆς εἰς αὐτὸν ἀφορμῆς. Ἢ διὰ τὸν Θεὸν ἄδικον εἶναι, ἢ τὸν τῆς δικαίας γνησίως ἐκ προσδοκίας βίον, ὑπὲρ τοσοῦτον ὠφελοῦντο, ὅσον ἐβλάπτοντο, ὥσπερ καὶ οἱ φίλοι αὐτοῦ μικρὸν κατέκειναν αὐτὸν λέγοντες. Ὀλίγα ὧν ἡμάρτηκας μεμαστίγωσαι· καὶ, Ἰώβ. 15.καὶ 22. Πότερον, οὐχὶ ἡ κακίασις ἐστὶ πολλή; ἀναρίθμητοι δὲ εἰσὶν αἱ ἁμαρτίαι σου; Τοῦτο προειδὼς, ὡς Θεοῦ προφήτης, ὁ δίκαιος ἀπεδρήνει. Καὶ ὅτι τοῦτο ἐστὶν ἀληθὲς, πρόσεχε, ὅτι ὅτε διὰ τῆς τῶν ὑπαρχόντων ἀφαιρέσει, ὅτε διὰ τῆς τοῦ σώματος αὐτοῦ πληγῆς καὶ κακώσει ἐφθέγξατό τι τοιοῦτον, ἀλλὰ πάντα μετ' εὐχαριστίας ἐδέξατο. Ἡνίκα δὲ παρεγένοντο πρὸς αὐτὸν οἱ φίλοι, ἰδόντες αὐτὸν πάρρωθεν, οὐκ ἔγνωσαν. καὶ βοήσαντες φωνῇ μεγάλῃ ἔκλαυσαν, ῥήξαντες ἕκαστος τὴν ἑαυτοῦ στολήν. καὶ κατασπασάμενοι τὸν χοῦν, παρεκάθησαν αὐτῷ ἑπτὰ ἡμέρας, καὶ ἑπτὰ νύκτας. καὶ οὐδεὶς αὐτῷ ἐλάλησεν· ἑώρων γὰρ τὴν πληγὴν δεινὴν οὖσαν σφόδρα. Τότε δήφησιν, ἤνοιξε τὸ στόμα αὐτοῦ Ἰὼβ, καὶ Ἰώβ. 3. κατηράσατο τὴν ἡμέραν αὐτοῦ. Ὥστε ὁ τὴν ἐκείνων ἑτεροζυγίαν τῆς ἀγνοίας, καὶ βλάβην ὑφορώμενος ὁ δίκαιος, ἀπεδρήνει. εἰώθασι γὰρ οἱ Ἅγιοι τὰς ἑτέρων συμφορὰς, ὡς ἰδίας διαλέγεσθαί τε, καὶ ὀλοφύρεσθαι. ὡς Ἱερεμίας διὰ τῆς Ἱερ. 20. τοῦ λαοῦ παρανομίαν, καὶ καταστροφὴν τοῦ Ναοῦ, τὴν ἑαυτοῦ καταρᾶται γοόνησιν, ἀλλὰ καὶ τὴν ἡμέραν, ἐν ᾗ προῆλθε τεχθείς. Εἰδὲ ἦπος οὐκ ἔφερε πόνους, ἢ κόπους, ὑφ' ἑτέρων ἀδικίας σωιεσαμένους, ὁ πολύτλας Ἰὼβ δι' ὅλου ἠχάλων, ὅτι χαίειν αὐτοῦ τινὲς ὑπεσκελίζοντο; διὰ τοῦτο καὶ τὸ ζῆν ἀπέλεγετο, ὡς αἴτιος διρεθεὶς ἄλλων πρὸς ἁμαρτίαν. τί δὲ καὶ ἡ δοκοῦσα καπάρα; Ἡ ἡμέρα ἐκείνη, φησὶ, μὴ ἔλθοι εἰς ἀριθμὸν μηνῶν, μηδὲ συναζητήσαι αὐ- Ἰώβ. 3.

τλῶ ὁ Κύριος ἀὼσθσν. σκοτισθείη τὰ ἄστρα τῆς νυκτὸς ἐκείνης. Πρᾶγμα δὲ ἐχ ὑφεστηκὸς καταρᾶται, ἀλλ' ἡμερονύκτιον παρελθόν. Πῶς γὰρ τὰ χρώμενα, ϗ παρελθόντα πάλιν οἷόν τε χρῆσθαι, κἂν ἡ ἡμέρα ἐκείνη, ϗ ἡ νὺξ ἐπανακάμπτει; Περὶ δὲ τῆ ἀστέρων, αἰνίττεται τλῶ εἰς τὸ βέλτιον ἐπὶ σωτελεία ἐσομένω ἀλλαγὼ τῆ καινῶν αἰώνων. καθάπερ ϗ Δαβὶδ φησί. Καταρχὰς σὺ Κύριε τλῶ γλῶ ἐθεμελίωσας, ϗ ἔργα τῆ χειρῶν σε εἰσὶν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις, ϗ τὰ ἔξῆς. Καὶ ὁ Ἀπόστολος. Τὰ βρώματα τῆ κοιλία, ϗ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς ϗ ταύτω, ϗ ταῦτα καταργήσει. Τλῶ εἰς τὸ κρεῖττον ἀλλοίωσιν, ἀπώλειαν ϗ κατάργησιν ὀνομάζοντες. Καὶ ϗ ἐν τῆ τῆς σωτελείας ἡμέρα, ὁ Ἥλιος, ϗ ἡ Σελήνη συσκοτάσουσιν, ὥς φησιν ὁ Προφήτης, ϗ οἱ ἀστέρες δύσουσι τὸ φέγγος αὐτῶν. Ἐπεὶ ὅτιγε ἐκ ἐξ ἀπογνώσεως, ϗ μικροψυχίας αὐτὸ ἐκεῖνα ἐφθέγγετο, ἄκουσον αὐτῦ πρὸς τὸν Θεὸν λέγοντος. Ὑπομένω σε, ἕως οὗ πάλιν γένωμαι, ϗ τάξῃ μοι χρόνον, ἐν ᾧ μνείαν ποιήσεις μου. Καὶ πάλιν. Οἶδα ἐγὼ, ὅτι δίκαιος ἀναφανοῦμαι. τίς γάρ ἐστιν ὁ κρινθησόμενός μοι; Οὐκοῦν ἐχ ὡς ἀποδυσάμενον ϗ ἀπογινώσκων ἑαυτὸ, ἀλλ' ὡς τλῶ ἑτέρων βλάβλω, ὡς ἔφθλω ὑφορώμενος, εἶπεν ἐκεῖνα, τὰ μὴ εἰς ἁμαρτίαν αὐτῷ πεπτελῶς λογισάμενα. Φησὶ γάρ. Ἐν πάσαις πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ, οὐδὲ ἐν τοῖς χείλεσιν αὐτῦ ἥμαρτεν Ἰὼβ ἐναντίον τῦ Θεῦ, ϗ ὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ. Οἱ δὲ φίλοι αὐτῦ ταῦτα μὴ σωίσαντες, ϗ καπακείναντες αὐτὸν, ἔμελλον θεήλατον ὀργλῶ βπισᾶσθαι, εἰ μὴ θᾶττον ὁ δίκαιος ὑπὲρ αὐτῶν ἐξιλεώσατο τὸν Θεὸν, ϗ ἀφῆκεν αὐτοῖς τλῶ ἁμαρτίαν ταύτλω. Φησὶ γὰρ ὁ Θεὸς πρὸς αὐτούς. Εἰ μὴ δι' τὸν Θεράποντά μου Ἰὼβ, ἀπώλεσα ἂν ὑμᾶς· ϗ γὰρ ἐλαλήσατε ἀληθὲς ϗ τῦ Θεράποντός μου Ἰώβ.

Ἰώβ. 1.

Ἰώβ. 42.

Κυρίλλου Ἀλεξανδρείας ἐκ τῦ εἰς τὸν Ἰὼβ.

Ὡς ἐκ τῆ τῦ δικαίου Ἰὼβ τῆς ζωῆς χρόνων, ὧν ἡ Γραφὴ λέγει, ὅτι ἔζησε μϗ τλῶ πλησλῶ ἔτη ἑκατὸν ἑβδομήκοντα, τὰ δὲ πάντα ἔτη ἔζησε δισχίλια τεσσαράκοντα ὀκτὼ, ἐσὶν ἀκριβῶς ἐπιβαλεῖν ἔτη ἑπτὰ ἔζησε δισχίλια τεσσαράκοντα ὀκτὼ, ἐσὶν ἀκριβῶς ἐπιβαλεῖν ἔτη ἑπτὰ ποιῆσαι αὐτὸν ἐν τῆ πειρασμῷ, ἑβδομήκοντα ὀκτὼ ἐτῶν τυγχάνοντα ϗ τλῶ ἀρχλῶ τῦ πειρασμῦ, ὡς ὁμῦ χρῆσθαι ϗ τὸ τέλος ἔτη ὀγδοήκοντα πέντε, ἅπερ ὁ Θεὸς ἐδιπλασίασε πρὸς τοῖς ἄλλοις, οἷς ἔδωκεν αὐτῆ ἀγαθοῖς ϗ τὸ διπλάσιον, ϗ ζωλῶ ἐβραχόμβος. ὐ γὰρ ἅπαντα ϗ τὸ διπλάσιον δεδωκὼς αὐτῆ ὁ Θεὸς, τλῶ πρεῖττονα τόπων ζωλῶ ἐκολόβωσε. φησὶ γάρ. Ὁ δὲ Θεὸς ἐδιπλασίασε τὰ ἔχαπα τῦ Ἰὼβ, ἢ τὰ ἐμπροσθεν αὐτῦ, εἰς διπλασιασμόν. Ἵνα δὲ λόγησ

ΕΡΩΤΗΣΙΣ, ΛΒ'.

Ιερ. 27. Εἰ ὁ βασιλεὺς Βαβυλῶνος ἀλληγορεῖται εἰς Διάβολον, πῶς ὁ Θεὸς καὶ Ἱερεμίᾳ δῆλον αὐτὸν προσαγορεύει, λέγων. Ἐγὼ δέδωκα πᾶσαν τὴν γῆν Ναβυχοδονόσορ βασιλεῖ Βαβυλῶνος τῷ δούλῳ μου, καὶ τὰ θηρία τοῦ ἀγροῦ δέδωκα δουλεύειν αὐτῷ;

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ Διάβολος καὶ ἐχθρός ἐστι τοῦ Θεοῦ, καὶ ἐπιβουλος. Ἐχθρὸς μὲν, ὅταν ὁ μισῶν αὐτὸν δοκεῖ πῶς τῷ ὀλέθρου κεκτῆσθαι πρὸς ἡμᾶς ἀγάπην, τοῖς τῆς ἐναντίων παθῶν ζόφοις, καὶ τῆς ἡδονῆς πείθων ἡμῶν τὴν προαίρεσιν τῆς αἰωνίων ἀγαθῶν προκείνειν τὰ πρόσκαιρα. διὸ πλέπτων ὅλην τὴς ψυχῆς τὸν ἔφεσιν, τῆς Θείας ἡμᾶς παντελῶς ἀγάπης ἀφίστησιν ἐναντίας, ἐχθρὸς ποιῶν τοῦ Ποιήσαντος. Ἐπίβουλος δὲ, ὅταν γυμνώσωμεν τὸν πρὸς ἡμᾶς μῖσος, ὡς ἤδη χρωμένους αὐτῷ διὰ τὴν ἁμαρτίαν ὑποχειρίους, ἐξαντεῖται τὸν καθ' ἡμῶν τιμωρίαν. Οὐδὲν γὰρ ἔτω φίλον τῷ διαβόλῳ καθέστηκεν ὡς ἄνθρωπος τιμωρούμενος. Τοῦτο δὲ συγχωρηθεὶς, τὰς ἀλληπαλλήλας ὑπνοῶν τῆς ἀνοσίων παθῶν ἐπαγωγὰς, λαίλαπος δίκην, ἁπλῶς ὑπφέρεται τοῖς καθ' ἡμῶν, συγχωρήσει Θεοῦ νομισάμενος τὴν ἐξουσίαν. Ὁ τὸ πρόσταγμα τὸ Θεῖον ἐκπληρῶσαι βουλόμενος, ἀλλὰ τὸ οἰκεῖον τοῦ καθ' ἡμᾶς μίσους διαθρέψαι πάθος ὑπνώττει. Ἵνα τῷ πολλῷ βάρει τῆς ὀδυνηρῶν συμφορῶν ἡ ψυχὴ διὰ τὸ νικᾶν ὀκλάσασα, τῆς Θείας ἐλπίδος ἑαυτῆς ἀφικόμην τὴν δύναμιν, αὐτὶ νεθεσίας, ἀθεΐας αἰτίαν ποιεμένη τῶν τῆς ἀλγεινῶν συμβαινόντων ἐπαγωγῶν. Ἀγαθὸς γὰρ ὑπάρχων ὁ Θεὸς, καὶ θέλων ἡμῶν ἐκτίλαι παντελῶς τὸ τῆς κακίας σπέρμα, τῶν ἡδονῶν, τῶν τὸν νοῦν τῆς θείας ἀποσυλώσαν ἀγάπης, συγχωρεῖ τῷ διαβόλῳ, πόνος ἡμῖν καὶ τιμωρίας ἐπαγαγεῖν. Ὡς ἂν καὶ ταὐτὸν καὶ τῆς προλαβούσης ἡδονῆς τὸν ἴον διὰ τῶν πόνων τῆς ψυχῆς ἀποξέων, καὶ πρὸς τὰ παρόντα καὶ μόνον τῶν αἴσθησιν σαίνοντα, μῖσος ἡμῖν, καὶ τελείαν ἀποδιάθεσιν, ὡς μὴ δέτι τιμωρίας πλέον εἰς κέρδος κεκτημένα καὶ τῶν χρῆσιν ἐμποιήσας, βουλόμενος ἄνθρωπον τῆς πρὸς ἀρετὴν ἐπαγωγῆς ἀθυσατικὸν αἰτίαν ποιήσασθαι τῆς αὐτῆς ἐκουσίως ἀπολισθησάντων. Ὡς ἂν καὶ συγχώρησιν τιμωρούμενος τὲς ἁμαρτάνοντας ὁ διάβολος, τῷ Θεῷ κέκληται δῆλος. Πρέπον γάρ ἐστι, καὶ δίκαιον ὑπὸ τοῦ διαβόλου κολάζεσθαι τὲς πρὸς αὐτὸν πονηρὰς ὑποθήκας τῆς ἑκουσίων ἁμαρτημάτων ἡδέως δεξαμένους. Οὕτω μὲν ἂν καὶ ἡδονῆς ἐστὶ διὰ τῆς ἑκουσίων παθῶν ἀπορρὸς ὁ διάβολος, καὶ ἀδυνὸς διὰ τῆς ἑκουσίων ἐπαγωγῆς. Τὰ δὲ θηρία, ἅπερ δίδωσιν ὁ Θεὸς τῷ βασιλεῖ Βαβυλῶνος, οἱ δαίμονές εἰσιν· ἕκαστος καὶ τῶν ἐνδιάθετον ὑποκειμένου ὑπὸ τῆς δεισιδαιμονίαν, πρὸς τοιόνδε, ἢ τοιόνδε τῆς πειρασμῶν ἐπαγωγὴν λειτουργῶν. Ἄλλοις γὰρ ἄλλος ἐστὶ ποιητικὸς κακίας. Καὶ ἄλλος ἄλλου σαφῶς ἐστὶ μιαρώτερος, καὶ πρὸς κακίαν ἐπιτηδειότερος. Ἄνευ δὲ Θείας συγχωρήσεως κατ' οὐδὲν ὑπουργεῖν δύανται οἱ δαίμονες τῷ ἀρχεκάκῳ διαβόλῳ. Ἵνα, καθὼς οἶδεν ὁ Θεὸς μετὰ τῆς δεούσης φιλανθρωπίας, καὶ ἀγαθῆς προνοίας, συγχωρῇ τῷ διαβόλῳ, καὶ τῆς αὐτοῦ ὑπουργῶν, τὰς ἐφ' οἷς οἷς ἡμάρτομεν διαφόρους ποιεῖσθαι τιμωρίας, δηλοῖ σαφῶς ἡ περὶ τοῦ Γὼβ συγγραφὴ, μὴ δυνάμενον παντελῶς προσπελάσαι τῷ Γὼβ τὸν διάβολον φάσκουσα δίχα τῆς Θείας συγχωρήσεως.

Τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Ματθαῖον.

Διὰ δὲ εἰπεῖν τὸν Κύριον· Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· Ὅτι σοῦ ἔστιν ἡ βασιλεία, καὶ ἡ δόξα, αἰνιμιμνήσκει ἡμᾶς λογίζεσθαι, τίς ἐστιν ὁ δεσπόζων ἡμῶν. Καὶ ὅτι ὑδύνα, πλὴν αὐτοῦ, καὶ δεδοικέναι κατὰ τὸν λέγοντα. Τιὲ, τίμα τὸν Κύριον, καὶ ἰσχύσεις. Πλὴν δὲ αὐτοῦ, μὴ φοβοῦ ἄλλον. κἀκεῖνος γὰρ ὁ πολεμῶν ἡμῖν, ὑποτεταγμένος αὐτῷ ἐστὶ, κἂν ὑναντιοῦσθαι δοκῇ, τοῦ Θεοῦ συγχωροῦντος τέως. Καὶ γὰρ καὶ αὐτὸς τῆς δούλων ἐστὶ, καὶ τῆς παύτου ἀτιμωμένων, καὶ προσκεκρουκότων. καὶ οὐκ ἂν τολμήσει ὑδενὶ τῆς ὁμοδούλων ἐπιθέσθαι τινὰ, μὴ πρότερον τοῦ αὐθεν ἐξουσίαν λαβών, ὥσπερ ἐπὶ τοῦ Γώβ. Καὶ τί λέγω τῆς ὁμοδούλων; ὐδὲ χοίρων κατατολμῆσαι ἐδυνήθη, ἕως αὐ αὐτὸς ἐπεξέπη, ὡς καὶ κατὰ τῆς ποιμνίων, καὶ βακολίων τοῦ Γὼβ. Παρ. 7. Ματ. 8. Γὼβ. 1.

ΕΡΩΤΗΣΙΣ, ΛΓ'.

Πῶς ὁ Θεὸς ὑπέβαλε τῷ Βαλαὰμ πορευθῆναι πρὸς τὸν Βαλὰκ, καὶ τοῦ Ἀγγέλου αὐτὸν κωλύει;

ΑΠΟΚΡΙΣΙΣ.

Βαλὰκ τοῦ βασιλέως Μωαβιτῶν μεταπεμψαμένου τὸν Βαλαὰμ, ὅπως ἐλθὼν καταράσηται τὸν Ἰσραὴλ, τοῖς πρὸς αὐτὸν ἐλθοῦσιν εἶπεν ὅσα περ αὐτῷ ὁ Θεὸς λελάληκεν. Ὅτι οὐ πορεύσῃ, οὐδὲ μὴ καταράσῃ τὸν Ἰσραήλ. Οὐ πειθεὶς δὲ ὁ Βαλὰκ, ἐπέμψε πρεσκαλούμενος, ὑπειληφὼς καὶ τὸν Βαλαὰμ διαφθείρειν τῇ τῆς δώρων ὑποχέσει, καὶ τὸν Θεὸν πρὸς τὸν ἐκείνου σκοπὸν ὑπνεῦσαι. Τότε τοίνυν ὁ Βαλαὰμ δέων τὲς αὖθις ἐλθόντας ὑποπέμψασθαι, ὡς ἅπαξ ἀπειρηκότος τοῦ Θεοῦ καὶ κωλύσαντος, πάλιν περὶ αὐτῶν ἐπωυθάνετο. Ἀγανακτήσας ἂν ὁ Θεὸς, οὐκέτι τοιαῦτα τῷ Βαλαὰμ, οἷα καὶ πρώην ὑπομένεται, ἀλλὰ φησίν· ἀναστὰς ἀκολούθησον αὐτοῖς. Ὅπερ πολλάκις καὶ ὅλῃ τῆς ἰαζῶν εἰώθει γίνεσθαι, κωλυόντων μὲν ἐθ' ὅτε τῆς βλαβερῶν σιτίων ἀπέχεσθαι, ὑπερρέπως τῆς δὲ ἐχόντων τῆς ἀδενῶν, καὶ A'ειθ. 22.

καὶ ξόπον τινὰ βιαζομένων τὸν ἰαξὸν ὑπεξέφυγε τὴν μετάληψιν, τότε ὁ ἰαξὸς, ὡς ἄπαξ μὴ ἀκουσθεὶς, ὀργιζόμενος ὑπεξέπεσε. Οἶδε γὰρ, ὅτι ἐὰν βέλονται διορθωθῆναι. Ἐποίει δὲ τοῦτο ὁ Θεὸς, ὁμοῦ μὲν ὀργιζόμενος, ἵν' ἔπως εἶπω, ὁμοῦ δὲ καὶ δεῖξαι βουλόμενος, ὅτι κἂν ἀπέλθῃ, ἐὰν δώσονται ὃ θέλει ποιῆσαι, καὶ τὸν λαὸν καταράσασθαι.

ΕΡΩΤΗΣΙΣ, ΛΔ'.

Ποίαν ἴσχυν εἶχεν ἡ τοῦ Μωσέως ἀρὰ, ὅτε διεφώλυσεν αὐτὸν ὁ Θεὸς ἀρᾶσθαι;

ΑΠΟΚΡΙΣΙΣ.

Ἴσχυν μὲν εἶχεν ἐδεμίαν. Ψεύδης γὰρ ἦν ἡ ἐπ' αὐτὸν κατέχυσα δόξα. Ἀλλ' ἐπειδὴ συνεχῶς παρανομῶν ὁ λαὸς, ὑπέμενε θεηλάτους πληγὰς, πρὸς τὴν ἐκείνων ἀθυμίαν ὠκονόμησε ταῦτα. Ἵνα μὴ νομίσωσι παρὰ τοῦ Θεοῦ παιδεύόμενοι, διὰ τὰς τοῦ μωσέως ἀρὰς συμφορᾶις περιπίπτειν, ἐκ εἴασε τὸν μωσῆν χρήσασθαι ταῖς ἀραῖς, ταῖς τῶν ἀνόμων ἁφορμὰς παρεκόπτων. Ἀλλ' ἐκεῖνος μὲν ὁ τὸν ἀληθινὸν ἠρώτα Θεόν. Ἀπεκείνατο δὲ αὐτῷ οὐχ ὁ παρ' αὐτοῦ καλούμενος, ἀλλ' ὁ παρ' αὐτοῦ ἀγνοούμενος. Ἔρχεται γὰρ ὁ Θεὸς καὶ πρὸς ἀσεβεῖς πολλάκις, ὁ δι' αὐτοὺς, ἀλλὰ διὰ τοὺς Ἁγίους. ὡς πρὸς Λάβαν διὰ τὸν Ἰακὼβ, καὶ πρὸς Φαραὼ διὰ τὸν Ἰωσὴφ, καὶ Ναβουχοδονόσορ διὰ τὸν Δανιὴλ, καὶ πρὸς αὐτὸν τὸν διὰ τὸν Ἰσραήλ. Τοιγαροῦν μετὰ βραχὺ μὲν Ἄγγελον μετὰ ῥομφαίας τῷ Βαλαὰμ ἔπεμψε, τοῦ εἰς ὕστερον αὐτόν τε καὶ τὸν Βαλὰκ ἀναίρεσιν ὑπεμφαίνων. Οὕτως γὰρ ὠδὸ καὶ τῆς μιαρᾶς βαλῆς ἐκείνης εἰσηγητὴς, δι' ἧς ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτέσσαρες χιλιάδες, ὡΐνα ἐτελέσθησαν τῷ Βεελφεγὼρ, τῶν Μαδιανιτῶν γυναικῶν ὅτι τῆς ἀθεσίας φανεισῶν, καὶ ἐφελκυσαμένων αὐτοὺς εἰς ἀσέλγειαν, καὶ τοῦ βαλοῦ αὐτοῦ. Φησὶ γάρ. Καὶ τὸν Βαλαὰμ υἱὸν Βεὼρ ἀπέκτειναν ἐν τῷ πολέμῳ Μαδιὰμ μετὰ τῶν ξαυματιῶν, καὶ ἤγαγον τὰ σκῦλα, καὶ ὠργίσθη Μωϋσῆς λέγων. Ἵνα τί ἐζωγρήσατε παῦ θῆλυ; αὗται γὰρ ἦσαν τοῖς υἱοῖς Ἰσραὴλ σκάνδαλον, κατὰ τὸ ῥῆμα Βαλαὰμ, τοῦ δόσασαι καὶ ὑποδεῖν τὸ ῥῆμα Κυρίου ἕνεκεν Βεελφεγὼρ, καὶ ἐγένετο ἡ πληγὴ αὐτῆ.

Γεν. 31. Γεν. 41. Δαν. 4.

Λευϑ. 31.

ΕΡΩΤΗΣΙΣ, ΛΕ'.

Πῶς τὸ δίκαιον σώζεται, τῶν παίδων ὑπὲρ τῶν πατέρων κολαζομένων;

ΑΠΟΚΡΙΣΙΣ.

Ὡς φιλοπαιδίας καὶ πολυπαιδίας πεφροντικότας δεδίττεται ταῖς ἀπειλαῖς, καὶ φησίν. Ἀποδιδοὺς ἁμαρτίας πατέρων ὑπὲ τέκνα, ὑπὲ τρίτων καὶ τετάρτων γένεαν τοῖς μισοῦσί με, καὶ ποιῶν ἔλεος εἰς χιλιάδας καὶ μυριάδας τοῖς ἀγαπῶσί με, καὶ τοῖς φυλάττουσι τὰ προστάγματά μου. Ὅτι δὲ γυμνῷ προσέχειν τῷ γράμματι δυσεβὲς, αὐτὸς ὁ Θεὸς διδάσκει πανταχοῦ νομοθετῶν. Οὐκ ἀποθανοῦνται φησὶ παῖδες ὑπὲρ πατέρων, οὔτε πατέρες ὑπὲρ τέκνων, ἀλλ' ἕκαστος ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται. Καὶ πάλιν ὁ Ἰεζεκιὴλ φησί. Τίς ὑμῖν ἡ παροιμία αὕτη λεγόντων· οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἠμωδίασαν; Ζῶ ἐγὼ, λέγει Κύριος, εἰ ἔσται ἡ παροιμία αὕτη. Ἀλλὰ τὴν φαγόντων τὸν ὄμφακα καὶ αἱμωδίασουσιν οἱ ὀδόντες. Ὅτι πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰσι. Ψυχὴ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται.

Ἐκ τῆς Ἀποστολικῶν Διατυπωμάτων.

Ἕκαστος περὶ ἑαυτοῦ ἀποδώσεται, καὶ ἐ μὴ σωσαπολέσει ὁ Θεὸς τὸν δίκαιον μετὰ τοῦ ἀδίκου. Ἐπείπερ, παρ' αὐτῷ τὸ ἀναμάρτητον ἀτιμώρητον. Οὔτε γὰρ τὸν Νῶε κατέκλυσεν, οὔτε τὸν Λὼτ κατέφλεξεν, οὔτε τὴν Ῥαὰβ σωσαπώλεσεν. Εἰδὲ βούλεσθε γνῶναι καὶ τὰ ἡμῶν χρώμενα, Γέδας σοὶ ἡμῖν ἔλαβε τὸν κλῆρον τῆς διακονίας, ὃν καὶ ἡμεῖς, καὶ Σίμων ὁ μάγος τὴν ἐν Κυρίῳ σφραγίδα. Ἀλλ' ἑκάτερος αὐτῶν ἀναδειχθεὶς φαῦλος, ὁ μὲν ἀπήγξατο, ὁ δὲ παρὰ φύσιν ἱππάμενος συνεβίβη. Καὶ ἐν τῇ κιβωτῷ Νῶε καὶ οἱ υἱοὶ αὐτοῦ ὑπῆρχον, ἀλλὰ πονηρὸς ὁ Χὰμ δίρρεθεὶς, μόνος ἐδέξατο τὴν τιμωρίαν. Εἰ δὲ καὶ πατέρες ὑπὲρ παίδων ἐ τιμωροῦνται, οὔτε υἱοὶ ὑπὲρ πατέρων, δῆλον, ὡς οὔτε γυναῖκες ὑπὲρ ἀνδρῶν, οὔτε οἰκέται ὑπὲρ δεσποτῶν, οὔτε συγγενεῖς ὑπὲρ συγγενῶν, οὔτε φίλοι ὑπὲρ φίλων, οὔτε δίκαιοι ὑπὲρ δικαίων, οὔτε ἄδικοι ὑπὲρ ἀδίκων, ἀλλ' ἕκασος ὑπὲρ τοῦ ἰδίου ἔργου τὸν λόγον ἀπαιτηθήσεται, Οὔτε γὰρ Νῶε ὑπὲρ τοῦ Κόσμου δίκαιον εἰσεφράχθη, οὔτε Λὼτ ὑπὲρ Σοδόμων ἐπυρπολήθη, οὔτε Ῥαὰβ ὑπὲρ Γεργεσαίων ἐσφάγη, οὔτε Ἰσραὴλ ὑπὲρ Αἰγυπτίων κατεποντίθη. Οὐ γὰρ ἡ συνοίκησις συγκαταδικάζει, ἀλλ' ἡ τῆς γνώμης ὁμόνοια. Οὐ τοίνυν ἕτερος ὑπὲρ ἑτέρου ἀποθανεῖται, ἀλλ' ἕκασος σειρᾶις τῶν ἑαυτοῦ ἁμαρτιῶν σφίγγεται. Καὶ ἰδοὺ ἄνθρωπος, καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ, καὶ δικαιοσύνη δικαίου ἐπ' αὐτὸν ἔσται. Ἕκασον καὶ τοὺς ὁδοὺς ὑμῶν κρινῶ ὑμᾶς, οἶκος Ἰσραὴλ, λέγει Κύριος.

Ἐξοδ. 20. Δευτ. 24. Ἰεζ. 18.

Γεν. 7. Γεν. 19. Πράξ. 1. Πράξ. 8.

Γεν. 7. 19.

Παρ. 5.

Ἰεζ. 18.

ΕΡΩΤΗΣΙΣ, ΛϚ'.

Ἰεζ. 7. Πῶς νοητέον τὸ, Οὐκ ἔδωκεν ὁ Θεὸς ὑμῖν καρδίαν εἰδέναι, καὶ ὀφθαλμοὺς βλέπειν, καὶ ὦτα ἀκούειν ἕως τῆς ἡμέρας ταύτης;

ΑΠΟΚΡΙΣΙΣ.

Πρὸς Ρωμ. 1. Ἐξ. 14. Ἡσ. 63. Ἱερ. 20. Ὡς τὸ, Παρέδωκεν ὁ Θεὸς αὐτοὺς εἰς ἀδόκιμον νοῦν, καὶ εἰς πάθη ἀτιμίας. καὶ, Ἐσκλήρωσε τὴν καρδίαν Φαραώ. καὶ, Ἐπλάνησας ἡμᾶς Κύριε ἀπὸ τῆς ὁδοῦ σου, καὶ ἐσκλήρωσας τὰς καρδίας ἡμῶν. καὶ, Ἠπάτησας ἡμᾶς Κύριε, καὶ ἠπατήθημεν, καὶ ὅσα τοιαῦτα. Ἐφ' οἷς ἡ ἀκριβὴς ἐξήνοια, ὡς τὸ ἐξ ἀρχῆς τοῦ Θεοῦ τι τῶν ἀπόπων ἐγγίνεσθαι τῇ ἀνθρωπίνῃ φύσει συμίσησιν, ἀλλὰ κατηγορεῖ τὸ αὐτεξούσιον, ὅπερ ἀγαθὸν μὲν ἐστὶ, καὶ Θεοῦ δῶρον δεδομένον τῇ φύσει. Γέγονε δὲ ἐξ ἀρχῆς τῆς ἀβελίας ἡμῖν δυσάμις τῆς ῥοῆς τὸ ἐναντίον ῥοπῆς. Τοιοῦτον ἐστὶ καὶ τὸ, Πειρασμὸν πονηρὸν ἔδωκεν ὁ Θεὸς τοῖς ἀνθρώποις, διότι τὸ ἀγαθὸν τοῦ Θεοῦ δόγμα, τουτέστιν ἡ αὐτεξούσιος κίνησις, τῇ διημαρτημένῃ τῶν ἀνθρώπων προαιρέσει ὄργανον εἰς ἁμαρτίαν, καὶ πρόσκομμα τῆς ψυχῆς ἐγένετο, ἀπὸ τῆς ὑψηλῶντε, καὶ τιμίων πρὸς τὰς ἐμπαθεῖς τῆς ψυχῆς κινήσεις καταπατηθεῖσα. Τύποις ἔοικε καὶ τὸ ὑπὸ τοῦ Ἡσαΐου καὶ Ἰωάννου τοῦ Εὐαγγελιστοῦ εἰρημένον. Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν. Καὶ τὸ ὑπὸ τοῦ Ἀποστόλου. Ἐν οἷς, φησὶν, ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων. ἀλλὰ τοῦτο μὴ καθ' ὑπερβατὸν ὄξει. Νοεῖται δὲ ὅπως. Ἐν οἷς ὁ Θεὸς τῶν ἀπίστων τούτων τοῦ αἰῶνος τούτου τετύφλωκε τὰ νοήματα. Οἱ γὰρ μὴ πισεύσαντες ἄνθρωποι τῷ Θεῷ, ὅτοι τυφλοῦνται, ἵνα μὴ σωισόντες καταφρονήσωσιν. Ὁ γὰρ ἄλλος, φησὶν, ὁ γνοὺς τὸ θέλημα τοῦ Κυρίου, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς. ὁ δὲ μὴ γνοὺς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. Φεισόμενος ἂν ὁ Θεὸς, τυφλοῖ τὸν νοῦν τῶν ἀπίστων, καὶ ὡς ἀγαθὸς καὶ τοῦτο λέγει. Ἐὰν μὴ πισεύσητε, ἀ μὴ σωθῆτε. διότι φησὶν ὁ Δαβίδ. Οὐκ ἔγνωσαν, οὐδὲ σύνηκαν, ἐν σκότει διαπορεύονται. Πλὴν ἔν καὶ τοῖς ἀνθρωπίνοις πολλάκις κέχρηται λόγοις ἡ Θεία Γραφὴ, ὡς μᾶλλον γνωσιμωτέροις. Εἰώθασι γάρ τινες, μαθηταῖς καὶ οἰκέταις ἐγκαλοῦντες, λέγειν. Ἐτύφλωσεν ὁ Θεὸς τὴν καρδίαν σου. Τοιούτῳ τινὶ καὶ ἐνταῦθα χρησαμένη, διὰ τῆς σωθέντων λόγων, τῆς ἀνοίας αὐτῶν κατηγόρησεν.

Ἡσα. 6. Ἰω. 12. Πρὸς Κορ. β'. 4. Λουκ. 12. Ψαλ. 81.

ΕΡΩΤΗΣΙΣ, ΛΖ'.

Τί δήποτε διὰ μικρὰν πλημμέλειαν πόρρωθεν ὁ Μωϋσῆς ἰδεῖν προσευχήθη τῷ γλυκεῖ, εἰσαγαγεῖν δὲ τὸν λαὸν ἐκωλύθη;

ΑΠΟΚΡΙΣΙΣ.

Σοφ. 6. Λευ. 12. Διδάσκει διὰ τούτων ἡμᾶς ὁ Θεὸς, ὡς τοὺς ἐν ἀρετῇ τελείους τῷ ἀκριβείαν ἀπαιτεῖ. καὶ τοῖς ἄλλοις ἀνθρώποις μεγάλα χαρίζεται μακροθυμῶν, τοῖς Ἁγίοις ταύτης ἀ μεταδίδωσι τῆς συγγνώμης. Τοῦτο καὶ σοφός τις ἔφη. Ὁ μὲν γὰρ ἐλάχιστος, συγγνωστὸς ἐστὶν ἐλέους. Δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται. Καὶ ὁ Κύριος. Ὧ μὲν δώσουσιν ὀλίγον δοθήσεται, ὀλίγον καὶ ἀπαιτήσουσι παρ' αὐτοῦ. Ὧ δὲ πολὺ δοθήσεται, πολὺ καὶ ἀπαιτήσουσι παρ' αὐτοῦ.

Τοῦ Ἁγίου Βασιλείου ἐκ τῶν Ἀσκητικῶν.

Ὅταν ἴδω Μωσέα τὸν τοῦ Θεοῦ θεράποντα, τὸν μέγαν ἐκεῖνον, τὸν τοσοῦτον μὲν καὶ τηλικοῦτον ἀξιωθέντα χαρᾶς Θεοῦ τιμῆς, ὕπω δὲ παρ' αὐτοῦ πολλάκις μαρτυρηθέντα, ὡς ἀκοῦσαι· Εὕρηκάς με χαρᾶς πώποτε, καὶ εὕρηκας χάριν ἐνώπιόν μου· τότον ὅταν ἴδω ὅτι τὸ ὕδατος τῆς αὐτιλογίας, ἴσωσαν δὴ πάντες, ὅτι δι' ὕδατος ἕτερος, ἢ ἵνα μόνον εἴπῃ τῷ λαῷ γογγύζοντι δι' ἀπορίαν ὕδατος· Μὴ ἐκ ταύτης τῆς πέτρας ἐξάξω ὑμῖν ὕδωρ; τότε μόνως σύνεκεν διὰ τοὺς ἀπειλῶ δεχόμενον εἰς τὴν Γῆν τῆς Ἐπαγγελίας οὐκ εἰσελθόσεσθαι, ἤτις ἦν τότε τῆς πρὸς Ἰουδαίους ἐπαγγελιῶν τὸ κεφάλαιον. Ὅταν δ' ἴδω τοῦτον θαυμαλοῦντα, καὶ μὴ συγχωρούμενον, ὅταν ἴδω μηδεμιᾶς συγγνώμης, διὰ τοσαῦτα καπορθώματα, ὅτι τῷ βραχεῖ ἐκείνῳ ῥήματι καταξιούμενον, οὔπως μὲν ὁρῶ Θεοῦ ἀποτομίαν, καὶ τὸν Ἀπόστολον, οὔπως δὲ ἐκεῖνο ἀληθὲς εἶναι πείθομαι, τὸ, Εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς τοῦ φανεῖται; Καὶ τί ταῦτα λέγω; Ἐκείνης ὅταν ἀκούσω τῆς φοβερᾶς τοῦ Θεοῦ ἀποφάσεως, ὡς κατὰ τὸ μίαν ἐντολὴν ἐν ἀγνοίᾳ παραβεβηκότος ἀποφαίνεται, οὐκ ἔχω πῶς ἐπαξίως φοβηθῶ τῆς ὀργῆς τὸ μέγεθος. Γέγραπται γάρ. Ψυχὴ ἐὰν ἁμάρτῃ, καὶ ποιήσῃ μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν τοῦ Κυρίου, ὧν ἃ δεῖ ποιεῖν, καὶ οὐκ ἔγνω, καὶ πλημμελήσῃ, καὶ λάβῃ τὴν ἁμαρτίαν, καὶ οἴσει κριὸν ἄμωμον ἐκ τῶν προβάτων, τιμῆς ἀργυρίου, εἰς πλημμέλειαν πρὸς τὸν ἱερέα, καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ αὐτοῦ, περὶ τῆς ἀγνοίας αὐτοῦ, ἧς ἠγνόησε, καὶ αὐτὸς οὐκ ἤδει, καὶ ἀφεθήσεται αὐτῷ. Εἰ δὲ ὅτι τῶν κατ' ἄγνοιαν οὔπως ἀπαραίτητον τὸ κεῖμα, καὶ ὑπὲρ τῆς καθάρσεως ἡ θυσία ἀναγκαία, ὡς καὶ ὁ Γὼβ ὑπὲρ τῶν υἱῶν αὐτοῦ προσέφερε, τίς ἂν εἴποι περὶ τῆς ἐνγνώσεως;

Ἀριθ. 20. Πρὸς Ρωμ. 11. Πέτρ. α'. 4. Λευϊ. 5. Γώβ. 1.

ΕΡΩΤΗΣΙΣ, ΛΗ.

Διατί ὐκ ἐκώλυσεν ὁ Θεὸς τὸν Ἰεφθάε θῦσαι τῳ θυγατέρα, ὡς ἐκώλυσε τὸν Ἀβραάμ;

ΑΠΟΚΡΙΣΙΣ.

Διότι ὐκ ἐζήλωσε τῆ Ἀβραὰμ τὴν δυσέβειαν, ϗ ἐδέξατο πιστῶς τὴν θυσίαν, εἰ ϗ κακῶς ἤυξατο. Εἰ γὰρ αὐ ϗ τῳ θυγατέρα εἶχε, καθάπερ ἐκεῖνος τὸν υἱόν, ϗ ἐδωκήθη αὐ τῆς δυσεβείας τὸν μισθὸν νομίσαθαι, πλῳ ὅτε ὁ Θεὸς τῦτο ἤτησεν, ὐδὲ ἐδέξατο τῳ ἐναγῆ θυσίαν ἐκείνῳ. Τί γὰρ τῆς τοιαύτης δυχῆς ἀσεβέστερον γένοιτ' ἄν; Καὶ Κύα γὰρ ἐνῳ ἀπαντῆσαι πρῶτον, ϗ Ἵππον, ϗ Ὄνον, ϗ Κάμηλον, ϗ ὅσα εἰκὸς ἰῶ κεκτῆσθαι κρατῆντα τοσῦτο πλῆθος. Διὰ τῦτο ὅτε ὁ πατὴρ ἰῶ ἄξιος τῆς τῦ Ἀβραὰμ δυεργεσίας μῦ τῳ ἀπιστίαν ἐκείνῳ, ϗ μεταμέλειαν, ϗ τὸν ἁρπαγμὸν τῆ ἱματίων, ϗ τὸν θρῶον, ὅτε ἡ θυγάτηρ τῆς τῦ Ἰσαὰκ ζωῆς, μῦ τὸ ἀσεβὲς πνεῦμα, ϗ τὸν ὀλοφυρμὸν τῆ δύο μόνων, ὡς πάσης τὰ συμφορᾶς χαλεπωτέραν εἶναι τῳ θυσίαν παύτῳ κρίνασα. Συνεχώρησε δὲ τῦτο ὁ Θεὸς παιδεύων τὸς τότε, ϗ τὸς ἑξῆς, ἀσφαλῶς μὴν εὔχεσθαι τῷ Θεῷ, ϗ πρεπόντως, ἀμελητὶ δὲ ϗ μῦ πίστεως, ϗ χαρᾶς πληρῶν τὰς ἐπαγγελίας. Ἐνίκησε δὲ ὁ Ἰεφθάε, ὐ δχ τῳ δυχῆ, ἀλλὰ δχ τῳ τῦ Θεῦ δικαιοκρισίαν. Οὐ γὰρ ἔδει δυχῆς ἕνεκεν κακῶς γινομένης ἀφανῖσαι τὸν Ἰσραήλ.

ΕΡΩΤΗΣΙΣ, ΛΘ.

Πῶς νοητέον τὰ ϗ τῳ ἐγγαστρίμυθον;

ΑΠΟΚΡΙΣΙΣ.

Τινὲς φασὶν ἀληθῶς ἀνακαλοῦσαι τὸν Σαμουήλ. Τινὲς δὲ τῦτον μὴν τὸν λόγον ἀναξέφαντες, δαίμονα δέ τινα λαοπλάνον ἔφασαν δεῖξαι τὸ χρῆμα τῦ Σαμουήλ, ϗ εἰπεῖν ἃ πολλάκις ἀπήνεγκε τῦ Σαμουὴλ εἰρηκότος, ἀγνοῆσαι δὲ τὸν χρόνον τῆς τῦ Σαοὺλ τελευτῆς. Ἐγὼ δὲ τὸ μὴν πρῶτον αὐόσιον ἡγοῦμαι. Οὐ πείθομαι γὰρ τὰς νεκρὰς, ὐδὲ τῳ τυχοῦσαν ἀναγαγεῖν ψυχὴν, μήτιγε προφήτα, ϗ τοσῦτο Προφήτα. Δῆλον γὰρ ὡς ἐν ἄλλῳ τινὶ χωρίῳ δέχεσθαι αἱ ψυχαὶ, προσμένουσαι τῳ τῶν σωμάτων ἀνάστασιν. Τοιγαροῦν κομιδῆ δυσεβὲς τὸ πιστεῦσαι τοσαύτῳ ἔχειν τὰς ἐγγαστριμύθους τῳ ἰσχύν. Τὸ δέγε δεύτερον, ἀγνοίας μᾶλλον, ἢ δυσεβείας ἐστί. Τὸν γὰρ αὐόσιον ἐκεῖνον πειραθέντες ἀνασρέψαι λόγον, ψευδῆ τῳ γεγραμμένων ὑπέλαβον προ-

Βασ. ά. 28.

ρήσιν.

ρήσιν. ϗ τῦτο χρεὼν τοῖς τῦ ψευδῦς αὐτῷ διδασκάλοις αὐθῆναι δαίμοσιν. Ἀλλ' ἀκριβέσαν τῆς Βίβλε τῦ Παραλειπομένων λεγούσης ἕτω. Καὶ ἀπέθανε Σαοὺλ ἐν ταῖς ἀνομίαις αὐτῦ, αἷς ἠνόμησε, ϗ τὸν λόγον τῦ Κυρίε, διότι ὐκ ἐφύλαξεν αὐτὸν, δχ τὸ ἐπερωτῆσαι Σαοὺλ ἐν τῇ ἐγγαστριμύθῳ τῦ ἐκζητῆσαι, ϗ ἀπεκρίνατο αὐτῷ Σαμουὴλ ὁ Προφήτης, ϗ ὐκ ἐξεζήτησε Κύριον, ϗ ἀπέκτεινεν αὐτόν. Δῆλον τοίνυν ἐντεῦθεν, ὡς αὐτὸς ὁ Θεὸς χρηματίσας ὡς ἠθέλησε τὸ εἶδος τῦ Σαμουὴλ ἐξενήνοχε τῳ ἀπόφασιν· ϗ τῆς ἐγγαστριμύθε τῦτο δρᾶσαι δυνηθείσης, ἀλλὰ τῦ Θεῦ ϗ δχ τῆ ἐναντίων ἐξενέγκαντος τῳ ψῆφον. ἀκούομεν γὰρ αὐτῦ λέγοντος· κἂν ἀπέλθῃς πρὸς τὸν ψευδοπροφήτην, ἐγὼ Κύριος ἀποκριθήσομαι αὐτῷ. Καὶ γὰρ δχ τῦ δυσεβῦς μαντεως Βαλαὰμ ηὐλόγησε τὸν λαὸν, ϗ τὰ ἐσόμενα προηγόρευσεν· ϗ τῦ μιαρῦ πνεύματος φθεγξαμένε, ἀλλὰ τῦ Θεῖε Πνεύματος ἐνεργήσαντος. Ἐπειδὴ δέ τινες ψευδῆ τῳ προρρήσιν ὑπελήφασιν, ἀναγκαῖον ϗ περὶ τῦτε βραχέα διεξελθεῖν. Προεῖπε δὲ ὁ συγγραφεὺς, ὅτι ἐν ταῖς ἡμέραις ἐκείναις σωαθροίζουσιν οἱ ἀλλόφυλοι τὰς παρεμβολὰς αὐτῶν τῦ ἐξελθεῖν εἰς πόλεμον ἐπὶ Ἰσραὴλ, ϗ ἐξέρχονται, ϗ παρεμβάλλουσιν εἰς Σωνάμ. ϗ σωαθροίζει Σαοὺλ πάντα ἄνδρα Ἰσραὴλ, ϗ παρεμβάλλουσιν εἰς Γελβυέ. ϗ εἶδε Σαοὺλ τῳ παρεμβολῳ τῶν ἀλλοφύλων, ϗ ἐξέστη ἡ καρδία αὐτῦ σφόδρα. ϗ ἐπηρώτησε Σαοὺλ δχ τῦ Κυρίε, ϗ ὐκ ἀπεκρίθη αὐτῷ Κύριος, ὐκ ἐν τοῖς ἐνυπνίοις, ὐκ ἐν τοῖς Δήλοις, ἀλλ' ὐδὲ ἐν τοῖς Προφήταις. Δῆλος δὲ ἐκάλεσε τὰ δχ τῦ Ἐφὼδ σημαινόμενα. Καὶ εἶπε Σαοὺλ τοῖς παισὶν αὐτῦ. Ζητήσατέ μοι γυναῖκα ἐγγαστρίμυθον. Δῆλον τοίνυν, ὡς τῶν Ἑβραίων, ϗ τῶν ἀλλοφύλων ἐρασποδῶν, ἐπεζήτησε τῳ ἐγγαστρίμυθον Σαοὺλ. εἶδε γὰρ τῳ παρεμβολῳ τῶν ἀλλοφύλων, ϗ ἐφοβήθη σφόδρα. Ἀπελθὼν δὲ πρὸς τῳ ἐγγαστρίμυθον, ϗ ἔωθεν δεξάμενος τῳ ἀπόφασιν, σωέπεσε ᾠδυτικά. ὅτε νύκτωρ φαγὼν, ἵνα λάθρα καταλιπὼν τὸ σρατόπεδον, πρὸς τῳ ἐγγαστρίμυθον ἀπωσάμενος παρεγένετο. ὅτε δχ πάσης τῆς ἡμέρας ἐκείνης. δεξάμενος δὲ ᾠδὴ τῆς γυναικὸς ᾠδῆκλησιν ἐδείπνησε, ϗ δχανυκτερεύσας κατέλαβε τῳ ᾠδάπαξιν. φησὶ γάρ. Προσλύεγκε ἐνώπιον Σαοὺλ, ϗ ἐνώπιον τῶν παίδων αὐτῦ, ϗ ἔφαγον, ϗ ἀνασάντες ἀπῆλθον τῳ νύκτα ἐκείνῳ. Εἶπε τῦ φωτὸς ἀνίσχοντος, γέγονεν ἡ ᾠδάπαξις. Ἀληθὴς τοίνυν ἡ προρρήσις, ὅτι ἄνεσιν σε ϗ Ἰωνάθαν τὸν υἱόν σε μῦ σε, ϗ τῳ παρεμβολῳ Ἰσραὴλ δώσει Κύριος εἰς χεῖρας ἀλλοφύλων. Τῶτων δὲ ὐδὲν ἔτι, περὶ ὧν ὁ Σαμουὴλ προείρηκεν, ἀλλὰ μόνον τῆς βασιλείας τῳ σέρησιν· τῦ δὲ Ἰωνάθαν ὐδὲ μίαν ἐποιήσατο μνήμην. ἐνταῦθα δὲ ϗ τῦ Ἰωνάθαν, ϗ τῦ Σαοὺλ προεῖπε τὸν ὄλεθρον, ϗ τῦ λαῦ τῳ ἥτταν, ϗ τῆς ἀλλοφύλων τῳ νίκην. Ἀληθὴς τοιγαροῦν ἡ προρρήσις, Θεία γὰρ ἦν· ὐδὲ τῦ Σαμουὴλ ὡς οἶμαι γεγραμμένου. ἐκείνη μὲν γὰρ εἰρήκει ὃ ἐθεάσατο χρῆμα· ὁ δὲ Σαοὺλ ἐκ τῦ χρήματος ἐτόπασεν εἶναι τὸν

Παραλ. ά. 10.

Βασ. ά. 28. Ἀεῖθ. 24.

Σαμουήλ. Η δὲ ἱστορία τὸ ὀφθὲν Σαμουὴλ ὀνομάζει, δηλῶ τὸ ἔτος ἐκεῖνον τοῦτο ζητῆσαι καὶ πεπισθῆναι. Ὥσπερ γὰρ τοὺς ὀφθέντας τῷ Ἀβραὰμ Ἀγγέλους, καὶ τὸν ἐκείνων Δεσπότην, ἄνδρας ὠνόμασεν, ἐπειδὴ τοῦτο νενομικὼς ὁ Πατριάρχης παρέθηκε βρῶσιν, καὶ τοὺς ὑπ' ὄψιν Θεοὺς, ὠνόμασε Θεοὺς, καὶ ὁ Κύριος ἡμῶν φησὶ πάντας τοὺς Θεοὺς, Οὕτω κἀνταῦθα τὸν ὀφθέντα ἐν χήματι τοῦ Σαμουὴλ, εἴτε Ἄγγελον, εἴτε φάντασμα, τὸ Σαμουὴλ τὸ χῆμα δεικνύον, ὠνόμασε Σαμουὴλ, ἵνα πιστῶς δεξάμενος τὴν ἀπόφασιν τοῦ θανάτου αὐτοῦ, σὺν ὀξέλθῃ τὸν βίον. Κυρίλλου περὶ τῆς ἐν Πνεύματι Λατρείας.

ΛΗρος ἐν καὶ ἀποπληξία δεινὴ τὸ μὴ ἀληθεύειν οἴεσθαι τὴν τοῦ Προφήτου ψυχὴν ψυχραῖς ἐπῳδαῖς γυναίων μυσαρωτάτων καθελκυσθῆναι. Ἐπυθόμην δὲ, ὅτι λόγοις τισὶν ἀπορρήτοις καταγοητεύοντες δαιμόνια, καὶ ὕδατι κατεπάδοντες, εἰδωλά τε καὶ σκιὰς ὡς ἐν ἐσόπτρῳ, σκιὰς καὶ μορφὰς καταθέωνταί τινας, τὰ χαπτὰ τῶν δαιμόνων ὑπαλλαττομένων ἀσείως, τὰ τῶν λεγομένων ἀναμορίζεσθαι χήματα. Τοῖς γε μὴν παροῦσι, καὶ καταλιπεῖν εἰωθόσιν ἀποκαλύπτει Θεὸς, καὶ δι' ὧν ἤκουσα χρὴ ἐδ' ὅτε τὰ ἐσόμενα ἀποκαλύπτει Θεὸς, ἐνηχοῦντων καὶ τὸ εἰκὸς Ἀγίων Ἀγγέλων εἰς ἀνθρώπινον νοῦν.

ΕΡΩΤΗΣΙΣ, Μ'.

Τί ἰῶ τὸ Ἐφὸδ, δι' ὃ ἐπηρώτα ὁ Γερὸς τὸν Θεόν;

Α' ΠΟΚΡΙΣΙΣ.

ΤΟ μὲν ὄνομα αὐτοῦ ἑρμηνευόμενον, δήλωσιν, ἢ λύτρωσιν σημαίνει, τὸ εἶδος αὐτοῦ ἀνθαμιαῖον ὕφασμα ἰῶ, δίπλωι φησὶν ἐκ χρυσονύμφης τέχνης ποικίλης πεποιημένον· καὶ ὃν μὲν τῷ μέσῳ εἶχεν ὥσπερ ἀστέρα ὁλόχρυσον. ἑκατέρωθεν δὲ αὐτοῦ δύο σμαράγδους, ἔχοντας αὐτὰ ἐξ γεγραμμένας πὰς δώδεκα Φυλὰς τοῦ Ἰσραήλ. ὧν δὲ τῷ μεταξὺ τῶν δύο σμαράγδων λίθον ἀδάμαντα. Ἡνίκα γὰν ἔμελλεν ὁ Γερὸς ἐρωτᾶν τὸν Θεὸν περί τινος κεφαλαίου, ἐδέσμει αὐτὸ ἐν τῇ ἐπωμίδι καὶ μέσον τοῦ στέρνου, καὶ ὑπετίθη τὰς χεῖρας αὐτοῦ ὑποκάτωθεν, καὶ ἠυξίσκετο ἐξπλωμένον ἐν ταῖς παλάμαις αὐτοῦ ὥσπερ πυξίον, καὶ ἀποβλέπων εἰς τὸ Ἐφὸδ, ἠρώτα τὸν Θεὸν τὸ ἐρώτημα. Καὶ εἰ μὲν δ' ἄρεσον ἰῶ τῷ Θεῷ τὸ ἐρώτημα, δ' ὀθέως ἤπτετον ὁ ἀδάμας λίθος, καὶ ἐφεγγοβόλει ἀκτῖνας ἐκπέμπων. εἰδὲ οὐκ ἰῶ δ' ἄρεσον, ἔμενε τῇ ἰδίᾳ τάξει ὁ λίθος. Εἰδὲ ἔμελλεν ὁ Θεὸς εἰς μάχαιραν παραδιδόναι τὸν λαὸν, ἐγίνετο αἱματώδης. Εἰδὲ θανατικὸν ἐπισύαι ἤμελλεν, ἐγίνετο μέλας. Τοῦ Χρυσοστόμου ἐκ τοῦ εἰς τὸ ἔνδυμα τοῦ Ἱερέως.

Ἔξοδ. 28.

ΕΝεδιδύσκετο δὲ ὁ Ἀρχιερεὺς ὅτε τὰ παλαιὰ, εἰσιὼν εἰς τὰ Ἅγια τῶν Ἁγίων, ποδήρη, τετέσιν ἱμάτιον ὑπὸ κεφαλῆς μέχρι ποδῶν ἀπαιωρημένον,

μένον, καὶ ἐπωμίδα, ἕτερον ἐπενδύτιον, μέχρι μόνον τῶν μηρῶν κατεχόμενον, καὶ ῥοῦσιν καὶ κώδωνας. Ἐπὶ δὲ τοῦ κεφαλοῦ ἐφόρει τοῦ τιάραν, τετέσι κορυβαντιον, καὶ πέταλον χρυσοῦν, ἐν ᾧ ἐντετύπωτο γράμμασι τὸ τοῦ Θεοῦ Ὄνομα. Ἐπὶ δὲ τῶν ὤμων δύο σμαράγδους, ἔχοντας τὰς ἐξ φυλὰς ἐντεῦθεν, καὶ τὰς ἐξ φυλὰς ἐντεῦθεν. Ἐπὶ δὲ τοῦ στήθους τὸ λόγιον, ἐγκεκολαμμένους ἔχον τοὺς δώδεκα λίθους. Καί φησιν ἰδεῖν ἄλλα μὲν τὰ χήματα, ἄλλα δὲ τὰ νοήματα. Οὐ γὰρ πάντως ὁ Θεὸς ἀπαιτεῖται ὑακίνθου καὶ πορφύρας, ἀλλ' ἐν τοῖς σωματικοῖς αὐθέσι θεωρεῖται τῶν ἀρετῶν τοῦ εἰκόνας. Εἰ γὰρ ἀληθῶς ταῖς ἐνδόξοις ἐκείναις στολαῖς ἀνεπαύετο, διατί φησὶ τοῦ Ἀαρὼν τὸν Μωϋσῆν οὐκ ἐνέδυσεν; ἀλλ' ὁ Μωϋσῆς καὶ γεγυμνωμένος τῆς ἐσθῆτος ἐκείνης, καὶ ἐνδύων αὐτὸν τὰς Ἱερεῖς; Μωϋσῆς γὰρ οὐκ ἐλούσθη ὕδατι, καὶ ἔλουσε· οὐκ ἐχρίσθη ἐλαίῳ, καὶ ἔχρισε· οὐκ ἐφόρεσεν ἱμάτιον ἱερατικὸν, καὶ τὰς ἱερεῖς ἐνέδυσεν· ἵνα μάθῃς ὅτι τῷ καὶ Θεὸν τελείῳ ἀρκεῖ ἡ ἀρετὴ τοῦ κόσμου. Ὥστε ἔν τῷ χήματι τὸ ἱερέως ἐξεικονίζει τὰς ἀρετάς. ἄκουσον ὅτι τῆς κεφαλῆς Ὄνομα Θεοῦ, ὅτι δὲ τὸ στήθος λόγος, καὶ πάντα ἀληθῆ καὶ πάντοι, τὰ τῶν ἀρετῶν κατορθώματα.

Θεοδωρήτου Ἐπισκόπου Κύρου εἰς τὸ ῥητὸν τῆς Ἐξόδου, Ὄνομά μοι Κύριος, καὶ οὐκ ἐδήλωσα αὐτοῖς.

ΔΙδάσκει πόσης τιμῆς, καὶ δ' ῥησεως ἠξίωσεν. Οἱ γὰρ τοῖς Πατριάρχαις οὐκ ἐδήλωσεν ὄνομα, τοῦτο τῷ Μωϋσῇ δῆλον ἐποίησεν. ἔφη γάρ τοῦ πρὸς αὐτόν. Ἐγώ εἰμὶ ὁ Ὤν. τοῦτο δὲ παρ' Ἑβραίοις ἄῤῥητον μὲν ὀνομάζεται. ἀπείρηται γὰρ παρ' αὐτοῖς τοῦτο διὰ γλώσσης προφέρειν. γράφεται δὲ διὰ τῶν τεσσάρων στοιχείων. ὅθεν καὶ τετραγράμματον ἴσως αὐτὸ λέγουσι. τοῦτο δὲ καὶ ὅτι τῷ πετάλῳ ἐγγέγραπτο τῷ χρυσῷ. ὃ τῷ μετώπῳ τοῦ Ἀρχιερέως ἐπετίθετο, τῇ ταινίᾳ τῆς κεφαλῆς προσδεσμούμενον. Καλοῦσι δὲ αὐτὸ Σαμαρεῖται μὲν Γαβὲ, Ἰουδαῖοι δὲ, Αἰά.

Τοῦ Ἁγίου Ἐπιφανίου περὶ τῶν δώδεκα λίθων, τῶν ἐν τῷ λόγῳ τοῦ Ἱερέως ἐμπεπηγμένων.

Α'. ΣΑρδιον, τὸ Βαβυλώνιον καλούμενον, πυῤῥωπὸς μὲν ἐστὶ καὶ αἱματώδης λίθος, γίνεται δὲ ἐν Βαβυλῶνι τῇ πρὸς Ἀσσυρίους γῇ. Ἀχυρὴς δὲ ἐστὶ, δυνάμεως θεραπευτικῆς, ᾧ κέχρηνται οἱ ἰατροὶ, πρὸς δήγματα καὶ πληγὰς ὑπὸ σιδήρου γινομένας ἐπιχειροῦντες.

Β'. ΤΟπάζιον, ἐρυθρὸς μὲν ἐστὶν ὑπὲρ τὸν ἄνθρακα λίθον, γίνεται δὲ ἐν Τοπάζῳ πόλει τῆς Ἰνδίας, τετράγωνος δὲ ὢν ἰατρικῇ ἀκόνῃ, οὐκ ἐρυθρὸν ἀποδίδωσι καὶ τὸ χρῶμα χυμὸν, ἀλλὰ χαλκοπόδη. Ἐμπίπλησι δὲ κραιπάλας καὶ πολλὰς, ὅσας ἂν θέλῃ ὁ ὑποτείνων, καὶ ὅτε τῷ σαθμῷ, ὅτε τῇ ὠφελείᾳ ἐλαττᾶται, χρησιμεύει δὲ ὁ τετράγωνος ἐξ αὐτοῦ

χυμὸς εἰς πάθη ὀφθαλμῶν, καὶ ὡρὸς τὰς ἱδρομανίας πινόμενος, καὶ τοῖς ἀπὸ σαφυλῆς θαλαττίας μανομένοις.

Γ'. Σ Μάραγδος, χλωρὸς μὲν ἐστὶν, ἐν δὲ τοῖς ὄρεσι τοῖς Ἰνδικοῖς ὀρύγοντες οἱ βάρβαροι κάπτουσιν αὐτόν. ἡ δὲ δύναμις αὐτῷ εἰς τὸ ἐσοπτρίζεσθαι τὰ ὡρόσωπα.

Δ'. Α Νθραξ ὀξυφοινισσὸς μὲν ἐστὶ τῇ εἴδει, γίνεται δὲ ἐν Καρχηδόνι τῆς Λιβύης, ἥτις Ἀφρικὴ λέγεται. φασὶ δὲ αὐτὸν μὴ ἐν ἡμέρᾳ, ἀλλ' ἐν νυκτὶ δρύεσθαι. πόρρωθεν γὰρ δίκην λαμπάδος ἡ ἄνθραξ ἀστινθηρακίζων, ὅπῃ ὥραν καπαπαυόμενος. ὑπιγνόντες δὲ οἱ τῶν ζητούντες ὅτι ἔτος ἐστὶν, ἀπέρχονται ὡρὸς τὴν αὐγὴν αὐτῶν, καὶ δρύσσουσιν αὐτόν. βασανιζόμενος δὲ ὁποίοις ἂν ἱματίοις καλυφθείη ἡ αὐγὴ αὐτῶν ἔξωθεν τῆς βολῆς φαίνει.

Ε'. Σ Ἄπφειρος, πορφυρίζων μὲν ἐστὶ, γίνεται δὲ ἐν Ῥυδίᾳ, καὶ Αἰθιοπίᾳ, τελβόμενος δὲ φύματα καὶ ὑδρωπας ἰᾶται σὺν γάλακτι ὑπηρειόμενος τοῖς ἡλκωμένοις τόποις. καὶ ἡ ἐν τῷ ὄρει δὲ τῷ Μωϋσῇ δοθεῖσα νομοθεσία ὑπὸ λίθῳ σαπφείρῳ λέγεται πεφηνέναι.

ϛ'. Ι Ἄσπις, σμαραγδίζων μὲν ὄφιν, δρύσσεται δὲ ὡρὸς τὸ στόμα Θερμώδοντος τοῦ ποταμοῦ, καὶ ὡρὸς Ἀμαθοντίῳ Κύπρου· χρησιμεύει δὲ εἰς τὰς ὑπνώσεις.

Ζ'. Υ Ἀκίνθος ὑακυνθίζων μὲν ὄφιν, δρύσσεται δὲ ἐν τῇ ἐσωτέρᾳ Βαρβαρίᾳ τῆς Σκυθίας. Σκυθίαν δὲ εἰώθασιν καλεῖν οἱ παλαιοὶ τὸ κλίμα ἅπαν τὸ Βόρειον, ὅθεν εἰσὶν οἱ Γότθοι καὶ Δάνες. ἐκεῖ τοίνυν ὄδον ἐν τῇ ἐρήμῳ τῆς μεγάλης Σκυθίας ἔστι φάραγξ λίαν βαθυτάτη, καὶ ἀνθρώποις ἄβατος, ὄρεσι πέτρων ἐντεῦθεν καὶ ἐντεῦθεν ὑψικοισχισμένη, ὥστε ἄνωθεν ἀπ' ἄκρων τῶν ὀρέων ὡσανύφαντά τινα ὡς ἀπὸ τειχῶν μὴ δύνασθαι καταπτύειν τὸ ἔδαφος τῆς φάραγγος, ἀλλ' ἀπὸ τοῦ βάθους ἐσκοτεῖσθαι ὥσπερ τὸ χάος. Οἱ ἐν λάτρει λόμβοι ἀπὸ τῶν ἐκεῖσε πλησιαζόντων βασιλέων, καπάδικοι εἰσὶ καὶ βιαζόμενοι. ὑσαντες δὲ ἀρνὲς καὶ ἐκδείραντες, ῥίπτουσιν ἄνωθεν ἀπὸ τῶν πέτρων εἰς τὸ χάος τῆς φάραγγος, καὶ κολλῶσιν οἱ λίθοι ἐκεῖνοι ἐν τοῖς κρέασιν. ἀετοὶ γὰρ ἐν τοῖς πέτραις ἄνωθεν κατοικοῦντες ὡρὸς τὴν ὀσμὴν τῶν κρεῶν κατέρχονται, καὶ ἀναφέρουσι τοὺς ἀρνὲς ἔχοντας τοὺς λίθους. ἐν δὲ τῷ ἐσθίειν τὰ κρέα, οἱ λίθοι μένουσιν ἐν τῇ ἀκρωρείᾳ τῶν ὀρέων. οἱ δὲ καπάδικοι σκοπεύσαντες πᾶ ἀνήχθησαν ὑπὸ τῶν ἀετῶν τὰ κρέα, ἀπέρχονται, καὶ ἔπειτα φέρουσι τοὺς λίθους. Ἔχουσι δὲ ἐνέργειαν τοιάνδε. Βαλλόμενοι γὰρ ἐπ' αὐθράκων πυρὸς, αὐτοὶ μὲν ἐκλάπτονται, τοὺς δὲ ἄνθρακας καταβυθίζουσιν. ἐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ λαβόντες τὸν λίθον, καὶ θείλήσας ἐν ὀθόνῃ τινὶ, ὑπτιεὶς ἐπ' ἀνθράκων κρατῶν, αὐτὸς μὲν ὑπὸ τῆς πυρᾶς τοῦ χεῖρα φλογίζεται, ἡ δὲ ὀθόνη ἀβλαβὴς παντελῶς μένει. λέγεται δὲ καὶ ταῖς τικτούσαις γυναιξὶν ὀδυνίας χέειν χρησιμεύειν.

Η'. Α Χάτης, ὑακυνθίζων μὲν ἐστὶν, δρύσσεται δὲ καὶ ἔτος ὡρὸς τὰς Σκυθικὰς ἐκείνας χώρας, τελβόμενος δὲ καὶ χιόμενος ὑπὸ τὸ μίτωπον, ἐγγύματος ὑποφέρει πόνον φαρμακίων καὶ ἐχιδνῶν.

Θ'. Α Μέθυστος, φλογίζων μὲν ἐστὶ βαθέως, ἐν δὲ τοῖς ὄρεσιν δρύσσεται τῆς Λύβης, ὡρὸς ταῖς ὄχθαις τῆς θαλάσσης.

Ι'. Χ Ρυσόλιθος, χρυσίζων μὲν ἐστὶν, δρύσσεται δὲ ἐν τῇ Φριατίδι πέτρᾳ ὡρὸς τὸ χεῖλος τῆς Ἀχμηδίδος Βαβυλῶνος. τὴν γὰρ Βαβυλῶνα, καὶ τὸ φρέαρ ἐκεῖνο τῆς πέτρας, Ἀχμηδίδα καλοῦσι. ξιβόμενος δὲ, σομαχικοῖς καὶ κωλικοῖς καὶ κοιλιακοῖς ἰαματικὸς ὑπάρχει.

ΙΑ'. Β Ηρύλλιος, γλαυκίζων μὲν ἐστὶ, γίνεται δὲ ὡρὸς τὰ πέρατα τῶν ὀρῶν τῶν καλουμένων Ταύρων.

ΙΒ'. Ο Νυχίτης, ξανθὸς μὲν ἐστὶν, δρύσσεται δὲ καὶ ἔτος ἐν τῷ αὐτῷ ὄρει.

ΕΡΩΤΗΣΙΣ, ΜΑ'.

Πῶς νοητέον τὸ, Ἐλάλησεν ὁ Σολομὼν ὡρὶ τῶν ξύλων, ἀπὸ τῆς κέδρου ἕως τῆς ὑσσώπου τῆς ἐν τῷ τοίχῳ; Βασ. γ'. 4.

ΑΠΟΚΡΙΣΙΣ.

Καὶ τὰς φύσεις, καὶ τὰς δυνάμεις τῶν βοτάνων καὶ τῶν δένδρων, καὶ μύτοι καὶ τῶν ζώων παίτων τε τὰς φυσιολογήσεις εἴρηκεν. ἐντεῦθεν ὡς ἔοικε καὶ τὰς τὰς ἰατρικὰς βίβλους συγγεγραφότας ἐραπίσαι πάμπολλα, καὶ τῶν θερμῶν, καὶ τῶν ψυχρῶν, καὶ τῶν ξηρῶν, καὶ τῶν ὑγρῶν συνθεῖναι τὰς τάξεις. Καὶ τῆς δὲ τῆς βοτάνης, ποίῳ τινὶ μέρῳ ψυχροτέρα, ἢ θερμοτέρα, καὶ τάδε τῷ ζώῳ τόδε τὸ μόριον, τίνας πάθας ἀλεξιφάρμακον. οἷον ἡ τῆς ὑαίνης χολὴ, ἢ τὸ λεόντιον σέαρ, ἢ τὸ παύειον αἷμα, ἢ τῶν ἐχιδνῶν αἱ σάρκες. Περὶ τούτων γὰρ οἱ σοφοὶ τῶν ἰατρῶν συγγεγράφασιν, ἐκ τῶν τοῦ Σολομῶντος συγγεγραμμένων τὸ πρῶτον λαβόντες τὰς ἀφορμάς. Ὅ τι δὲ περὶ τούτων πάντων πεφυσιολόγηκεν, ἄκυσον αὐτοῦ ἐν τῇ Σοφίᾳ λέγοντος. Ἐν χειρὶ τοῦ Θεοῦ καὶ ἡμεῖς, καὶ οἱ λόγοι ἡμῶν. καὶ αὐτὸς μοι ἔδωκε τῶν ὄντων τὴν γνῶσιν ἀψευδῆ. εἰδέναι σύστασιν Κόσμου, ἐνεργείας στοιχείων, ἀρχὴν καὶ τέλος, καὶ μεσότητα χρόνων, τροπικῶν ἀναλλαγὰς, καὶ μεταβολὰς χρόνων καὶ καιρῶν, ἐνιαυτοῦ κύκλους, καὶ ἀστέρων θέσεις, φύσεις ζώων, καὶ θυμοὺς θηρίων, πνευμάτων βίας, καὶ διαλογισμοὺς ἀνθρώπων, διαφορὰς φυτῶν, καὶ δυνάμεις ῥιζῶν, ὅσα τε ἐστὶ κρυπτὰ, καὶ ἐμφανῆ ἔγνων. Ἡ γὰρ πάντων τεχνῖτις ἐδίδαξέ με Σοφία. Ἐκ τῆς Γ'. τῶν Βασιλειῶν. Κεφ. 4. Σοφ. 7.

Καὶ ἐπληθύνθη ἡ σοφία Σολομῶντος σφόδρα, ὑπὲρ τὴν φρόνησιν πάντων ἀνθρώπων, καὶ ὑπὲρ πάσας φρονίμους Αἰγύπτου. καὶ ἐσοφίσατο

ὑπὲρ

ὑπὲρ πάντας ἀνθρώπους. καὶ ἐλάλησε τρισχιλίας παραβολάς. καὶ ἦσαν αἱ ᾠδαὶ αὐτοῦ πεντακισχίλιαι, καὶ ἐλάλησε περὶ τῶν ξύλων, ἀπὸ τῆς Κέδρου τῆς ἐν τῷ Λιβάνῳ, ἕως τῆς ὑσσώπου τῆς ἐκπορευομένης διὰ τοῦ τοίχου, καὶ ἐλάλησε περὶ τῶν κτηνῶν, καὶ περὶ τῶν πετεινῶν, καὶ περὶ τῶν ἑρπετῶν, καὶ περὶ τῶν ἰχθύων, καὶ περὶ πάντων τῶν ἐπὶ γῆς.

Ἱππολύτου ἐκ τοῦ εἰς τὸ Ἅσμα τῶν Ἀσμάτων.

ΚΑὶ πῶς πᾶσα ἡ πλησία αὕτη γνῶσις; πῶς δὲ τὰ μυστήρια ταῦτα; καὶ πῶς αἱ βίβλοι; ἀναφέρονται γὰρ μόναι αἱ Παροιμίαι, καὶ ἡ Σοφία, καὶ ὁ Ἐκκλησιαστὴς, καὶ τὸ Ἅσμα τῶν Ἀσμάτων. Τί οὖν; φλύαρεται ἡ Γραφή; μὴ γένοιτο. Ἀλλὰ πολλὴ μυστις ὕλη γεγένηται τῶν γραμμάτων, ὡς δηλοῖ τὸ λέγειν Ἅσμα Ἀσμάτων. Σημαίνει γὰρ, ὅτι ὅσα προεῖχον αἱ πεντακισχίλιαι Ὠδαὶ, ἐν τῷ σὺν διηγήσατο. Ἐν δὲ ταῖς ἡμέραις Ἐζεκίου, τὰ μὲν τῶν βίβλων ἐξελέγχθησαν, τὰ δὲ καὶ προσώφθησαν. Ὅθεν φησὶν ἡ Γραφή. Αὗται αἱ Παροιμίαι Σολομῶντος αἱ ἀντέγραψαν, ἃς ἐξεγράψαντο οἱ φίλοι Ἐζεκίου τοῦ Βασιλέως. Πόθεν δὲ ἐξελέξαντο, ἀλλ' ἢ ἐκ τῶν βιβλίων τῶν ἐγκειμένων, ἐν οἷς λέγει τὰς τρισχιλίας προβολάς, καὶ πεντακισχιλίας ᾠδάς; Ἐξ αὐτῶν ἓν τόπων οἱ φίλοι Ἐζεκίου τοῦ βασιλέως σοφοὶ ὑπάρχοντες ἐξελέξαντο τὰ πρὸς οἰκοδομὴν Ἐκκλησίας.

Εὐσεβίου τοῦ Παμφίλου ἐκ τῆς Ἀρχαιολογικῆς Ἱστορίας.

ΤΑ᾽ς δὲ βίβλους τοῦ Σολομῶντος, τὰς περὶ τῶν Παραβολῶν, καὶ ὨΙδῶν, ἐν αἷς περὶ φυτῶν, καὶ παντοίων ζώων, φυσιολογίας χερσαίων, πετεινῶν τε, καὶ νηκτῶν, καὶ ἰαμάτων πάθους παντὸς, γραφείσας αὐτῷ, ἀφανεῖς ἐποίησεν Ἐζεκίας, διὰ τὸ πὰς θεραπείας τῶν νοσημάτων εἴθισ νομίζεσθαι τὸν λαὸν, καὶ παρορᾶν ἐντεῦθεν αἰτεῖν τοῦ Θεοῦ τὰς ἰάσεις.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΜΒ'.

Παρ. 9. Τίς ἐστὶν ἡ Σοφία, ἡ οἰκοδομήσασα ἑαυτῇ οἶκον;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Ἰωά. 1. ΧΡιστὸς, ἡ τοῦ Θεοῦ καὶ Παῤῥὸς Σοφία, καὶ Δύναμις, τὸν ἑαυτοῦ σάρκα οἰκοδομήσας, ὁ Λόγος Σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. Καὶ ἠπείρησε ξύλας ἑπτὰ, τὸν τοῦ Ἁγίου Πνεύματος ἑβδομάδα, ὡς Ἡσ. 11. φησὶν Ἡσαΐας. Καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν ἑπτὰ Πνεύματα τοῦ Θεοῦ. Ἔσφαξε τὰ ἑαυτῆς θύματα, τοὺς Προφήτας, καὶ καιρὸν ἀναιρεμένους ὑπὲρ Ψαλ. 43. τῶν πίσεων ὑπὲρ τῆς ἀληθείας, καὶ βοώντων· Ἕνεκά σε θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ἔπρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον. εἰς τὸν Παρθενὼν τὸν ἑαυτοῦ Θεότητα σώσας τῇ Σαρκὶ ὡς οἶ-

νον

νον ἄκρατον, ὁ Σωτὴρ ἐμεθύσθη ἐξ αὐτῆς ἀσυγχύτως Θεὸς καὶ Ἄνθρωπος. Ἡτοιμάσατο τὸν ἑαυτῆς ξάπεζαν, τὸν ὑπάγνωσιν τῆς Ἁγίας Τριάδος καταγγέλλουσαν. Ἀπέστειλε τὰς ἑαυτῆς δούλας, συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος. Ὅς ἐστιν ἄφρων ἐκκλινάτω πρός με. τοὺς Ἀποστόλους εἰς τὸν σύμπαντα Κόσμον, προσκαλεμένους πάντα τὰ ἔθνη εἰς τὸν ὑπάγνωσιν τοῦ Θεοῦ. Καὶ τοῖς συνέσεσι φρενῶν εἶπε, τοῖς μήπω κεκτημένοις τὸν δύναμιν τοῦ Ἁγίου Πνεύματος. Ἔλθετε φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε τὸν οἶνον, ὃν κεκέρακα ὑμῖν. τὸν Θείαν αὐτοῦ Σάρκα, καὶ τὸ Ἅγιον αὐτοῦ Αἷμα δέδωκεν ἡμῖν ἐδέσιν, καὶ πίνειν εἰς ἄφεσιν ἁμαρτιῶν.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΜΓ'.

Πῶς νοητέον τὸ, Οὐκ ἔστιν ἀγαθὸν σὺ ἀνθρώπῳ, εἰμὴ ὃ φάγεται καὶ ὃ πίεται, καὶ δείξει τῇ ψυχῇ αὐτοῦ ἀγαθὸν σὺ μόχθῳ αὐτοῦ; Ἐκκ. 2.

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

ΟΥ' σαρκικῶς ἐσθίειν, καὶ πίνειν προσάσει ὁ Ἐκκλησιαστὴς, ἀλλὰ πνευματικῶς. Ἐπεὶ ὁ ἐν ταῖς Παροιμίαις εἰπών· Μὴ ἀπατᾶσθε κορτασίᾳ κοιλίας· καὶ, Ἀγαθὸν πορευθῶμεν εἰς οἶκον πότου, ἢ εἰς οἶκον πότου· καὶ, Καρδία σοφῶν ἐν οἴκῳ πότου, καὶ καρδία ἀφρόνων ἐν οἴκῳ εὐφροσύνης· πῶς ἐνταῦθα ὅπου ἀναγκαίως τοὺς οἰκείους λόγους προσέταττεν εὐφραίνεσθαι, καὶ γαστρίζεσθαι; Ἐσθίει δέ τις, καὶ πίνει πνευματικῶς, ἐργαζόμενος τὰς ἐντολὰς τοῦ Κυρίου, τὸν βρῶσιν τὸν μένουσαν εἰς ζωὴν αἰώνιον. Ἐμὸν γάρ φησι βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ Πατρός μου. Παρ. 24. Ἰωάν. 4.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΜΔ'.

Πόσον ἰῶ τὸ μέγεθος τοῦ τοῦ Σολομῶντος Ναοῦ;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

ΤΟ' μὲν μῆκος ἰῶ ἐξήκοντα πηχῶν, τὸ δὲ εὖρος εἴκοσι. Ἐτέτραπτο δὲ ὁ πρὸς Ἕω, ἵνα οἱ προσδυόμενοι μὴ τὸν Ἥλιον ἀΐοντα προσκυνῶσιν, ἀλλὰ τὸν τοῦ Ἡλίου Δεσπότην. Θαυμαζέτω δὲ μηδεὶς, εἰ τῆς Γραφῆς τεσσαράκοντα πηχῶν εἰρηκυίας πέρας τὸ μῆκος, ἐξήκοντα εἶπον ἐγώ. Μετ' ὀλίγα γὰρ καὶ τῶν ἄλλων εἴκοσι ὑπομέμνηται, τὰ Ἅγια τῶν Ἁγίων, ἃ καὶ Δαβεὶρ ὀνομάζει. Οὐκοῦν τὰ μὲν Ἅγια τεσσαράκοντα πηχῶν ἰῶ· τὰ δὲ Ἅγια τῶν Ἁγίων ἄλλων εἴκοσι. Ὁ δὲ Ἰώσηππος διωρφον τὸν Ναὸν γεγυῶσθαι λέγει, καὶ πᾶν τὸ ὕψος ἑκατὸν εἴκοσι πήχεις εἶναι.

Παρ. β'. 3. Οὕτω γὰρ ἡ τῦ Παραλειπομένων Βίβλος δεδήλωκε λέγουσα. Καὶ ἤρξατο Σολομὼν τὸ οἰκοδομῆσαι τὸν Οἶκον τῦ Θεῦ. μῆκος πηχῶν ἡ ἀναμέτρησις ἡ πρώτη ἐξήκοντα, καὶ εὖρος πηχῶν εἴκοσι, καὶ ὕψος πηχῶν ἑκατὸν εἴκοσι, καὶ κατεχρύσωσεν αὐτὸν ἔσωθεν χρυσίῳ καθαρῷ.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΜΕ'.

Πόθεν οἱ Σαμαρεῖται τὴν προσηγορίαν ταύτην ἐσχήκασιν;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Βασ. γ'. 16. Ἐκ τῆς προκειμένης ἱστορίας τοῦτο καταμαθεῖν ἐστὶν εὐπετῶς. Ἐκπίσατο γάρ φησιν Ἀμβρὶ ὁ βασιλεὺς τὸ ὄρος Σωμόρων, ἀπὸ Σεμμὴρ τοῦ κυρίου τοῦ ὄρους δύο ταλάντων ἀργυρίου, καὶ ᾠκοδόμησεν αὐτό, καὶ ἐπεκάλεσε τὸ ὄνομα αὐτοῦ Σωμόρων. τοιγαροῦν ἀπὸ τοῦ Σεμμὴρ ὠνομάσθη τὸ ὄρος Σωμόρων, ἀπὸ δὲ τοῦ ὄρους Σαμάρεια πόλις. Σαμάρεια δὲ ἐστὶν ἡ νῦν Σεβαστεία προσαγορευομένη. Ἐνταῦθα γὰρ ἐως τῆς δέκα φυλῶν τὰ Βασίλεια. Ἐξανδραποδισθεισῶν δὲ τῶν δέκα Φυλῶν, καὶ τῆς πόλεως ἐρήμου γεγενημένης, μετέστησαν ἐκ τῶν ἑῴων μερῶν εἰς ἐκείνας τὰς πόλεις τῆς Ἀσυρίων οἱ βασιλεῖς, Βασ. δ'. 17. πρὸς φυλακὴν τοῦ τόπου, ἔθνη τέσσαρα, τοὺς Κυδαίους, καὶ Κουθαίους, καὶ Σεπφαρουαίους, καὶ Ἀναγαβαίους. ὅτοι δὲ ἐκ τῆς Σαμαρείας, ἐκ τῆς φυλακῆς, ὠνομάσθησαν Σαμαρεῖται, οἱ ἑρμηνεύομενοι φύλακες καὶ τοῦ τῶν Χαλδαίων γλῶσσαν.

Τῇ Ἁγίᾳ Ἐπιφανίῳ ἐκ τοῦ πρὸς Διόδωρον.

Σωμόρων μὲν ἂν ἐκλήθη τὸ ὄρος, καὶ τὰ ὁμοροῦντα, ἀπὸ Σεμμὴρ ἑνὸς τῶν Χαναναίων, πρὶν ἢ ὀπτάνεσθαι τὸν Ἀβραὰμ τῇ γῇ. Ἐλθόντων δὲ τῶν φυλάκων ἐκλήθησαν Σαμαρεῖται, τουτέστι φύλακες· φύλακες δὲ ἦσαν οὐ μόνον τῆς γῆς, ἀλλὰ καὶ τοῦ νόμου. Ἐφύλαττον γὰρ τὸν Πενταπλοῦν μόνῳ, ὡς Βασ. δ'. 17. ἔλαβον ἀπὸ Ἔσδρα τοῦ Ἱερέως, ἵνα ἐκ τούτου ἀπείνῃ τὸ σπέρμα τοῦ Ἀβραάμ, ἀλλ' οὐ τελείως τὸν νόμον ἐφύλαττον. Διὸ φησὶν ἡ Γραφή. Ἐμίαναν ποιοῦντες τὸν Νόμον τοῦ Θεοῦ, καὶ προσκυνοῦντες τὰ εἴδωλα. Τοῦ δὲ Νόμου κελεύοντος εἰδώλοις μὴ προσκυνεῖσθαι, πῶς ἔτι πληρωθήσεται; Ἔχει δὲ ἡ ὑποθέσις τὸν τρόπον τοῦτον. Γνόντες γὰρ οἱ μερεῖς τῶν τεσσάρων ἐθνῶν, ὅτι ἐνέδημησεν Ἔσδρας βδελυττόμενος τὰ εἴδωλα καὶ τὸν νόμον τοῦ Θεοῦ, ἀποδύσαντες ἔκρυψαν τὰ εἴδωλα ἐν τῇ Γαιζὴ ὄρει ἐν μυχῷ τινι, καὶ ἀπέστρεψαν τὴν καρδίαν τῶν Σαμαρειτῶν πρὸς τὸ ὄρος εὔχεσθαι. Ὅθεν ὅπου δ' ἂν ὦσι πρὸς τὸ ὄρος εὔχονται, οἱ ἀπὸ ἀνατολῆς πρὸς δυσμὰς ἀποστρεφόμενοι, καὶ οἱ ἀπὸ δυσμῶν πρὸς ἀνατολὰς, καὶ οἱ ἀπὸ βορρᾶ πρὸς τὴν μεσημβρίαν, καὶ οἱ πρὸς τὸ ἀρκτῷον τῷ ὄρει προσέχοντες εὔχονται, ἵνα πληρωθῇ ἡ Γραφὴ ἡ λέγουσα. Ἐμίαναν ποιοῦντες τὸν νόμον τοῦ Θεοῦ, καὶ προσκυνοῦντες τὰ εἴδωλα αὐτῶν.

Εἰ

Εἰ δὲ καὶ αὐτοὶ ἀγνοοῦσι πεπληρῶν τῶν εἰδώλων ἐκεῖσε, ἀλλὰ ἀδύνατον ἐστὶ τοῦ Θείαν Γραφὴν ψεύσασθαι.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΜΣ'.

Πῶς ὁ Θεὸς διὰ τοῦ νόμου τῷ Ἰσραὴλ τὰς θυσίας προσφέρειν κελεύσας, διὰ Ἱερεμίου φησίν· Οὐκ ἐλάλησα πρὸς τοὺς πατέρας ὑμῶν περὶ θυσιῶν, οὐδὲ περὶ ὁλοκαυτωμάτων ἐνετειλάμην αὐτοῖς; Ἱερ. 7.

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Τοῦτο δὲ καὶ Ἡσαΐας ὑπεμφαίνει λέγων. Αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι. τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; Ὅθεν φησὶν ὁ Δαβίδ. Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας. Ἐντεῦθεν ἔν δῆλον μὴ προηγεμένου εἶναι τῷ Κόσμῳ τοῦτο τῶν θυσιῶν προσαξιν, μηδὲ περὶ ὁλοκαυτωμάτων εἶναι τὸ βούλημα τοῦ τεθεικότος τὸν νόμον τοῦ Θεοῦ, ἀλλὰ συγκαταβαίνοντα τῇ ἐκείνων ἀσθενείᾳ. Ὅτε γὰρ ἐμοχθοποίησαν, καὶ θυσιάζειν ἐπεχείρουν τοῖς οὐκ οὖσι θεοῖς, τότε δὴ μὴ τὸν νόμον καὶ ἡ περὶ θυσιῶν τέθειται ἐντολή. ἵνα τοῦτο ἅπαξ εἰς τὰ μὴ ὄντα μελετηθεῖσαν ἀφάνειαν αὐτῶν, ταύτῃ εἰς τὸν ὄντως ὄντα Θεὸν ἀληθῶς μεταφέρωσιν. Ὅτε δὲ καὶ διὰ σημείων πλείστων, καὶ τεράτων, χρόνῳ προκόψαντες τοῦτο εἰς αὐτὸν γνῶσιν ἐσχήκασιν, εἰ καὶ μὴ ἀκραιφνῆ, τότε δὴ τῶν Προφητῶν ἀνασείει τὰς τῶν ἀλόγων θυσιῶν προσφοράς, καὶ φησίν. Οὐ δέξομαι ἐκ τῶν οἴκων σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους. καὶ, Μὴ φάγωμαι κρέα ταύρων, ἢ αἷμα τράγων πίωμαι; καὶ, Μὴ ἔτι τεσσαράκοντα θυσίαν προσηνέγκατέ μοι ἐν τῇ ἐρήμῳ οἶκος Ἰσραήλ; Ἔλεον γὰρ θέλω, καὶ οὐ θυσίαν. καὶ, Ἰδοὺ ἀγαθὸν ὑπακοὴ ὑπὲρ θυσίαν. καὶ, Θυσία αἰνέσεως δοξάσει με. καὶ, Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως. διὸ φησίν. Αἰνέσω τὸ Ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, καὶ μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει, καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον. Θυσία γὰρ τῷ Θεῷ πνεῦμα συντετριμμένον. τοῦτο δέ ἐστὶ τὸ, Οὐκ ἐλάλησα τοῖς πατράσιν ὑμῶν περὶ θυσιῶν, τουτέστιν, οὐ ταύταις ἠρεσκόμην, ἀλλὰ συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ. Ὅθεν πάλιν διὰ Ἰεζεκιὴλ φησίν. Ἔδωκα αὐτοῖς προστάγματα οὐ καλὰ, καὶ δικαιώματα, ἐν οἷς οὐ ζήσονται ἐν αὐτοῖς. καὶ μιαινῶ αὐτοὺς ἐν τοῖς δόγμασιν αὐτῶν, τουτέστιν, οὐκ ἀξία τῆς ἐμῆς συμπαθείας, οὐδὲ τῷ ζυγῷ τῷ χρηστῷ, ὅνπερ αὐτοῖς ἐπιβαλεῖν ἐβουλόμην ἁρμόττοντα. σκληρὰ δὲ, καὶ οὐ τῇ πραότητι τοῦ νομοθέτου, ἀλλὰ τῇ τῶν νομοθετουμένων ἀλαζονείᾳ ἀναγκαῖα καὶ πρέποντα. Πῶς γὰρ οὐ σκληρὸν τὸ φονεύειν νεκρὸν, ὅπερ γινόμεθα πάντες; ἢ τὸ τοῦ τεθνεῶτα γυναῖκα ἡμέρας πολλὰς ἐν ἀκαθάρτοις κάτεσθαι, ἅτις ὄργανον

Ψαλμ. 49. Ἀμώς. 5. Ματ. 9. Βασ. α'. 15. Ψαλμ. 49. καὶ 68. καὶ 50. Ἰεζ. 20.

τῆ Δημιυργῆ Θεῦ δημιυργίας γεγενῆσθαι; ἢ, τὸ λύειν οἶκον, ἐν ᾧ τις ἠχὶ τοῖς τοίχοις, ἢ ταῖς δοκοῖς ἐγένετο; μὴ γάρ τις ἡμαρτηκέναι τὰς τοίχους, ἢ τὰς δοκὰς ἐρεῖ; ἀλλὰ σκληρῷ χαλινῷ τὸν σκληροτράχηλον λαὸν τῆ Ἰσδαίων δηλῶ τῦτο δαμάσαι ἐβύλετο. Θεοδωρήτε ἐκ τῆς Θεραπευτικῆς.

ΕΝ γὰρ τῆ γῆ Αἰγύπτῳ πλεῖσον ὅσον τὸν Ἰσραὴλ διατρίψαντα χρόνον, ἠ τὰ πονηρὰ τῆ ἐγχωρίων εἰσδεξάμενον ἔθη, ἠ θύειν εἰδώλοις ἠ δαίμοσι παρ' ἐκείνων μεμαθηκότα, ἠ παίζειν, ἠ χορεύειν, ἠ ὀργάνοις μουσικοῖς ὑπτέρπεσθαι, ἠ τάπων ἐν ἕξει γεγόμενον, ἐλευθερῶσαι θελήσας ὁ Θεὸς, θύειν μὴ συνεχώρησεν· ἀλλ' ἃ παύτα θύειν, ἃ δέγε ὅσα τοῖς ψευδωνύμοις τῆ Αἰγυπτίων προσφέρειν θεοῖς, ἀλλ' αὐτῆ μόνῳ τὰς Αἰγυπτίων προσφέρειν θεάς. Ἐθεοποίουν γάρτοι πάλαι ποτὲ ἠ τὸν βῦν Αἰγύπτιοι, ἠή τὸ πρόβατον, ἠ τιὼ αἶγα, ἠ τιὼ Θέριν, ἠ τιὼ ξυγόνα, ἠ ἄλλα ἄττα τῆ ἐκ ἐδωδίμων, ἀλλὰ ἀκαθάρτων καλυμμένα. Ἵνα τοίνυν μὴ δυσχεραίνωσιν, ὡς τῆ θεῶν ἐκείνων πάμπαν κεκωλυμμένοι, τὸ μὲν τοῖς δοκοῦσι θεοῖς ἀπηγόρευσε θύειν, αὐτῆ δὲ θύειν ἐνομοθέτησε, τὰ πρῶτα παρ' αὐτῶν προσκυνούμενα. ἐκ μὲν τῆ χερσαίων τὸν βῦν, ἠ τιὼ αἶγα, ἠ τὸ πρόβατον. ἐκ δὲ τῆ πτηνῶν τιὼ ξυγόνα, ἠ τιὼ Θέριν. ἠ θύειν μὲν δηλῶ τιὼ τῆ θυόντων ἀσθένειαν συγχωρήσας, τὰ δὲ σεβόμενα παρ' αὐτῶν θύεσθαι κελεύσας, ἵνα ἐκ τὸ θύειν μάθωσι μὴ θεὰς νομίζειν τὰ θυόμενα. Διάτοι τῦτο ἠ χαιρείων αὐτὰς μεταλαμβάνειν κρεῶν διεκώλυσεν· ἐπειδὴ τάπων μόνον Αἰγύπτιοι μετελάμβανον, τῆ ἄλλων, ὡς θεῶν ἀπεχόμενοι. ἀκάθαρτα γὰρ νομίζειν παῦτα νομοθετήσας, ἐθίζειν ἐκέλευσε τὰ θεοποιούμενα, ἵνα δ' ἀπαφρόνητα φαίνηται, ὡς παρ' αὐτῶν ἐθιόμενα. Οὐ τοίνυν θυσιῶν, ἢ ὀργάνων ἦχος δεόμενος ὁ Θεὸς, θύειν προστάττει ἠ ὀργανίζειν, ἀλλὰ τῆ ἀθυμείᾳ αὐτῶν συγκαταβαίνων, ἠ τὰ παλαιὰ πάθη αὐτῶν ἰατρεύων παῦτα ἐνομοθέτησε.

Ἐκ τῆς Ἀποστολικῶν Διατάξεων Βιβλ. ε'. Κεφ. 2ᾳ.

ΝΟμος ἐστὶν ἡ Δεκάλογος, ἣν πρὸ τὸ τὸν λαὸν μοχθοποιῆσαι τὸν παρ' Αἰγυπτίοις Ἄπιν, ὁ Θεὸς αὐτοῖς ἐνομοθέτησεν ἀπευθῆ φωνῆ. Διὸ ἠ νόμος λέγεται, δηλῶ τὸ φύσει τὰς κρίσεις δικαίως ποιεῖσθαι· ἀγαθὸς γὰρ ἐστὶ ἠ ἀναπαναγκαστος. ὅθεν φησίν· Ἐὰν ποιήσῃς μοι θυσιαστήριον. Οὐκ εἶπε ποιῆσον, ἀλλ' ἐὰν ποιήσῃς μοι. ἐκ ἀνάγκης προσέθηκεν, ἀλλὰ τῆ ἐξουσία ἐπέτρεψεν ἄπερ ἐλευθέρα. Οὐ γὰρ θυσιῶν δεῖται ὁ Θεὸς, αὐτοδεὴς ὑπάρχων, ἀλλὰ γινώσκων, καθάπερ ἠ ἤδη πρότερον, τὸν φιλόθεον Ἄβελ, ἠ Νῶε, ἠ Ἀβραὰμ, ἠ τὰς καθ' ἑξῆς ἐκ ἀπαιτηθέντας, ἀλλὰ φυσικῷ νόμῳ κινηθέντας ἀφ' ἑαυτῶν προσενέγκαι θυσίαν τῆ Θεῷ ὑπὸ γνώμης δικαίας, ὑπερέπει ἠή νυῦ Ἑβραίοις, ἃ προσάγων, ἀλλ' εἰ βελτιῶσι, συγχωρεῖ, ἠή εἰ ὑπὸ ὀρθῆς προσοίσουσι γνώμης, δι' ὧν τὰς θυσίας αὐτῶν. Διὰ τῦτο φησίν. Εἰ θύειν ὑπεθυμεῖς ἃ δεομένῳ μοι, θύε· ἐδενὸς γὰρ ἐν χρείᾳ

Ἔξοδ. 20.

καθέστηκα. ἐμὴ γάρ ἐστιν ἡ Οἰκουμένη ἠ τὸ πλήρωμα αὐτῆς. Ὁπότων δὲ τέπων ἀμνήμονες ὑπῆρξαν, ἠ μόχον αὐτὶ τὸ Θεὸ ἐπεκαλέσαντο, ἠ τέτῳ τιὼ αἰτίαν τῆς ἐξ Αἰγύπτε πορείας ἐπεγράψαντο λέγοντες· Οὗτοι οἱ θεοί σε Ἰσραὴλ, οἱ ἐξαγαγόντες σε ἐκ γῆς Αἰγύπτε· ἠ τὸν δηλῶ Μωσέως ὑπομενόντων αὐτὸς ἐν τῷ θλίψει αὐτῶν Θεὸν ἠνέσαντο, τότε δὴ ὀργισθεὶς ὁ Θεὸς, ἅτε δὴ ἀχαρισθεὶς ὑπ' αὐτῶν, ἔδησεν αὐτὸς δεσμοῖς ἀλύτοις, τοιβᾶσι φορτισμῦ, ἠ σκληρότητι κλοιῦ, ἠ ἐκ ἔτι εἶπεν· ἐὰν ποιήσῃς· ἀλλὰ ποίησον θυσιαστήριον, ἠ θύε δίλωσιν· ὑπλήσμων γὰρ τυγχάνεις ἠ ἀχάριτος. Οὐκῦν δηλῶ τιὼ σκληροκαρδίαν αὐτῶν ἐπέδησεν αὐτὸς, ὑπὲρ βρωμάτων ἠ ζώων δηλῶσαι, καθαρῶν ἠ ἀκαθάρτων δηλονοτιὼ ποιησάμενος, καίτοι παντὸς ζώε καλῦ ἠ καθαρῦ τυγχάνοντος, ἵνα δηλῶ τῦ θύειν ἠ ἀργεῖν, ἠ ἁγνίζεσθαι, ἠ τὰ τοιάδε θεραπεύεσθαι, εἰς σύνοιαν ἔλθωσι τῦ παῦτα δηλῶσαι αὐτοῖς Θεῦ, ἠ μὴ ὑπολάθωνται αὐτῦ. Σχόλιον.

ΥΠὲρ χρόνον τινὰ ἠ θρόδον τοῖς Αἰγυπτίοις ἐθρυλλᾶτο βῦς, ἔχων σημεῖα τινὰ θεῖ τιὼ γλῶσσαν ἠ τιὼ κέρκον, ἐξ ὧν ἐγνωρίζετο ὅτι Ἄπις ἐστὶν, ἤγεν θεὸς, ὅθεν ἠ ἑορτιὼ ἐποιοῦντο οἱ Αἰγύπτιοι, ὡς θεῦ αὐτοῖς ἐνδημήσαντος, ἠ θρατιθέασι τῆ βοῒ ἐν φάτνῃ παιδαισίαν πολλὴν, διωχετεύοντες τὸν θεὸν αὐτῶν. Ὡσαύτως δὲ ἠ τὸν ξάγον ἐσέβοντο, Μνεῦιν λεγόμενον, ἠ τιὼ αὐτῶν γλῶσσαν, ὡς ἀνακείμενον τῆ γονίμῳ δυνάμει, ἔ τινος Μνεύδητος ἠ ἱερὸν ὑπῆρχεν, ἐν ᾧ ἰῶ ξαγοσκελὴς, ὄρθιον τὸ αἰδοῖον ἔχων. Ἔτι μὴν ἠ τὰς κροκοδείλας ἐσέβοντο, ἠή τὰς ὄφεις, αἰλύρους τε ἠή ἰχθύας, ἐξ ἀλόγε τιμῆς ἑαυτοῖς ἀτιμίαν ποιζόμενοι.

Ἔξοδ. 32.

ΕΡΩΤΗΣΙΣ, ΜΖ'.

Πόσα ἠ ποῖα εἰσὶ τὰ Θεία Ἡλιῦ, ἠ Ἐλισαίε τὰ ἐν Πνεύματι καταρθώματα ἠ ἐνεργήματα;

ΑΠΟΚΡΙΣΙΣ.

ΟΣα μὲν Ἠλίας ἐπὶ πεποίηκεν ἐνεργήματα, ἅπερ εἰσὶ ταῦτα. Α'. Τελετῆ ἐπήγαγεν αὐχμόν. Β'. Ἀλείρε αὔξησιν βραχέος ἠή ἐλαίε τιὼ χεῖρ πλείσιν ἐποίησατο. Γ'. Τὸν παῖδα τῆς χήρας ἀνέστησε. Δ'. Πῦρ ἐξ Οὐρανῦ κατήγαγεν ὑπὲ τιὼ θυσίαν. Ε'. Ὑετὸν κατήγαγεν. ς'. Πυρὶ τὸς πεντηκοντάρχας μετὰ τῆ σιὼ αὐτοῖς κατέφλεξεν. Ζ'. Ἰορδάνην

βραχὺ εἰς πλεῖσον ἤυξησεν. ς'. Ἄτεκνον γυναῖκα τεκνοποιῆσαι πεποίηκεν. Ζ'. Καὶ τὸν ἀποθανόντα ἀνέστησεν. Η'. Ἔψημα θανάσιμον ἰάσατο· μὴ τὸ θρέψαι ἑκατὸν ἄνδρας ἐν λιμῷ ἄρτοις εἴκοσι, καὶ χίδρῳ ὀλίγῳ, ὡς καὶ θρέψασθαι. Θ'. Νεεμὰν τὸν Σύρον τῆς λέπρας ἠλευθέρωσε. Ι'. Γιεζῆ τὸν λειτουργὸν τῇ τοῦ Νεεμὰν λέπρᾳ θεμέβαλεν. ΙΑ'. Σίδηρον ἐξ ὕδατος ἀναπλεῦσαι ἐποίησε. ΙΒ'. Ἀορασίᾳ τοὺς πολεμίους θεμέβαλε. ΙΓ'. Ἀφονίαν σίτου καὶ κειθῆς φυγαδίσας τοὺς πολεμίους εἰργάσατο, προειπὼν τὸν θάνατον τοῦ ἀπεσήσαντος. ΙΔ'. Τὸν ὀπισθόπους νεκρὸν τῷ ἑαυτοῦ σώματι ἀνέστησε. πεπλήρωται δὲ καὶ τὸ φθαρήσεσθαι πολλοὺς ὑπὸ Ἀζαὴλ, καὶ τὰ θεμέβαλε τάδε.

Βασ. δ'. 5.

ΕΡΩΤΗΣΙΣ, ΜΗ'.

Δαν. 2.

Τίς ἡ ὀφθεῖσα εἰκὼν τῷ Ναβυχοδονόσορ;

ΑΠΟΚΡΙΣΙΣ.

Ἡ Εἰκὼν ἐκείνη τύπος ἦν τῆς Βασιλείας παντὸς τοῦ Κόσμου, ἐν οἷς ἐβασίλευσαν τότε Βαβυλώνιοι ὡς κεφαλὴ χρυσῆ τῆς εἰκόνος ὑπάρχοντες. Ἔπειτα Πέρσαι, ὡς ἄργυρος. εἶτα Ἕλληνες ἀπὸ Ἀλεξάνδρου, ὡς χαλκός. μετ' αὐτοὺς Ῥωμαῖοι, ὡς σίδηρος, διὰ τὸ εἶναι αὐτοὺς ἰσχυρούς. εἶτα δάκτυλοι ποδῶν, ἵνα δειχθῶσιν αἱ Δημοκρατίαι, αἱ μέλλουσαι γίνεσθαι, διαιρέμεναι εἰς τοὺς δέκα δακτύλους τῆς εἰκόνος, ἐν οἷς ὁ σίδηρος ἀναμεμιγμένος τῷ ὀστράκῳ. Μετὰ ταῦτα ἐτμήθη Λίθος ἄνευ χειρῶν, καὶ ἐπάταξε τὴν εἰκόνα. τὸ γὰρ σίδηρον μετὰ τοῦ ὀστράκου μιγέντος, καὶ ὅτι τὰ ἄκρα τῶν δακτύλων χωρήσαντος, καὶ ἀσυμφώνων ἐν ἀλλήλοις τῶν ἀνθρώπων ὄντων, τί δεῖ λοιπὸν θορυβεῖν, ἀλλ' ἢ Χριστὸν ἐξ Οὐρανοῦ ἐρχόμενον, ἵνα τὰς τοῦ Κόσμου βασιλείας μετασήσῃ, καὶ ἀνασήσῃ τὴν Ἐπουράνιον Βασιλείαν τῶν Ἁγίων, τὴν αἰώνιον, ἥτις οὐ φθαρήσεται;

Ἐκ τοῦ εἰς τὸν Δανιήλ.

Τῶν δὲ σιδηρῶν κνημῶν, τῶν νῦν ὑπερισχυσῶν, ὅτι τὰ ἴσχνη τῶν ποδῶν καὶ τοὺς δακτύλους χωρησάντων, καὶ τὴν τοῦ φοβεροῦ θηρίου δεῖξιν, καθὼς ἐν τοῖς ἔμπροσθεν καιροῖς σεσήμανται, ἥξει ἀπ' Οὐρανῶν ὁ Λίθος ὁ παράξας τὴν εἰκόνα, καὶ σωτερίσας αὐτὴν, καὶ μετασήσει πάσας τὰς βασιλείας, καὶ δώσει τὴν βασιλείαν Ἁγίοις Ὑψίστου. Οὗτος ὁ ὑφηνηθεὶς Ὄρος μέγα, καὶ πληρώσας τὴν Γῆν, περὶ οὗ εἴρηται· Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ Οὐρανοῦ ἐρχόμενος, ὡς Υἱὸς ἀνθρώπου, καὶ ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν ἔφθασε. καὶ αὐτῷ ἐδόθη ἡ Ἀρχὴ, καὶ ἡ τιμὴ, καὶ ἡ Βασιλεία, καὶ πάντες λαοὶ, φυλαὶ, καὶ γλῶσσαι δουλεύσουσιν αὐτῷ. Ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται, καὶ ἡ Βασιλεία αὐτοῦ οὐ φθαρήσεται.

Δαν. 7.

Ὠ ειγενὴς ἐκ τοῦ πρὸς Μεγέθιον τὸν Μαριωνίτην διάλογος.

Μεγέθιος φησι. Δανιὴλ λέγει. Λίθος ἐτμήθη ἄνευ χειρῶν, καὶ ἐπάταξε τὴν εἰκόνα, καὶ ἐποίησεν αὐτὴν ὡς κονιορτὸν, καὶ ἐξεφυσήθη ὑπὸ ἀνέμου. Δείκνυται ἓν, Χριστὸν μήπω ἐληλυθέναι. εἰ γὰρ ἐληλύθει, οὐκ ἂν ἦν ἑτέρα βασιλεία ἐπὶ τῆς γῆς ὡς ἐδήλωσεν ὁ Δανιήλ. εἰ δὲ πᾶσαι αἱ βασιλείαι συνῆνται, πρόδηλον, μήπω ἐληλυθέναι τὸν διὰ νόμου καὶ προφητῶν κηρυττόμενον Χριστόν. Δαν. 2.

Ὠ ειγενής.

Ἀλλ' ὡς ἔοικε φιλαὶς εἶναι λέγεις τὰς Γραφὰς, καὶ οὐχὶ νοητάς. Οἱ γὰρ Προφῆται, καὶ τὸ Εὐαγγέλιον, δύο Χριστοῦ παρουσίας διασαφοῦσι, μίαν ἐν ταπεινοφροσύνῃ τοῦ πρώτου, καὶ τοῦ μετὰ ταῦτα δευτέραν ἔνδοξον. Καὶ περὶ μὲν τῆς πρώτης Ἡσαΐας οὕτω φησίν. Εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχε κάλλος, οὔτε εἶδος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐλλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Καὶ ἰδοὺ ὁ παῖς μου ὃν ᾑρέτισα, ὁ ἀγαπητός μου, ἐν ᾧ εὐδόκησεν ἡ ψυχή μου. οὐκ ἐρίσει, οὐδὲ κραυγάσει ἐν ταῖς πλατείαις. κάλαμον σωτεθλιμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει. Καὶ ὁ Ζαχαρίας. Χαῖρε σφόδρα θύγατερ Σιών, κήρυσσε θύγατερ Ἱερουσαλήμ. ἰδοὺ ὁ Βασιλεύς σου ἔρχεταί σοι πραΰς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον· ὡς ἐν τῷ Εὐαγγελίῳ δεδήλωται· ὅτι καθίσας ἐπὶ ὄνον εἰσῆλθεν εἰς Ἱερουσαλήμ. Οἶδε δὲ καὶ ὁ Παῦλος τοῦ δευτέραν καὶ ἔνδοξον, λέγων. Ἐν κελεύσματι Θεοῦ, ἐν φωνῇ Ἀρχαγγέλου, ἐν τῇ ἐσχάτῃ σάλπιγγι, καταβήσεται Κύριος ἀπ' Οὐρανοῦ, καθὼς φησὶ καὶ ὁ Δανιήλ. Εἶδον ὡς Υἱὸν ἀνθρώπου μετὰ τῶν νεφελῶν τοῦ Οὐρανοῦ ἐρχόμενον. Λέγει δὲ καὶ ἐν τῷ Εὐαγγελίῳ. Ὥσπερ ἡ ἀστραπὴ ἐκβαίνει ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ Ἀνθρώπου. Δέδεικται ἓν ἡ μὲν πρώτη αὐτοῦ ἔλευσις ἐν ταπεινοφροσύνῃ γεγονυῖα, ἡ δὲ δευτέρα ἐν δόξῃ. ὥστε περὶ τῆς δευτέρας καὶ ἐνδόξου παρουσίας αὐτοῦ εἴρηκεν ὁ Δανιὴλ τοῦτο. Τότε γὰρ πᾶσα βασιλεία καὶ δυναστεία καταλυθήσεται, καὶ βασιλεύσει Κύριος μόνος εἰς τοὺς αἰῶνας. Ὑμεῖς δὲ σφόδρα ἀπατᾶσθε, μὴ νοοῦντες τὰς Γραφὰς, μηδὲ τοῦ δυνάμιν τοῦ Θεοῦ, ἀλλὰ πάντα συγχέοντες, καὶ τοὺς καιροὺς, καὶ τὰ πράγματα. Τοὺς γὰρ δυσεβῶς τὰς Θείας Γραφὰς νοεῖν βουλομένους, ἀναπείνειν προσήκει μετὰ πολλῆς ἀκριβείας τοὺς καιροὺς, καὶ τὰ πρόσωπα, καὶ τὸν σκοπὸν τοῦ λαλοῦντος. Ὁ γὰρ μὴ ταῦτα διακρείνων, εἰς πολλὰς ἀτοπίας θεμπίπτει. Διονυσίου Ἀρεοπαγίτου.

Ἔστι μὲν γὰρ ἄλογον, φησὶ, καὶ σκαιὸν, τὸ μὴ τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν, ἀλλὰ ταῖς λέξεσι. Καὶ τοῦτο οὐκ ἔστι τῶν τὰ Θεῖα νοεῖν θελόντων ἴδιον, ἀλλὰ τῶν ἥκιστα φιλῶν εἰσδεχομένων, καὶ τούτους ἄχρι τῶν ὠπῶν, ἀδιαβάτως ἔξωθεν ἐχόντων, καὶ οὐκ ἐθελόντων εἰδέναι, τί μὲν ἡ τοιάδε λέξις σημαίνει, πῶς δὲ αὐτὴν χρὴ καὶ δι' ἑτέρων ὁμοδυναμούντων, καὶ ἐκφαντικωτέρων λέξεων διασαφῆσαι, προσπαχόντων δὲ στοιχείοις καὶ χαράγμασιν ἀοράτοις, καὶ

Δαν. 7. Ματθ. 24.

συλλαβαῖς, καὶ λέξεσιν ἀγνώστοις, μὴ βαθυνάσας εἰς τὸ τῆς ψυχῆς αὐτῶν νοερὸν, ἀλλ' ἔξω ὡσὶ τὰ χείλη καὶ τὰς ἀκοὰς αὐτῶν βαθυμβυμβραις.

Τὸ Μεγάλε Βασιλείε ἐκ τῦ Διαλόγε.

ΔΕῖ γὰρ τὴν ἀκροατῶν τὰς πεπαιδευμένας, ταῖς Θείαις Γραφαῖς δοκιμάζειν τὰ ὡδὶ τὴν διδασκάλων λεγόμενα. καὶ τὰ μὲν σύμφωνα ταῖς Γραφαῖς δέχεσθαι, τὰ δὲ ἀλλότρια ἀποβάλλεσθαι, καὶ τοῖς τοιούτοις ἐπιμένοντας διδάγμασιν ἀποτρέφεσθαι σφοδρότερον. Οὐαὶ γὰρ τῷ ἀνθρώπῳ φησὶ, δι' ὃ τὸ σκάνδαλον ἔρχεται.

Ματθ. 18.

ΕΡΩΤΗΣΙΣ, ΜΘ'.

Τίνες εἰσὶν αἱ ἑπτὰ ἐπαρυσείδες, ἃς εἶδε Ζαχαρίας;

ΑΠΟΚΡΙΣΙΣ.

Ζαχ. 4. ΚΑὶ ἐπέστρεψεν ὁ Ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, καὶ εἶπε πρός με. Τί σὺ βλέπεις; καὶ εἶπον ἐγώ. Ἑώρακα, καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη, καὶ τὸ λαμπάδιον ἐπάνω αὐτῆς. καὶ ἑπτὰ λύχνοι, καὶ ἑπτὰ ἐπαρυσείδες, καὶ δύο ἐλαῖαι ἐπάνω. Καὶ εἶπέ μοι ὁ Ἄγγελος. Οὗτος ὁ λόγος Κυρίε. Τίς ἔν ἐστιν ἡ λυχνία; ἡ Ἁγία Μαρία. Διατί δὲ Λυχνία; Ὅτι τὸ ἄϋλον φῶς Θεὸν σαρκωθέντα ἐβάστασε. Διατί δὲ χρυσῆ ὅλη; Ὅτι μὴ τόκον Ἰεζεκ. 44. Παρθένος ἔμεινε. Φησὶ γάρ. Ἡ πύλη αὕτη κεκλεισμένη ἔσαι, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς. ἀλλὰ Κύριος ὁ Θεὸς μόνος εἰσελεύσεται, καὶ καθιεῖται. ὅτι αὐτός ἐστιν Ἡγούμενος, καὶ ἐξελεύσεται, καὶ κλείσει τὰς θύρας ὄπισθεν αὐτῆ. Ἰώβ. 3. Ὅτι δὲ ἡ μήτρα πύλη λέγεται, μάρτυς Ἰώβ, λέγων. Διατί δὲ οὐ συνέκλεισας πύλας γαστρὸς μητρός με; Τί δὲ τὸ λαμπάδιον; Ὁ σαρκωθεὶς Θεὸς Ἡσ. 62. Λόγος. Φησὶ γὰρ Ἡσαΐας. Διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ὃ ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη με, τὸ δὲ σωτήριόν με ὡς λαμπὰς καυθήσεται. Τίνες δὲ οἱ ἑπτὰ λύχνοι; Οἱ ἑπτὰ μέρος νόμοι. Φησὶ Ψαλμ. 118. γὰρ, Λύχνος τοῖς ποσί με ὁ νόμος σε. καὶ, Λύχνος ἐντολὴ, νόμος, καὶ φῶς. Πρὸς Ῥωμ. 2. Ὅτι δὲ ἑπτὰ νόμοι εἰσὶν, ἄκουσον. Πρῶτος Νόμος ὁ ἔμφυτος, περὶ ὃ Παῦλός φησιν. Ὅταν ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμε ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσὶ νόμος. Δεύτερος δὲ ὁ διὰ τῆς ὄψεως. ὃν γὰρ Θεὸν ὁ νόμος κηρύττει, τοῦτον ἡ ὄψις διὰ τῶν κτισμάτων πιστεῦται. ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων, ἀναλόγως ὁ Γενεσιάρχης αὐτῶν θεωρεῖται. Πρὸς Ῥωμ. 7. Τρίτος, ἡ ὑπὸ τοῦ ξύλε ἐντολή. Φησὶ γὰρ ὁ Ἀπόστολος. Ὁ μὲν νόμος ἅγιος, ἡ δὲ ἐντολὴ ἁγία, καὶ δικαία, καὶ ἀγαθή. Τέταρτος, ὁ διὰ τοῦ Νῶε ἐν τῇ νεφέλῃ. Πέμπτος, ὁ διὰ τοῦ Ἀβραὰμ, διὰ τῆς περιτομῆς. Ἕκτος, ὁ τοῦ Γράμματος. Ἕβδομος ὁ τῆς Θείας Χάριτος. Ὅτι δὲ ἡ Χάρις νόμον Πρὸς Γαλ. 6. ἔχει, φησὶν ὁ Ἀπόστολος. Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσα-

ρώσατε τὸν νόμον τοῦ Χριστοῦ. Λέγει δὲ καὶ Ἡσαΐας. Ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίε ἐξ Ἱερουσαλήμ, καὶ κρινεῖ ἀναμέσον ἐθνῶν πολλῶν. Τίνες εἰσὶν αἱ ἑπτὰ ἐπαρυσείδες; τὰ ἑπτὰ χαρίσματα τῦ Πνεύματος, ὡς φησὶν Ἡσαΐας. Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης αὐτοῦ ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν ἑπτὰ πνεύματα. Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα βελῆς καὶ ἰσχύος, Πνεῦμα γνώσεως καὶ εὐσεβείας, Πνεῦμα φόβε Θεοῦ ἐμπλήσει αὐτόν. Τίνες αἱ δύο ἐλαῖαι; Αἱ δύο Διαθῆκαι. Ὡς γὰρ ἡ ἐλαία ἀειθαλὲς ἔχει τὸ φύλλον, οὕτως αἱ δύο Διαθῆκαι ἀπαύστως ἔχουσι τὰς περὶ Θεοῦ μαρτυρίας. Ταῦτα πάντα φυλάξας ὁ Δαβὶδ ἔψαλεν. Ἐφύλαξα τὰς ἐντολάς σε, καὶ τὰ μαρτύριά σε Κύριε. καὶ, Καθήλωσον ἐκ τοῦ φόβε σε τὰς σάρκας με. ἀπὸ γὰρ τῶν κριμάτων σε ἐφοβήθην. καὶ, Ἐποίησα κρίμα, καὶ δικαιοσύνην. διότι κρίμα καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας. Καὶ πάλιν φησί. Γινώσκεται Κύριος κρίματα ποιῶν. Οὕτω λοιπὸν πρὸς τοὺς φυλάσσοντας ταῦτα λέγων. Μακάριοι οἱ φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ. Διάτοι τοῦτο ἡ μὲν προφητεία παραινεῖ λέγουσα. Ἐν τῷ πλανᾶσθαι ὁ παυχώμενος, ἐν τῷ συνιέναι, καὶ γινώσκειν τὸν Κύριον, καὶ ποιεῖν κρίμα, καὶ δικαιοσύνην. Ὁ δὲ Κύριος διὰ Ἰεζεκιὴλ φάσκει. Καὶ ὁ ἄνομος ἐὰν ἐπιστρέψῃ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ, καὶ ποιήσῃ κρίμα, καὶ δικαιοσύνην, ζήσεται, καὶ οὐκ ἀποθανεῖται.

Ἡσα. 2.

Ἡσ. 11.

Ἐξ. 20.

Δευ. 30.

Λευϊτ. 24.

Ἐξ. 21.

Ἰεζ. 18.

ΕΡΩΤΗΣΙΣ, Ν'.

Τίς ἡ διαφορὰ τοῦ Νόμε, καὶ Ἐντολῆς;

ΑΠΟΚΡΙΣΙΣ.

Εὐσεβίε.

ΝΌμος μὲν λέγεται ὁ καθόλε. Ἐντολαὶ δὲ, αἱ κατὰ μέρος. οἷον τὸ, Οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, καὶ ὅσα τούτοις ἀπόλυθα. Μαρτυρίαι δὲ, ἅς περ ἂν μετατίνος μαρτυρίας ὁ νομοθέτης παρεγγυᾷ τοῖς ἀκούσιν, ὡς Μωσῆς ἔλεγεν. Διαμαρτύρομαι ὑμῖν σήμερον τὸν Οὐρανὸν, καὶ τὴν γῆν. Κρίματα δὲ, ὅσα κρίναντος τοῦ Θεοῦ καὶ δικαιώσαντος ἐγράφη, ὡς ὅτι τοῦ βλασφημήσαντος τὸ φοβερὸν ὄνομα, Μωϋσῆς ὅτι τὸν Θεὸν ἀναφέρει, οὐκ ὀπτρέψας ἑαυτὸν τὴν κρίσιν. Ἐκεῖνος δὲ λιθοβοληθέντος καὶ τὴν Θείαν προσαξιν, ὅρος ἦτος καὶ κρίμα καὶ τῶν ἄλλων βλασφήμων ἐγένετο. Δικαιώματα δὲ, τὰ τοιαῦτα προστάγματα. Ἐὰν κτήσῃ παῖδα Ἑβραῖον, φησὶν, ἓξ ἔτη δουλεύσεσθαι, καὶ τὰ ἑξῆς. Ταῦτα γὰρ δικαιοσύνης ἐπιβαλλούσης ἔχεται, κλοπῆς, καὶ φόνε, καὶ μοιχείας ἀπαγόρευσις, γονέων τιμὴ, ὅρκων φυλακὴ, καὶ τὰ ὅμοια, ἃ καὶ διὰ τῶν ἀνόμων φυλάττεται.

ΕΡΩΤΗΣΙΣ, ΝΑ.

Τίνες ἐν τῇ Γραφῇ ἕτερα ἔχοντες ὀνόματα, ὕστερον μετωνομάθησαν, καὶ διατί;

ΑΠΟΚΡΙΣΙΣ.

Γεν. 2. Γεν. 3. Γεν. 17. Γεν. 32. Γεν. 25. Γεν. 41. Ἰώβ. 42. Ἀριθ. 13. Δαν. 1. Δαν. 1. Ἰωά. 1. Μάρκ. 3. Πράξ. 9. Πράξ. 13.

Τὰς μετωνυμίας ὅτι τῷ ἁγίων διείσκομεν. Εὔαν μὲν πρῶτον γυναῖκα ἐκάλεσεν ὁ Ἀδάμ. ὅτι ἐκ τοῦ ἀνδρὸς, φησὶν, αὐτῆς ἐλήφθη. Μετὰ δὲ τὴν παράβασιν, μετωνόμασεν αὐτὴν, ζωὴν, ὅτι αὐτὴ μήτηρ πάντων τῶν ζώντων. Ὅτε δὲ ἔγνω αὐτὴν, ἐκάλεσεν αὐτὴν Εὔαν. Δίτερος Ἄβραὰμ, Ἄβραμ ἐκαλεῖτο πρότερον. μετωνομάθη δὲ ὑπὸ τοῦ Θεοῦ ὕστερον Ἄβραὰμ, ὅτι πατὴρ πολλῶν ἐθνῶν ἔμελλεν ἔσεσθαι. Τέταρτον, Σάρρα ἐκαλεῖτο Σάρα. μετωνόμασε δὲ αὐτὴν, ὁ Θεὸς Σάρρα, ὅτι ἔμελλε τίκτειν τὸν Ἰσαάκ. Τέταρτον, Ἰακὼβ, Ἰακὼβ ἐκαλεῖτο, μετωνόμασε δὲ αὐτὸν ὁ παλαίων Κύριος, Ἰσραήλ. Ὅτι ἐνίσχυσάς φησι μὲν Θεῷ, καὶ μὲν ἀνθρώπων ἔση δυνατός. Πέμπτον, Ἡσαῦ, Ἡσαῦ ἐκαλεῖτο. ἐκλήθη δὲ ὕστερον καὶ Ἐδὼμ ὑπὸ τῶν σωπλικιωτῶν, ὅ ἐστὶ πυρρός. Ἕκτον, Ἰωσὴφ, ἐκαλεῖτο Ἰωσήφ. Ὁ δὲ Φαραὼ θαυμάσας τὸ ἐν αὐτῷ πνεῦμα, ἐκάλεσεν αὐτὸν Αἰγυπτιστὶ Ψονθομφανήχ. Ἕβδομον, Ἰὼβ, Ἰωβαὰβ ἐκαλεῖτο. μετὰ δὲ τὴν πληγὴν, Ἰὼβ ἐκλήθη, διὰ τὴν ἀγάπην, ἣν εἶχε πρὸς τὸν Θεὸν, καὶ τὴν ὑπομονὴν αὐτοῦ. Ὄγδοον, Ἀυσῆ ἐκαλεῖτο ὁ υἱὸς Ναυῆ. ὁ δὲ Μωϋσῆς ἡνίκα ἀπέστειλεν αὐτὸν κατασκοπῆσαι τὴν γῆν, μετωνόμασεν αὐτὸν Ἰησοῦν, ὅ ὅστι Σωτηρία λαοῦ. Ἔνατον, Δανιὴλ, ἐκαλεῖτο ὁ Δανιήλ. ὁ δὲ Ναβυχοδονόσωρ ἐκάλεσεν αὐτὸν Βαλτάσαρ, ἀπὸ τὸ ὄνομα τοῦ Θεοῦ αὐτοῦ, ὅτι Πνεῦμα ἅγιον εἶδεν ἐν αὐτῷ. Δέκατον, Ἀνανίας, Ἀζαρίας, καὶ Μισαὴλ ἐκαλοῦντο οἱ ξεῖς παῖδες. Ὁ δὲ Ἀσφανὲζ ὁ εὐνοῦχος τοῦ Ναβυχοδονόσορ, ἐκάλεσεν αὐτοὺς Σεδράχ, Μισάχ, καὶ Ἀβδεναγώ, διὰ τὴν ἀρετὴν αὐτῶν. Ἑνδέκατον. Σίμων ἐκαλεῖτο Πέτρος. ὁ δὲ Κύριος πρὸς αὐτὸν, Σὺ κληθήσῃ Κηφᾶς. ὃ ἑρμηνεύεται Πέτρος. διότι ἔμελλε λέγειν. Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσωμεν τὴν Ἐκκλησίαν. Δωδέκατον. Ἰάκωβος, καὶ Ἰωάννης, υἱοὶ Ζεβεδαίου ἐκαλοῦντο. ὁ δὲ Κύριος ἐκάλεσεν αὐτοὺς Βοανεργὲς, ὅ ἐστιν, Υἱοὶ βροντῆς. διότι ἔμελλον ὡς βροντὴ μεγαληγόρως διαγγελίζεσθαι περὶ τοῦ Κυρίου. Τρεῖς καὶ δέκατον. Παῦλος, Σαῦλος ἐκαλεῖτο, ἕως ἐδίωκε τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ. γνόμβος δὲ Ἀπόστολος, καὶ ἐλθὼν εἰς Πάφον τῆς Κύπρου, μετωνόμασεν αὐτὸν Παῦλον.

ΕΡΩΤΗΣΙΣ, ΝΒ.

Πῶς νοητέον τὸ, Ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδίκων εὐδοκεῖται; Ψαλ. 9.

ΑΠΟΚΡΙΣΙΣ.

Παρὰ τὸ εὐ λέγεσθαι εἴρηται ἐνταῦθα τὸ εὐλογεῖται, τουτέστιν ἐπαινεῖται, καὶ ἐγκωμιάζεται ὑπὸ τῶν κολακευόντων αὐτὸν, καὶ ὑποβιβάντων αὐτοῦ τὴν κακίαν, καὶ μηδὲ αἴσθησιν τῆς νόσου διὰ τῆς σιωπῆς ἐμποιῆσαι ἀνεχομένων. Διὸ καὶ ἀνήνεος ὁ τοιοῦτος διείσκεται. Τὸ γὰρ μηδὲ αἴσθησιν τοῦ πάθους ἔχειν, θεραπείαν ἔτε ἐπιζητεῖ, ἔτε προσίεται. Καὶ τοῦτο ἐστὶ τὸ πάντων δεινότατον, ὅταν ἡ κακία ἐπαινεῖται, καὶ μηδὲ κακία εἶναι νομίζεται. Διὸ χρὴ μάλιστα μὲν εἰ δυνατὸν διορθοῦν τὸν τοιοῦτον, εἰδὲ μὴ, μηδὲ κολακεύειν, μηδὲ ὑποβιβάζειν τὸ πάθος, ἀλλὰ τῇ σιωπῇ αἴσθησιν αὐτῷ τῆς πονηρίας ἐμποιεῖν. Εἰδὲ μηδὲ τοῦτο βούλοιτό τις ποιεῖν, φεύγειν προφασίζου, ἵνα μὴ κοινωνὸς τῆς κακίας ὀφθεὶς, κοινωνὸς αὐτῷ καὶ ἐν ταῖς τιμωρίαις γένηται. Ὥσπερ γὰρ ὁ εἰς ἀρετὴν συνάγων στεφανοῦται κἂν μηδὲν αὐτὸς, τὸ γὰρ ἑαυτοῦ πεπλήρωκεν, οὕτω καὶ ὁ εἰς κακίαν ἀλείφων κολάζεται, κἂν μηδὲν ἰσχύσῃ, τὸ γὰρ ἑαυτοῦ καὶ ἔτος ἐποίησεν.

Ἐκ τῆς Ἀποστολικῶν Διαταξέων.

Ὅταν γὰρ κλέπτῃ δεῖ σωφρονεῖν, ἔτε μετὰ μοιχοῦ μερίδα τίθεσθαι. Ἐπείπερ καὶ ὁ Δαβὶδ φησί· Κύριε, τοὺς μισοῦντάς σε ἐμίσησα, καὶ ὅπι τοὺς ἐχθρούς σε ἐξετηκόμην, τέλειον μῖσος ἐμίσουν αὐτοὺς, εἰς ἐχθροὺς ἐγένοντό μοι. Καὶ τῷ Ἰωσαφὰτ ὀνειδίζει ὁ Θεὸς διὰ τοῦ προφήτου Ἀχαὰβ φιλίαν καὶ συμμαχίαν, διὰ Ἡσαΐου λέγων. Εἰ ἁμαρτωλῷ φιλιάζεις, ἢ μισοῦντι ὑπὸ Κυρίου σὺ βοηθεῖς; Διὰ τοῦτο ἐξαίφνης ὀργὴ Κυρίου ὅπι σὲ ἐγένετο, εἰμὴ ὅτι διέρρηξε καρδίας τελείας πρὸς Κύριον, καὶ λόγοι καλοὶ διέρρηξαν ἐν σοὶ, διὰ τοῦτο ἐφείσατό σου Κύριος. Ψαλμ. 138.

ΕΡΩΤΗΣΙΣ, ΝΓ.

Πῶς νοητέον τὸ, Ὅτι ἐνθύμημα ἀνθρώπου ἐξομολογήσεταί σοι; Ψαλμ. 75.

ΑΠΟΚΡΙΣΙΣ.

Ἡ μὲν ἑορτὴ διφραινομένων ἐστίν· Ἡ δὲ ἐξομολόγησις ἐξεταζομένων. Καὶ τὸ μὲν ἐστὶ λύπης, τὸ δὲ χαρᾶς. Τοῦτο δέ λέγει. ὅτι ἐν τῇ κρίσει αὐτεισηγέμενον τὸ παροδικὸν καὶ ἀτελὲς τοῦ ἀγαθοῦ ἐνθύμημα τοῦ πονηροῦ, καὶ ἀπηρτισμένον ἐνθυμήματι τὸ πλεῖον ἔχει. Τὸ μὲν γὰρ ἐξετάζεται, τὸ δὲ ἑορτῆς καὶ χαρᾶς γίνεται πρόξενον.

Τῦ Ἁγίυ Βασιλείυ ἐκ τῆς Ἑρμηνείας Ἡσαΐε.

Ἑαυτοῖς προσέχωμεν, μήποτε ἀσεβῆ τινα λόγον ἢ ἔργον, κατὰ τυ τῦ προς ἡμᾶς χάριν προσηχθέντες αὐτῦ τῇ συγκαταβάσει. Οὐαὶ γὰρ οἱ λέγοντες τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρόν. οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς, οἱ τιθέντες τὸ πικρὸν γλυκύ, καὶ τὸ γλυκὺ πικρόν. Ησα. 5.

Τῦ Χρυσοστόμυ ἐκ τῦ εἰς τὸν Σαύλ.

Οὐ μόνον τὸ ζηλῶν κακίαν, ἀλλὰ καὶ τὸ τὸς ἐν αὐτῇ ζῶντας ἐπαινεῖν, φέρει κόλασιν χαλεπωτέραν τῦ ἐν πονηρίᾳ ζῶντος. Τὸ γὰρ ἁμαρτάνειν τὸ καὶ ἐπαινεῖν τὸς ἁμαρτάνοντας, πολὺ μεῖζον εἰς κολάσεως φέρει λόγον. Καὶ μάλα εἰκότως· διεφθαρμένης γάρ ἐστι γνώμης καὶ ψυχῆς αὐτὰ νοσούσης ἡ ψῆφος αὕτη. Οὐ γὰρ ἐπαινῶν πονηρίαν, τῆς ἐκ τῦ μετανοῆσαι θεραπείας αὐτὸν ἀπεστέρησεν. ὥστε εἰκότως τῦτο ἐκείνυ χαλεπώτερον ὁ Παῦλος εἶναι νομοθέτησε. Διὰ τῦτο οὐχ οἱ τὰ φαῦλα πράττοντες μόνον, ἀλλὰ καὶ οἱ τύτοις ἐγκωμιάζοντες, τῆς αὐτῆς, ἢ καὶ χαλεπωτέρας ἐκείνοις, κοινωνήσυσι κολάσεως. Προς Ρωμ. 1.

ΕΡΩΤΗΣΙΣ, ΝΔ'.

Πῶς νοητέον τὸ, Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει, καὶ δώσει αὐτῷ ζωὴν, τοῖς ἁμαρτάνυσι μὴ πρὸς θάνατον; Ἰωαν. ά. 5.

Α' ΠΟΚΡΙΣΙΣ.

Μὴ πρὸς θάνατον μὲν ἁμαρτίαν λέγει τὴν ἐν ἀγνοίᾳ, πρὸς θάνατον δὲ τὴν ἐν γνώσει. Οὗτος ἐπάγει. Οὐ περὶ ἐκείνης λέγω, ἵνα ἐρωτήσῃ. Ἐν γὰρ τῇ οἰκείᾳ γνώμῃ ὑπόκειται τὸ ὀπίσω ἐλθεῖν ἑαυτὸν, ἢ πάλιν μὴ ὀπίσω ἐλθεῖν. Ἡ πάλιν ἁμαρτία πρὸς θάνατόν ἐστιν, ἡ εἰς τὸν Θεὸν ἀναβαίνυσα, καὶ οὐκ εἰς τὸν ὁμοφυῆ ἄνθρωπον, περὶ ἧς γέγραπται. Ἐὰν ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύξονται περὶ αὐτῦ πρὸς Κύριον. Καὶ ἐὰν πρὸς Κύριον ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτῦ; Οὐκοῦν τὸ εἰς Θεὸν βλασφημίαν κυρίως λέγει καὶ ἀσέβειαν, ἣν καὶ ὁ Μωσαϊκὸς νόμος θανάτῳ παραδικάζει, καὶ ἐ ζημίᾳ χρηματικῇ, ἢ ἑτέρῳ τινὶ ὀπτιμίῳ. Ὥστε περὶ αἱρετικῶν τῦτο δοκεῖ λέγειν, καὶ ἐ περὶ Ἑλλήνων, ἢ Ἰουδαίων. Οὐ γὰρ ἐκεῖνοι ἐν ἀδελφαῖς ταχθήσονται. Πλὴν ἔν γε καὶ ἡ ἐν συγγνώσει μεγίστη ἁμαρτία, οἷον, φόνος, μοιχεία, ἀνδροκαμία, θανάτου ψυχῆς λέγεται. Βασ. ά. 2.

ΕΡΩΤΗΣΙΣ, ΝΕ'.

Πῶς νοητέον τὸ, Οὓς προέγνω, καὶ προώρισε, τύτυς καὶ ἐκάλεσε. καὶ, Οὐ θέλει ἐλέει, καὶ ὃν θέλει σκληρύνει, καὶ, Οὐ τῦ θέλοντος, οὐδὲ τῦ τρέχοντος, ἀλλὰ τῦ ἐλεῶντος Θεῦ; πολλοὶ δὲ λέγυσιν, ὅτι ὃν θέλει ὁ Θεὸς σώζει, ἢ ἀπολλύει. Πρὸς Ρωμ. 8.

Α' ΠΟΚΡΙΣΙΣ.

Ἄξιον ἐνταῦθα τὸ προοιμιακὸν εἰπεῖν λόγιον, ὅτι ἄνθρωπος λυμαίνεται τὰς ἑαυτῦ ὁδὸς, τὸν δὲ Θεὸν αἰτιᾶται τῇ καρδίᾳ τῇ αὐτῦ. Ὁ γὰρ ἄνθρωπος αὐτεξούσιος ἐστὶ τῆς ἑαυτῦ σωτηρίας καὶ ἀπωλείας. Γέγραπται γὰρ, ὅτι ὁ Θεὸς ἐξ ἀρχῆς ἐποίησεν ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ βουλίυ αὐτῦ, καὶ σύαντι ἀνθρώπῳ ἡ ζωὴ αὐτῦ καὶ ὁ θάνατος, καὶ ᾧ ἐὰν εὐδοκήσῃ δοθήσεται αὐτῷ. Καὶ μὴ ζηλᾶτε θάνατον ἐν πλάνῃ ζωῆς ὑμῶν, μηδὲ ὀπιπτεύσητε ὄλεθρον ἐν ἔργοις χειρῶν ὑμῶν, ὅτι ὁ Θεὸς θάνατον ἐκ ἐποίησε, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων. Διὸ φησὶν ὁ νομοθέτης. Ἴδε ἐγὼ δίδωμι ἐνώπιον ὑμῶν σήμερον εὐλογίας καὶ κατάρας. τὰς εὐλογίας, ἐὰν ἀκύσητε τὰς ἐντολὰς τῦ Θεῦ ὑμῶν· καὶ τὰς κατάρας, ἐὰν μὴ ἀκύσητε τὰς ἐντολὰς Κυρίυ τῦ Θεῦ ὑμῶν. Διαμαρτύρομαι ὑμῖν σήμερον τύτε Οὐρανὸν καὶ τὴν Γῆν, ὅτι τὴν ζωὴν, καὶ τὸν θάνατον δέδωκα πρὸ προσώπυ ὑμῶν· ἐκλέξασθε τὴν ζωὴν, ἵνα ζήσησθε ὑμεῖς, καὶ τὸ σπέρμα ὑμῶν. Τὸ τοίνυν αὐθαίρετον τῆς ζωῆς ἡμῶν καὶ ὁ Ἰὼβ παραδηλῶν λέγει· Τῦ δικαίυ εἰσακύσεται Κύριος· καὶ εἶπεν· Ὅτι ὀπισθρασήσονται ἐξ ἀδικίας. Ἐὰν ἀκύσωσι, καὶ δουλεύσωσι, καὶ συντελέσυσιν τὰ ἀγαθοῖς τὰς ἡμέρας αὐτῶν, καὶ τὰ ἔτη αὐτῶν ἐν εὐφροσύνῃ· ἀσεβεῖς δὲ ἐ δικαιώζει, διὰ τὸ μὴ βούλεσθαι αὐτὸς εἰδέναι τὸν Κύριον. Ὁρᾷς, ὅπως ἡμεῖς ἐσμὲν αἴτιοι τῆς ἑαυτῶν ἀπωλείας, καὶ ὐχ ὁ Θεός; Ὅμως δὲ ὁ Ἀπόστολος εἰπών, Οὓς προέγνω, καὶ προώρισε, λέλυκε τὸ ζητύμενον. Οἷον. προέγνω ὁ Θεὸς τὸ ἀμετανόητον τῦ Φαραὼ, καὶ ἐσκλήρυνε τὴν καρδίαν αὐτῦ τῇ ἀναβολῇ καὶ τῇ μακροθυμίᾳ, ἥτις αὐτὸν εἰς τοσαύτην περιφρόνησιν καὶ θρασύτητα ἤγαγε, ὥστε καὶ ὑποβρύχιον γενέσθαι. Ὡσαύτως προέγνω τὸ διὰ Ἱερεμίυ, καὶ προώρισεν αὐτὸν εἰς σκεῦος ἐκλογῆς. Εἰ τοίνυν ὃν θέλει ὁ Θεὸς σώζει, ὃν δὲ θέλει ὀπολλύσιν, ἔτε ὁ σωζόμενος ἄξιος ἐστὶ μισθῦ, ἔτε ὁ ὀπολλύμενος κολάσεως, καὶ μάτην γέγραπται· Ὅτι σὺ ὀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτῦ. καὶ, Ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον. Καὶ μὴν εἴρηται, ὅτι θέλει πάντας ἀνθρώπυς σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Περὶ δὲ πάλιν τῦ ὐ τῦ θέλοντος, οὐδὲ τῦ τρέχοντος, ἀλλὰ τῦ Ἠσαῦ λέγει, περὶ ἧς καὶ τῦτο εἴρηται, ὅτι ὐ τῦ θέλοντος Ἠσαῦ τὴν εὐλογίαν λαβεῖν τὸν πατέρα, καὶ Δουλ. 30. Ἰωὴλ. 36. Σοφ. 1. Δευτ. 11. Ψαλμ. 61. Προς Κορ. ά. 3. Προς Τιμ. ά. 2. Ἐκκλ. 15.

ξέχοντος καὶ τὴν κέλευσιν αὐτοῦ εἰς τὸ πεδίον θηρεῦσαι θήραμα, ὅπως φαγὼν εὐλογήσῃ αὐτὸν, ἀλλὰ τοῦ ἐλευθέντος Ἰακὼβ ὑπὸ τοῦ Θεοῦ, ἵνα τὸ ἁπλοῦν εἶναι αὐτὸν καὶ ἀγαθὸν, ὁ δὲ Ἡσαῦ ταύτης εἰκότως ἀπέτυχε, διὰ τὸ εἶναι αὐτὸν πόρνον καὶ βέβηλον. Εἰ δὲ καὶ ἐφ' ἡμῶν τοῦτο τις ἐκλάβοι, οὐχ ἁμαρτήσει τοῦ πρέποντος. Καὶ γὰρ ὁ τοῦ θέλοντος μόνον τοῦ ἀρετοῦ, οὐδὲ τοῦ ἔχοντος, καὶ ἀγωνιζομένου ταύτην κατορθῶσαι, ἀλλὰ τοῦ συνεργοῦντος καὶ ἐλεοῦντος Θεοῦ. Οὐ δυνάσθε γὰρ φησι χωρὶς ἐμοῦ ποιῆσαι οὐδέν. Διὸ φησὶν ὁ Ἀπόστολος. Μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν ἐργάζεσθε. Ὁ Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας. Καὶ ὁ Ἐκκλησιαστής. Οὐ τοῖς κούφοις ὁ δρόμος, οὐδὲ τοῖς δυνατοῖς ὁ πόλεμος. καὶ ὁ Δαβίδ. Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες, καὶ ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.

Ἰωά. 15. Πρὸς Φιλ. 2. Ἐκκ. 9. Ψαλμ. 126.

ΕΡΩΤΗΣΙΣ, ΝΣ.

Πῶς νοητέον τὸ, Εἴτινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται ὡς διὰ πυρός;

Πρὸς Κορ. α. 3.

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Χρυσοστόμου.

Τοιοῦτόν, ἐπ οἴσει τὸ πυρὸς τὴν ῥύμην. ἀλλ' ὥσπερ εἴτις χρυσᾶ ὅπλα ἔχων διέλθῃ ποταμὸν πυρὸς, φανερότερον διαβαίνει. εἰδὲ χόρτον ἔχων διέλθῃ, συγκατακαίεται, ὅτω καὶ ὅπου τὰ ἔργων ἐστίν. διὸ καὶ ἔλεγε. Ζημιωθήσεται. Γνῶ μία κόλασις. Αὐτὸς δὲ σωθήσεται, ὅπως δὲ, ὡς διὰ πυρός. Γνῶ καὶ δευτέρα κόλασις. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ἐχὶ καὶ αὐτὸς ὅπως ἀπολεῖται, ὡς τὰ ἔργα, εἰς τὸ μηδὲν χωρῶν, ἀλλὰ μένει ἐν τῷ πυρί. Σωτηρίαν δὲ τὸ πρᾶγμα καλεῖ, τὴν διηνεκῆ ὑπομονὴν ἐν τῷ πυρί. Διὰ τοῦτο φησὶν, ὡς διὰ πυρός. Καὶ γὰρ ἡμῖν ἔθος λέγειν, ἐν τῷ πυρὶ σώζεσθαι περὶ τῶν μὴ κατακαιομένων ῥαδίως, καὶ τεφρουμένων.

ΕΡΩΤΗΣΙΣ, ΝΖ.

Πῶς νοητέον τὸ, Εἰρηνοποιήσας διὰ τοῦ Αἵματος τοῦ Σταυροῦ αὐτοῦ, εἴτε τὰ ὑπὸ τῆς Γῆς, εἴτε τὰ ἐν τοῖς Οὐρανοῖς;

Πρὸς Κολ. 1.

ΑΠΟΚΡΙΣΙΣ.

Τί δέ ἐστι, τὰ ἐν τοῖς Οὐρανοῖς; Τὰ μὲν γὰρ ὑπὸ τῆς Γῆς, εἰκότως. ἔχθρας γὰρ ἐμπέπλησο, καὶ εἰς πολλὰ διήρητο, καὶ πρὸς ἑαυτὸν ἕκαστος ἡμῶν διεστασίαζε, καὶ πρὸς τοὺς πολλούς. τὰ δὲ ἐν τοῖς Οὐρανοῖς πῶς εἰρηνοποίησεν; Ἆρα καὶ ἐκεῖ πόλεμος ἦν καὶ μάχη; καὶ πῶς δυνάμεθα λέγοντες

τες· Γενηθήτω τὸ θέλημά σου ὡς ἐν Οὐρανῷ, καὶ ἐπὶ τῆς Γῆς; Τί ἂν εἴη; Ἀπέχει ἡ Γῆ τοῦ Οὐρανοῦ, καὶ ἐκπεπολεμωμένοι ἦσαν οἱ Ἄγγελοι πρὸς τοὺς ἀνθρώπους, τὸν ἑαυτὸν δεσπότην ὁρῶντες ὑβριζόμενον. Ἀνακεφαλαιώσασθαί φησι τὰ πάντα ἐν τῇ Χριστῷ, τὰ ἐν τοῖς Οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς Γῆς. Πῶς; Μετέσησεν ἐκεῖ τὸν ἄνθρωπον, ἀπήγαγε αὐτοῖς τὸν ἐχθρὸν, καὶ μισέμενον. Τοῦτο εἰρήνη βαθεία. Ἄγγελοι πάλιν ἐπὶ τῆς γῆς φαίνονται λοιπὸν, ἐπειδὴ καὶ ἄνθρωπος ἐν Οὐρανῷ ἐφάνη. Δοκεῖ δέ μοι ἡ ἁρπαγὴ τοῦ Παύλου τούτου σύνεκεν γεγονέναι, καὶ τοῦ δεῖξαι, ὅτι καὶ ὁ Υἱὸς ἐκεῖ ἀνελήφθη. Βούλει μαθεῖν τὴν Ἀγγέλων τὸ μῖσος, ὃ εἶχον πρὸς ἡμᾶς, καὶ πῶς ἀπεστρέφοντο ἀεί; Εἰς τιμωρίαν ἐπέμποντο, ὅτε τὴν Γομόρρας, ὅτε τὸν Ἀβεὶλ, ὅτε τὴν Σοδομιτῶν, ὅτε τῆς Κοιλάδος τοῦ Κλαυθμῶνος. Ἀλλὰ νυνὶ οὐχ οὕτως. Ἀλλ' ἐξ ἐναντίας, ὅτε τῆς γῆς ἦδον σφόδρα χαίροντες, καὶ τότε κατήγαγε πρὸς ἡμᾶς, καὶ ἡμᾶς τοὺς ἀνθρώπους ἀπήγαγε ἐκεῖ. Οὐρανὸς ἡ Γῆ γέγονεν, ἐπειδὴ τὰ τῆς Γῆς ἔμελλον Οὐρανὸς δέχεσθαι. διὰ τοῦτο δυσχεραίνων λέγοντες· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία. Τὸ πρῶτον καὶ ἀριθμὸν ἐθνῶν ἦσαν οἱ Ἄγγελοι, νυνὶ δὲ οὐ καὶ ἀριθμὸν ἐθνῶν, ἀλλὰ καὶ ἀριθμὸν πιστῶν. Ἕκαστος γὰρ πιστὸς Ἄγγελον ἔχει φύλακα, ὡς γέγραπται. Παρεμβαλεῖ Ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. Ἐπεὶ καὶ ἐξ ἀρχῆς ἕκαστος ἀνὴρ τῶν εὐδοκίμων Ἄγγελον εἶχε, καθὼς φησὶν ὁ Ἰακώβ. Ὁ Ἄγγελος ὁ ῥυόμενός με ἐκ νεότητός μου.

Ψαλμ. 33. Γεν. 48.

Τοῦ Ἁγίου Βασιλείου ἐκ τοῦ εἰς τὸν λγ'. Ψαλμόν.

Παντὶ πεπιστευκότι εἰς τὸν Κύριον Ἄγγελος παρεδρεύει, ἐὰν μή ποτε αὐτὸν ἡμεῖς διὰ τῶν πονηρῶν ἔργων ἀποδιώξωμεν. Ὡς γὰρ καὶ τὰς μέλισσας καπνὸς φυγαδεύει, καὶ τὰς ὠφελείας ἐξελαύνει δυσωδία, οὕτω καὶ τὸν φύλακα τῆς ζωῆς ἡμῶν Ἄγγελον ἡ πολύδακρυς καὶ δυσώδης ἀφίησιν ἁμαρτία. Μὴ δῶς γὰρ φησὶν εἰς σάλον τὸν πόδα σου, καὶ ὁ μὴ νυστάξῃ ὁ φυλάσσων σε.

Ψαλμ. 120.

Τοῦ Ἁγίου Ἐπιφανίου ἐκ τοῦ Πανάριον.

Ἐκάστῳ ἔθνει Ἄγγελον ἐφεστάναι φησὶν ἡ Γραφή. Ὁ γὰρ τῷ Δανιὴλ προσδιαλεγόμενος Ἄγγελος, καὶ ἄρχοντα Περσῶν εἶπε, καὶ ἄρχοντα Ἑλλήνων, καὶ τὸν Μιχαὴλ ἄρχοντα τοῦ Ἰουδαίων. Φησὶ δὲ καὶ Μωϋσῆς. Ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν Ἀγγέλων Θεοῦ. Ὅθεν καὶ Ἰωάννης ἐν τῇ Ἀποκαλύψει φάσκει. Λύσον τοὺς τέσσαρας Ἀγγέλους τοὺς ὑπὸ τὸν Εὐφράτην ἐφεσαμένους, δηλονότι, καὶ ἐπεχομένους, ὑπὲρ ἔπειν οἱ ἔθνεσιν εἰς πόλεμον, ἕως καιροῦ μακροθυμίας Κυρίου, καὶ προσάξαι δι' αὐτῶν ἐκδικίαν ὀφείλει τοῖς Ἁγίων αὐτοῦ. Κρατοῦνται γὰρ οἱ ὑπεναντίοι Ἄγγελοι ὑπὸ τὸ πνεύματος, μὴ ἔχοντες καιρὸν ὑποδρομῆς, διὰ τὸ μηδέπω λύειν αὐτοὺς τὸν δίκαιον τοῦ τὰ λοιπὰ ἔθνη λύεσθαι, οἵνεκεν τῆς εἰς τοὺς Ἁγίους ὕβρεως. λύονται γὰρ οἱ τοιοῦτοι, καὶ

Ἀποκ. 9.

ἐπέρχονται τῇ γῇ, ὡς φησὶν ὁ Ἰωάννης, καὶ οἱ Προφῆται. Κινέμβοι δὲ οἱ Ἄγγελοι, κινῶσι τὰ ἔθνη εἰς ὁρμὴν ἐκδικήσεως.

Κυρίλλου ἐκ τῆς περὶ τῆς ἐν πνεύματι λατρείας.

Τὸς Ἁγίους Ἀγγέλους ἴσμεν καὶ ἀπὸ Θεοῦ πεπαγμένους εἶναι τὸ δεῖν τοῖς πεπιστευκόσιν ὑπηρετεῖν, καὶ οἱονεὶ καθηγεῖσθαι λαῶν.

Θεοδωρήτου ἐκ τῆς θεραπευτικῆς.

Ἐπειδὴ δὲ καὶ δαιμόνων ἐμνήσθην λόγου, οἶμαι πρέπον εἶναι καὶ περὶ τούτων εἶναι δοξάζομεν ὑποδεῖξαι. Τούτους γὰρ, καὶ τὸν τούτων ἄρχοντα, Σατανᾶν τὰ Θεῖα προαγορεύει Λόγια. Δηλοῖ δὲ τοὔνομα τὸν ἀποστάτην καὶ τῷ Ἑβραίων φωνῇ, καλεῖ δὲ αὐτὸν καὶ Διάβολον, ὡς τὸν Θεὸν ἀπὸ τοῖς ἀνθρώποις συκοφαντοῦντα καὶ διαβάλλοντα, καὶ αὐτοῖς γε τοῖς ἀνθρώποις ἔριν πρὸς ἀλλήλους καὶ διαμάχην ἐμβάλλοντα. Τούτους ἡμεῖς ὑ πονηρὸς ἐξ ἀρχῆς ἀπὸ τοῦ Θεοῦ δημιουργηθῆναι φαμὲν, ἀλλὰ τῇ ἀποπτώσει τῆς γνώμης ὑπὸ τῆς ἀμεινόνων εἰς τὰ χείρω μεταπεσεῖν, καὶ τοῖς ἀπὸ τοῦ Πεποιηκότος ἀπαχθεῖσιν ὑκ ἀρκεσθέντας, ἀλλ' ὀρεχθέντας μειζόνων, εἰσδέξασθαι μὲν τὸ τύφος τὸ πάθος, ἐκπεσεῖν δὲ, καὶ γυμνωθῆναι καὶ τῆς ἀρχῆθεν αὐτοῖς δοθείσης τιμῆς, εἶπα καὶ τῆς ἀνθρώπων, ὡς εἰκόνι θείᾳ τετιμημένων λυττῆσαι, καὶ τὸν κατ' αὐτῶν ἀναδέξασθαι πόλεμον. Τὸν δὲ Ποιητὴν τῇ μὲν τῆς Ἀγγέλων ὑπεροψίᾳ φθερῆσαι τὴν ἀνθρώπων τὸ γένος, ὅπως μὴ βίᾳ καὶ τυραννίδι χρώμενος ἀοράτως ὁπηνῶν, ὃς καὶ φθόνον ἐμίσησεν, ἀδεῶς διαφθείρῃ, τοῖς δὲ ἀγωνισταὶ ὑκ ἔτι κωλῦσαι δυνάμενον, ἵνα δείξῃ τὸς ἀεὶσους ἢ πάλη, καὶ γένωνται ἀνδραγαθίας ἀρχέτυπα. Οὗ δὴ ἕνεκα τοῖς βιαίαν ἐκείνην προσβολὴν διακωλύσας τῇ τῆς Ἀγγέλων φθορᾷ, τοῖς τῆς λογισμῶν σωτηρίσεν ἀγωνίαν, ὅπως τὰς ἀξιοπίστους ὑποφλέγῃ τῆς σεφανίων ἀξίας· ὑκ αὐτὸς μὲν ἐκεῖνον εἰς αὐτιπάλου τάξιν ὑποπληρώσας, εἰς δέον δὲ τῇ ἐκείνου πονηρίᾳ χρησάμενος, καθάπερ οἱ ἰατροὶ ταῖς ἐχίδναις εἰς νοσημάτων ἀπαλλαγήν.

Νικηφόρου Κωνσταντινουπόλεως ἐκ τοῦ κατ' Εἰκονομάχων.

Ἴσμεν δὲ, καὶ πιστεύομεν, ὅτι τὰς πρὸς Θεὸν δοξολογίας ἡμῶν διὰ τῆς Ἁγίων Ἀγγέλων προσάγεσθαι, εἴπερ ἐστὶν ἀληθὲς τὸ, Οἱ Ἄγγελοι διαπαντὸς βλέπουσι τὸ Πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν Οὐρανοῖς, τί φράττοντες, ἢ τί διεργαζόμενοι, ἢ πάντως γε τὰς αἰτήσεις ἡμῶν εἰς τὰ ὦτα Κυρίου Σαββαὼθ εἰσάγοντες, ἵλεων ἡμῖν αὐτὸν ὑπὸ τοῖς πεφραγμένοις παρασκευάζουσι;

Matθ. 18.

ΕΡΩΤΗΣΙΣ, ΝΗ.

Πῶς νοητέον τὸ, Ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ; Πρὸς Κορ. ά. 8

ΑΠΟΚΡΙΣΙΣ.

Περὶ τῶν εἰδωλοθύτων φησὶν οἴδαμεν, ὅτι πάντες γνῶσιν ἔχομεν. Πολλοὶ γὰρ ἀπὸ Κορινθίους μαθόντες, ὅτι ὑ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα. καὶ ὅτι τὰ εἴδωλα ξύλα, καὶ λίθοι, καὶ δαίμονες, ἔτε βλάπτει, ἔτε ὠφελῆσαι δυνάμενα, ἀμέσως τῇ τελειότητι τῆς γνώσεως ταύτης ἐκέχρωντο, καὶ εἰς τινὰ ἑτέρων, καὶ εἰς τινὰ ἑαυτῶν βλάβην. Καὶ γὰρ εἰδωλεῖα εἰσίεσαν, καὶ τῆς αὐτόθι μετεῖχον ἁπαντες τραπέζης, καὶ μέγαν ἐντεῦθεν τὸν ὄλεθρον ἔτικτον. οἵτε γὰρ ἔτι τῆς εἰδώλων ἔχοντες τὸν φόβον, καὶ ὑκ εἰδότες αὐτῶν καταφρονεῖν, μετεῖχον τῆς δείπνων ἐκείνων. Ἐπειδὴ τὸς τελεωτέρους ἑώρων τοῦτο ποιοῦντας, καὶ τὰ μέγιστα ἐντεῦθεν ἐβλάπτοντο, φησὶν, ἡ γνῶσις αὕτη, ἡ δῆθεν τελειότης, φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. ὅπερ ὃν δηλῶν, ἔλεγεν. Εἰ δέτις ἀγαπᾷ τὸν Θεὸν, οὗτος ἔγνωσται ὑπ' αὐτοῦ. ὥστε ὁ τὸ τελείαν, φησὶ, γνῶσιν ἔχειν κωλύων, ἀλλὰ τὸ μὴ ἀγάπης ταύτην ἔχειν, καὶ πρὸς οἰκοδομήν.

Μαθ. 15.

ΕΡΩΤΗΣΙΣ, ΝΘ.

Διατί φησὶν ὁ Ἀπόστολος, Διδάσκειν γυναικὶ ὑκ ἐπιτρέπω; Πρὸς Τιμ. ά. 2.

ΑΠΟΚΡΙΣΙΣ.

Διότι ἐδίδαξεν ἅπαξ καλῶς τὸν Ἀδάμ. Πρὸ γὰρ τῆς φθορᾶς ὁμότιμος ὢν τῇ αὐδρὶ ἡ γυνή. καὶ οἷς ἐχρήσατο ῥήμασιν ὁ Θεὸς ὑπὲρ τῆς διαπλάσεως τοῦ αὐδρὸς, τούτοις καὶ ὑπὲρ τῆς δημιουργίας τῆς γυναικός. Ὥσπερ γὰρ εἶπεν ἐπ' ἐκείνῳ· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ὑκ εἶπε· Γενηθήτω ἄνθρωπος· οὕτω καὶ ὑπὲρ ταύτης ὑκ εἶπε· γενηθήτω γυνή· ἀλλὰ καὶ ἐνταῦθα· Ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν. Μετὰ δὲ τὴν ἁμαρτίαν· Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. Ἐποίησέ φησὶν ὁμότιμον, καὶ ὑκ ἐχρήσω καλῶς τῇ ἀρχῇ, μεταβῆναι τίνων πρὸς τὸν ὑποταγήν. ὑκ ἠθέλησας τὴν ἐλευθερίαν, καταδέξαι τὴν δουλείαν. ὑκ οἶδας ἄρχειν, φεῦ τοίνυν τῆς ἀρχομένων, καὶ τὸν αὐδρα ὑπήνωθι κύριον, καὶ αὐτός σου κυριεύσει. πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, τουτέστιν ἡ καταφυγή σου, ὁ λιμήν σου, ἡ ἀσφάλειά σου. Διὰ τοῦτο τοίνυν γυναικὶ διδάσκειν ὑκ ἐπιτρέπω φησὶν, οὐδὲ αὐθεντεῖν αὐδρός· καὶ γὰρ ἐδίδαξεν ἅπαξ καλῶς, καὶ αὐθέντησε, καὶ πάντα κατέστρεψεν. ἀλλ' εἶναι ἐν ἡσυχίᾳ. καὶ τὸν ὁμόζυγον αὐτῆς Ἀδὰμ ἔκπτωτον τοῦ Παραδείσου φεύγειν πε-

ποίηκε. Λέγει δὲ καὶ τὴν αἰτίαν. Ἀδὰμ γὰρ φησὶν οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε, διὰ τοῦτο αὐτὴν διὰ τῆς διδασκαλίας φησὶ καταβιβάσαι θρόνου. Οὐ γὰρ διδάσκειν οὐκ εἰδὼς μανθανέτω, εἰδὲ μὴ βέλοιτο μανθάνειν, ἀλλὰ διδάσκειν, καὶ ἑαυτὸν καὶ τοὺς μανθάνοντας φροσαπολλύει. Ὅπερ ἦν καὶ ὅτε τῆς γυναικὸς τότε γέγονε. Καὶ διὰ τοῦτο φησί. Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω, καὶ ἐν πάσῃ ὑποταγῇ. ἡ γὰρ ἀνυποταξία αὐτῆς καὶ αὐθάδεια, παγκόσμιον ὄλεθρον καὶ ναυάγιον ἐπήγαγε. Φησὶ γὰρ ὁ Σοφός. Ἀπὸ γυναικὸς ἀρχὴ ἁμαρτίας, καὶ δι' αὐτὴν ἀποθνήσκομεν πάντες. Λέγει δὲ καὶ ὁ Παροιμιαστής. Πολὺς ἐκπώσασα καταβέβληκε, καὶ ἀναίθμητοι εἰσὶν ὃς πεφόνευκε. διὸ καὶ παραινεῖ λέγων. Μὴ πρόσεχε φαύλῃ γυναικί. μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ὁ πρὸς καιρὸν γλυκαίνει σὸν φάρυγγα, ὕστερον μέντοι πικρότερον χολῆς δρήσεις, καὶ ἀκονημένον μᾶλλον μαχαίρας δισόμυ. Καὶ, Γυνὴ ἀνδρῶν τιμίων ψυχὰς ἀγρεύει, καὶ ἀνεπτερωμένη ἐστί, καὶ ἄσωτος· ἐν οἴκῳ δὲ οὐκ ἡσυχάζουσιν οἱ πόδες αὐτῆς. χρόνον γάρ τινα ἔξω ῥέμβεται, χρόνον δὲ ἐν πλατείαις καὶ πᾶσαν γωνίαν ἐνεδρεύει. καὶ ὁδοὶ ᾅδου οἶκοι αὐτῆς, καταγουσαι εἰς ταμεῖα θανάτου, καὶ οὐκ ἀπέστησαι αἰχμάλωτι. ἐκάθησε γὰρ ὅτι θύραις τοῦ ἑαυτῆς οἴκου, ὅτι δίφρου ἐμφανῶς ἐν πλατείαις, προσκαλεμένη τοὺς παριόντας. Καὶ, Ἄδης, καὶ ἔρως γυναικός, καὶ πάρταρος, καὶ γῆ οὐκ ἐμπιπλαμένη ὕδατος, καὶ πῦρ, καὶ ὕδωρ, ἃ μὴ εἴπωσιν ἀρκεῖ. Καὶ τοιαύτη ὁδὸς μοιχαλίδος, ἣ ὅταν θραξὶν ὑπονυμφεύσῃ, ἁδὲν φησὶ παραλιπεῖν ἄπορον. Καὶ, Κρεῖσσον οἰκεῖν ἐν γῇ ἐρήμῳ, ἢ μετὰ γυναικὸς γλωσσώδους καὶ μαχίμου. Καὶ, Ὥσπερ σκώληξ ἐν ξύλῳ, οὕτως ἄνδρα ἀπόλλυσι γυνὴ κακοποιός. Καὶ, Ὥσπερ σαγόνες ἐκβάλλουσιν ἄνθρωπον ἐν ἡμέρᾳ χειμερινῇ ἐκ τοῦ οἴκου αὐτῆς, οὕτως γυνὴ λοίδορος ἀπὸ τοῦ ἰδίου οἴκου. Καὶ, Ὥσπερ σκώληξ ξύλον καὶ ῥινὶ ὗς, οὕτως γυναικὶ κακόφρονι κάλλος. Καὶ ὁ Ἐκκλησιαστής. Εὑρίσκω φησὶ πικρότερον ὑπὲρ τὸν θάνατον τὴν γυναῖκα, ἥτις ἐστὶ θήρευμα καὶ σαγήνη καρδίας, δεσμὸς δὲ χερσὶν αὐτῆς, καὶ ἀγαθὸς μὲν πρὸ προσώπου τοῦ Θεοῦ ἐξαιρεθήσεται ἀπ' αὐτῆς, ὁ δὲ ἁμαρτάνων συλληφθήσεται δι' αὐτῆς. Καὶ ἄνδρα εὗρα ἀπὸ χιλίων εὗρον ἀγαθὸν, γυναῖκα δὲ ἐν πᾶσι τούτοις οὐχ εὗρον. Ὡσαύτως καὶ ὁ Σειρὰχ παραινεῖ λέγων. Μὴ δῷς γυναικὶ ἐξουσίαν ἐπὶ τῷ ὑποστῆναί σε. Καὶ, Κρεῖσσον γὰρ πονηρία ἀνδρὸς, ἢ ἀγαθοποιὸς γυνή. Καὶ, Πᾶσαν πληγὴν, καὶ μὴ πληγὴν καρδίας, καὶ πᾶσαν πονηρίαν, καὶ μὴ πονηρίαν γυναικός. Καὶ, Μικρὰ πᾶσα κακία πρὸς κακίαν γυναικός. Καὶ, Οὐκ ἔστι κεφαλὴ ὑπὲρ κεφαλὴν ὄφεως· καὶ, Οὐκ ἔστι κακία ὑπὲρ κακίαν γυναικός. Καὶ, Συνοικῆσαι λέοντι, καὶ δράκοντι ἀδόκητον, ἢ συνοικῆσαι μετὰ γυναικὸς πονηρᾶς. Πονηρία γὰρ γυναικὸς ἀλλοιοῖ τὴν ὄρασιν αὐτῆς, καὶ σκοτιεῖ τὸ πρόσωπον αὐτῆς. Ὥσπερ ἄρκτος, καὶ ὥσπερ ἀνάβασις ἀμμώδης εἰς ποσὶ πρεσβυτέρου, οὕτω γυνὴ γλωσσώδης αὐ-

δρὶ

Ἐκκλ. 25. Παρ. 7. Παρ. 5. Παρ. 6. 7. καὶ 9. Παρ. 30. Παρ. 21. καὶ 12. καὶ 19. καὶ 11. Ἐκκλ. 7. Ἐκκλ. 9. καὶ 42. καὶ 25.

δρὶ ἡσύχῳ. καὶ, Βοοζύγιον σαλευόμενον γυνὴ πονηρά. ὁ κρατῶν αὐτῆς, ὡς ὁ δραττόμενος σκορπίου. καὶ, Μὴ προσέσῃς ὅτι κάλλος γυναικός· Καὶ, Γυναῖκα μὴ ὑπερθυμήσῃς· καὶ, Μὴ δῷς ὕδατι διέξοδον, μηδὲ γυναικὶ πονηρᾷ παρρησίαν ὅτι σέ. εἰμὴ πορεύεται κατὰ χεῖρά σου, ἀπὸ τῆς σαρκῶσου ἀπότεμε αὐτήν. καὶ, Ὀργὴ μεγάλη γυνὴ μέθυσος, καὶ ἀχρειοσωΐαν αὐτῆς ὁ μὴ συγκαλύψει. καὶ, Ὡς διψῶν ὁδοιπόρος τὸ στόμα ἀνοίξει, καὶ ἀπὸ παντὸς ὕδατος τῷ σιμίσχυρι πίεται, καὶ κατέναντι παντὸς παστάδος καθήσεται, καὶ σήμαντι βέλους ἀνοίξει φαρέτρων. καὶ, Πορνεία γυναικὸς ἐν μετεωρισμοῖς ὀφθαλμῶν, καὶ ἐν τοῖς βλεφάροις αὐτῆς γνωσθήσεται. καὶ, Εἰ θυγατέρες σοι εἰσὶ, πρόσεχε τῷ σώματι αὐτῶν, καὶ μὴ ἱλαρώσῃς πρὸς αὐτὰς τὸ πρόσωπόν σου. καὶ, Ἐπὶ θυγατρὶ ἀδελφέπω στερέωσον φυλακὴν, ἵνα μὴ δίρῶσα ἑαυτὴν χθήσηται, καὶ ποιήσῃ σε ὄνειδος ἐχθροῖς, καὶ λαλιὰν ἐν πόλει, καὶ καταισχύνῃ σε ἐν πλήθει πολλῶν. καὶ, Γυνὴ πονηρὰ μερὶς πονηρὰ, καὶ ἀνδρὶ ἁμαρτωλῷ δοθήσεται. Εἰκότως ἂν ἔλεγεν ὁ Θεὸς πρὸς αὐτὴν μετὰ τοῦ καταβάσαι. Πληθυνῶν πληθυνῶ τὰς λύπας σου καὶ τὰς συναγωγάς σου· πολλῆς γὰρ λύπης καὶ συναγωγῆς, καὶ ἀδυνῆς, καὶ συνοχωρείας ἡμῖν ἐγένετο πρόξενος. ὅθεν φησίν. Ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. Καὶ διὰ τοῦτο νομοθετεῖ ὁ Ἀπόστολος λέγων· Αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτασσέσθωσαν ὡς ἡ Ἐκκλησία τῷ Κυρίῳ, ὅτι κεφαλὴ τῆς γυναικός ἐστιν ὁ ἀνὴρ, ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς Ἐκκλησίας. καὶ ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί. Καὶ, Θέλω ὑμᾶς εἰδέναι, ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστι, καὶ κεφαλὴ δὲ τῆς γυναικὸς ὁ ἀνήρ. καὶ ἀνὴρ μὲν οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων, γυνὴ δὲ δόξα ἀνδρός ἐστιν· οὐ γὰρ ἐστὶν ἀνὴρ ἐκ γυναικὸς, ἀλλὰ γυνὴ ἐξ ἀνδρός· καὶ γὰρ οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα. καὶ, Αἱ γυναῖκες ὑμῶν ἐν ταῖς Ἐκκλησίαις σιγάτωσαν· οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι, καθὼς καὶ ὁ νόμος λέγει. εἰδέ τινα μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν· αἰσχρὸν γάρ ἐστι γυναιξὶν ἐν Ἐκκλησίαις λαλεῖν· καὶ, Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω, ἐν πάσῃ ὑποταγῇ. Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρός, ἀλλ' εἶναι ἐν ἡσυχίᾳ. Καὶ, Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα, γεγονυῖα ἀνδρὸς ἑνὸς γυνὴ, ἐν ἔργοις καλοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε. καὶ, Ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκε. Καὶ νεωτέρας δὲ χήρας παραιτοῦ, ὅταν καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν, ἔχουσαι κρῖμα, ὅτι τὴν πρώτην πίστιν

Ἐκκλ. 26. καὶ 25. Ἐκκλ. 26. Ἐκκ. 7. Ἐκκλ. 26. Γεν. 3. Πρὸς Ἐφες. 5. Πρὸς Κορ. α. 11. Πρὸς Κορ. α. 14. Πρὸς Τιμ. α. 2. καὶ 5.

ἠθέτησαν· ἅμα δὲ καὶ ἀργαὶ μανθάνουσι περιέρχόμεναι τὰς οἰκίας. ὐ μόνον δὲ ἀργαὶ, ἀλλὰ καὶ φλύαροι, καὶ περίεργοι, λαλεῖσαι τὰ μὴ δέοντα. Καὶ, Γυναικεῖα σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις, πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα.

Πρὸς Τιμ. β'. 3.

Τοῦ Χρυσοστόμου εἰς τὴν Ἡρωδιάδα.

Ο'ὐδὲν πόνου θηρίων ἐφάμιλλον γυναικὸς πονηρᾶς καὶ γλωσσώδους. Τί γὰρ λέοντος δεινότερον; οὐ τετράποσιν, ἢ ὠμότερον καὶ θηριωδέστερον δράκοντος οὐ ἑρπετοῖς; Ἀλλ' οὐδὲν πλὴν γυναικὸς πονηρᾶς. Ὅτι δὲ λέοντος, καὶ δρά-κων οὐ τῷ κακῷ ἔλαττον τυγχάνουσι, μαρτυρεῖ ὁ Σοφὸς λέγων. Συνοικῆσαι λέοντι, καὶ δράκοντι ἀδοκήσω, ἢ μὴ γυναικὸς πονηρᾶς. Καὶ γὰρ λέοντες τὸν Δανιὴλ οὐ τῷ λάκκῳ ἠδέσθησαν, τὸν δὲ Ναβουθαὶ ἡ Ἰεζάβελ ἐφόνευσε. Τὸ κῆτος οὐ τῇ κοιλίᾳ τὸν Ἰωνᾶν ἐφύλαξε, Δαλιδὰ δὲ τὸν Σαμψὼν ξυρή-σασα τοῖς ἀλλοφύλοις παρέδωκε. Δράκοντες καὶ ἀσπίδες, καὶ περασαὶ οὐ τῇ ἐρήμῳ τὸν Ἰωάννην ἐτρόμαξαν, Ἡρωδιὰς δὲ αὐτὸν οὐ σείσῳ ἀπέτεμε. Οἱ κόρακες τὸν Ἠλίαν οὐ τῷ ὄρει διέθρεψαν, ἡ δὲ Ἰεζάβελ αὐτὸν μὴ τὴν δι-ργεσίαν τοῦ ὑετοῦ φόνου κατεδίωκε, καὶ φοβηθεὶς ἔφυγε οὐ τῇ ἐρήμῳ ὁδὸν τεσσαράκοντα ἡμερῶν, καὶ ῥαθυμήσας ᾐτήσατο ἀποθανεῖν λέγων· Κύριος ὁ Θεός μου ἱκανώθω, νυῦ δὴ λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι οὐ κρεῖσσον ἐγὼ εἰμὶ ὑπὲρ τοὺς πατέρας μου. Οἴμοι, ὁ Προφήτης ἐφοβήθη γυναῖκα, ὁ τῆς Οἰκουμένης ὅλης τὸν ὑετὸν οὐ τῇ γλώττῃ βασάζων, ὁ πῦρ Οὐρανόθεν ῥή-ματι κατενέγκας, καὶ δι' ὀλίγης νεφρὸν ἐγείρας, γυναῖκα ἐφοβήθη. Οὐδὲ μία γὰρ κακία συγκρίνεται γυναικὶ πονηρᾷ. Μαρτυρεῖ μοι τῷ λόγῳ καὶ ὁ Σο-φὸς λέγων· Οὐκ ἔστι κεφαλὴ ὑπὲρ κεφαλὴν ὄφεως, καὶ οὐκ ἔστι κακία ὑπὲρ κακίαν γυναικός. Ὦ τοῦ κακοῦ τῷ βαθέι, καὶ ὀξύτατον ὅπλον. Διὰ γυναι-κὸς γὰρ ἐξ ἀρχῆς τὸν Ἀδὰμ οὐ τῷ Παραδείσῳ κατέσρεψε· διὰ γυναικὸς τὸν Γωσὴφ οὐ φυλακῇ κατέκλεισε· διὰ γυναικὸς δὲ τὸν Δαβὶδ περὶ τοῦ κρῖ τὴν Οὐρίου δολοφονίαν ἐξέμηνε· διὰ γυναικὸς τὸν Σολομῶντα περὶ βάθασιν κατέσρεψε· διὰ γυναικὸς τὸν Σαμψὼν ἐτύφλωσε· διὰ γυναικὸς Ἠλίαν ἐδίω-ξε· διὰ γυναικὸς τὸν Πρόδρομον Χριστὸν ἀπέτεμε. διὰ γυναικὸς πάντας καταισφάζει, πάντας ἀτιμάζει, πάντας φονεύει, πάντας φεύγει, πάντας ὑβρίζει. Γυνὴ γὰρ αἰσχύνης ἐδονὸς φείδεται, ὐ Προφήτου αἰδεῖται, ὐχ Ἱερέα ἐντρέπεται, ὐ πολιὰν τιμᾷ. Ὦ κακὸν κακῶν κάκιστον. Γυνὴ πονηρὰ κἂν μικρὸν ἐστὶ πονηρὰ, τῇ κακίᾳ πλουτεῖ· ἐὰν δὲ καὶ πλοῦτον ἔ-χῃ τῇ πονηρίᾳ αὐτῆς συνεργοῦντα, διασὸν τὸ κακόν· ἀφόρητον ζῶον· ἀθε-ράπευτος νόσος· ἀνήμερον θηρίον. Ἐγὼ γὰρ εἶδον καὶ Ἀσπίδας κολακευομέ-νας ἡμερῶσθαι, καὶ Λέοντας, καὶ Τίγρεις, καὶ Παρδάλεις τιθασευομένας θραύ-νεσθαι. Γυνὴ δὲ πονηρὰ καὶ ὑβριζομένη μαίνεται, καὶ κολακευομένη ἐπαίρεται. κἂν ἄνδρα ἔχῃ ἄρχοντα, νύκτωρ καὶ μεθ' ἡμέραν τοῖς λόγοις αὐτὸν ἐμοχλεύ-

Ἐκκλ. 25.

Ἐκκλ. 25. Βασ. γ'. 21.

σα

τὰ πρὸς δολοφονίαν ὁδεύσει, ὡς Ἡρωδιὰς τὸν Ἡρῴδην· κἂν πένητα ἔχῃ τὸν ἄνδρα, πρὸς ἀργὰς καὶ μάχας αὐτὸν ἐγείρει· κἂν χήρα τυγχάνῃ, αὐτὴ δι' ἑαυτῆς τοὺς πάντας ῥιζεύει, καὶ θησαυρεῖ. Φόβῳ γὰρ Θεοῦ ὁ χαλινοῖ τὴν γλῶσ-σαν· οὐκ εἰς τὸ μέλλον κριτήριον ἀποβλέπει· ὁ πρὸς Θεὸν αἰσχύνει· ὁ φι-λίας εἶδε φυλάττειν θεσμόν. Οὐδὲν ἐστὶ γυναικὶ πονηρᾷ περιδεῖναι τὸν ἴδιον ἄνδρα εἰς θάνατον. καὶ γὰρ τὸν δίκαιον Γὼβ ἡ ἰδία γυνὴ πρὸς θάνατον παρεδίδει λέγουσα· Εἶπον τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα. Ὦ προαιρέσεως πονηρᾶς· Ὦ γνώμης ἀθέσμου. Οὐκ ἠλέησον ὁρῶσα τὸ ἴδιον ἀνδρὸς τὸ σπλάγ-χνα τοῦ τῶν ἀναζευσῶν φλυκτίδων ὥσπερ ἐπ' ἀνθράκων καιόμενα, καὶ ὅλας τὰς σάρκας αὐτοῦ σκωληκῶν σωρείασμοῦ. Οὐ κατεκάμφθη πρὸς οἶκτον βλέψασα αὐτὸν ἔλαν δι' ὅλης συναζόντα, καὶ ἀγωνιῶντα, καὶ σωρηδὸν ἐκ λαγόνων ἕλκη φέροντα. Οὐκ ἐμαλάχθη πρὸς ἀπλαγχνίαν θεωροῦσα τὸν ποτὲ ἐν βασιλικῇ πορφυρίδι, ἄρτι δὲ κοπρίας κείμενον, γυμνὸν καὶ σπαρτέ-νον. Οὐκ ἐμνημόνευσε τῆς πρὸς αὐτὸν ἀρχαίας φιλίας καὶ σωφροσύνης, καὶ ὅ-σα δι' αὐτὸν ἐμεγαλύνθη καὶ ἐδοξάθη. Ἀλλ' ἔφη· εἶπον τι ῥῆμα πρὸς Κύ-ριον, καὶ τελεύτα. Ὦ χάρις γυναικός· ὦ μάλαγμα ὀδυνῶν πρακτήριον· ὦ φιλίας ὁμοζύγου. Οὐκ ἤρκει γὰρ αὐτῷ ἡ πρόσκαιρος ὀδύνη, ἀλλὰ καὶ αἰώνιον αὐτῷ προξενεῖ δι' ἃ τῆς βλασφημίας τοῦ κόλασιν. Θέλεις ἰδεῖν καὶ ἄλλην τῆς πονηρᾶς ταύτης ὁμοζύγου γυναῖκα; Γ'δεμοι τοῦ Δαλιδαὺ, πῶς τὸν ἴδιον ἄνδρα ξυρήσασα, καὶ δήσασα τοῖς ἀλλοφύλοις παρέδωκε, τὸ ἴδιον μέλος, τὸν ἴδιον σωίδυνον, ὃν ἔθαλπεν, ὃν ἐκολάκευεν, ὃν κατεφίλει, ὃν ὑπὲρ ἑαυτὴν ἀγαπᾷν ὑπεκρίνετο· ὃν χθὲς ἠγάπα, σήμερον ἐπαίει· ὃν χθὲς ἔθαλπεν ἀγαπῶσα, σήμερον ἔθαπτεν ἀπατῶσα. Καὶ μοὺ ὐκ ἦν ὡραῖος; καὶ τίς αὐτῆς ὡραιότερος; ὅσγε ἑπτὰ βοστρύχους ἐπὶ κεφαλῆς ἔφερε, τῆς Ἐπικεφάτου Χαείτου τὴν εἰκόνα βασάζων. Καὶ μὴν ὐκ ἦν ἀνδρεῖος; καὶ τίς αὐτῆς ἀνδρειό-τερος; ὅσγε λέοντα φοβερὸν μόνος ἐν ὁδῷ ἐπάπαξε, καὶ μιᾷ σιαγόνι ὄνε χιλίας ἀλλοφύλους κατέστρωσεν. Ἀλλὰ καὶ ὐκ ἅγιος ἦν; τοσοῦτον ἦν ἅγιος, ὡς δι-ψήσαντα αὐτὸν ποτὲ ἐν ἀπυίει ὕδατος, εὔξασθαι, καὶ ἐκ τῆς κατεχομένης ἐν τῇ χει-ρὶ αὐτοῦ σιαγόνος νεκρᾶς ὕδωρ πηγάσαι, κἀκεῖθεν τὸ ἅλμα τῆς δίψης ἀρύσα-σθαι. Καὶ τὸν ὅπως ὡραῖον, καὶ τὸν ὅπως ἀνδρεῖον, τὸν ὅπως ἅγιον, ἡ ἰδία γυνὴ ὡς πολέμιον δήσασα, τοῖς ἀλλοφύλοις παρέδωκεν· ὃν ἐκτυφλώσαντες εἶχον εἰς παίγνιον· καὶ ὃν ὅτε λέοντες, ὅτε ἀλλόφυλοι αὐτισιῶσαι ἴσχυον, τοῦτον ἡ ἰδία γυνὴ κατέβαλε. Καὶ πόθεν ἄρα γυνὴ τὸ ὅπως ἀνδρείου κατίσχυσεν; Ἐκ τῆς οἰκείας τοῦ ἀνδρὸς ἀγαθότητος. Τὸ γὰρ μυστήριον τῆς ἰσχύος αὐτοῦ νύκ-τωρ δόλῳ ἀποσυλήσασα, γυμνὸν αὐτὸν ἡμῖν ἰσχυροῖς κατέστρεψε. Διὰ τοῦτο προαγγέλλει σοι ὁ Προφήτης λέγων· Ἀπὸ τῆς συγκοίτου σου φύλαξον τὰ ἀφαθ- Μιχ. 7.
θαι τι αὐτῇ. Ποῖον γὰρ θηρίον εἰπέ μοι καὶ τὸ ἴδιον ἄρρενος τοιαῦτα ἐμελέ-τησε ποτέ; Ποία δὲ δράκαινα τὸν ἴδιον ὁμόζυγον ἀπολέσθαι θέλει; Ποία δὲ

λέαι-

λέαινα τὸν ἴδιον ἄνδρα πρὸς σφαγὴν παραδίδωσιν; Οὔπως ἀληθῶς ἐκ ἔστι κακία ὑπὲρ κακίαν γυναικός. Οὐκοῦν ὁ ἔχων γυναῖκα πονηρὰν, γινωσκέτω ἤδη τὴν ἀμοιβὴν αὐτῇ κεκομίδαι μισθός. Φησὶ γὰρ ὁ Σοφός· Γυνὴ πονηρὰ ἀνδρὶ ἁμαρτωλῷ δαθήσεται. Ἐκκλ. 25.

Τὸ αὐτὸ εἰς τὸ, Πᾶς ὁ ἐμβλέψας γυναικί.

Ματ. 5. ΠΑς ὁ ἐμβλέψας φησὶ γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἐν τῇ καρδίᾳ αὐτοῦ ἤδη ἐμοίχευσεν αὐτήν. Οὔπως φοβερὸν δάγκελμα, καὶ πολλὴ χεὶρ τῆς νήψεως. Τί γὰρ ἐστὶ γυνή; Παγὶς κεκοσμημένη, καὶ ἐξαπατῶσα τοὺς ἀνθρώπους ἐν ἡδοναῖς· φοιδρῷ μὲν τῷ προσώπῳ καὶ ὑγιλῷ τε βαχίλῳ, καὶ τοὺς ὀφθαλμοὺς ἐνυδύσα, καὶ ταῖς παρειαῖς μειδιῶσα, καὶ τῇ γλώσσῃ μελῳδοῦσα, καὶ τῇ φωνῇ μαίνυσα, καὶ τοῖς λόγοις μαγδύσα, καὶ τοὺς χιτῶνας σύρυσα, καὶ τοῖς ποσὶ παίζυσα, καὶ τῷ σώματι ἐκπορνδύσα, καὶ τοῖς ἔργοις φονδύσα. Πολλοὺς γὰρ φησὶ ζωώσασα καταβέβληκε, καὶ ἀναρίθμητοι εἰσὶν οἱ πεφονδυκότες. Διὸ λέγει· Ἐν κάλλει γυναικὸς πολλοὶ ἐπλανήθησαν. καὶ ἡ ἐκ τούτου φιλία ὡς πῦρ ἀνάπτεται. Τί γυνή; Ὀπὴ χῆς ναυάγιον, πηγὴ κακίας, θησαυρὸς ῥυπαρίας, θανατηφόρος σωτηρία, ὀφθαλμῶν ὄλιδος, ψυχῶν ὄλεθρος, καρδίας λοχμὴ, νέων ἀπώλεια, σκῆπτρον Ἅδου, κρημνώδης πάθος. Τί γυνή; Ἀγίων ἀβολὴ, ἀνάπαυσις ὄφεως, Διαβόλου θέμυδία, ἀπαρηχάρητος ἀδικία, ὑπνοκαυμένη κάμινος, σωζομένων σκάνδαλον, ἀθεράπευτος κακία, καθημερινὴ λέχη, ξενοδοχεῖον ἀσώτων, ἐργασήριον δαιμόνων. Τί γυνή; Φίλτρον πονηρίας, ἀνάίσχυντον θηρίον, ἀκράτητος ὁρμὴ, ἀχαλίνωτον σῶμα, μυσηρίων θείαμβος, σκοτίας ὁδηγὸς, ὠθαπτωμάτων διδάσκαλος, ἀπάλαυσις πονηρὰ, ἀπόρεκτος ἐπιθυμία, καλάσεως αἰωνίου πρόξενος. Τί γυνή; Γήϊνον φάντασμα, ἀνδρὸς ῥαθυμία, συγχοιμωμένη ἀκρασία, συνεχειρουμένη μέριμνα, ἱματισμένη ἔχιδνα, ἀνθαίρετος μάχη, καθημερινὴ ζημία, οἰκίας χειμών, ἀνδρὸς ναυάγιον, ἀπήμερον θηρίον, μοιχῶν καταγώγιον, ὅπλον Διαβόλου, ἐπιθυμητὴ λύσσα, παγκόσμιος θάνατος. Εἰκότως ἂν ἔλεγε ὁ Σοφός· Μικρὰ πᾶσα κακία πρὸς κακίαν γυναικός. Σὺ δὲ εἰ βούλει τοῦτο θηρίον ὑποδρᾶσαι, ἄκουε τοῦ Παροιμιαστοῦ λέγοντος· Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, τὰ δὲ βλέφαρά σου νυέτω δίκαια· καὶ, Μή σε νικήσῃ κάλλος ἐπιθυμία, μηδὲ ἁγρευθῇς σοῖς ὀφθαλμοῖς, μηδὲ σωαρπασθῇς ὑπὸ τῶν αὐτῆς βλεφάρων. Γυνὴ γὰρ ἀνδρῶν τιμίων ψυχὰς ἀγρεύει. Νεῦ ἐν Τίε ἀκούσμασι, καὶ πρόσεχε ῥήμασι στόματός μου· μὴ ἐκκλινάτω εἰς τὰς ὁδοὺς αὐτῆς ἡ καρδία σου· καὶ μὴ πλανηθῇς ἐν ἀτραπιαῖς ὁδοῦ αὐτῆς· πολλοὺς γὰρ τρώσασα καταβέβληκε, καὶ ἀναρίθμητοι εἰσὶν οἱ πεφονδυκότες. καὶ μὴ ἐπιστήσῃς σὸν ὄμμα πρὸς αὐτὴν, ἀλλὰ ὑποπήδησον, καὶ μὴ χρονίσῃς. Ὅταν ἴδῃς γυναῖκα εὔμορφον, λάμπουσαν, ἔχουσαν ὀφθαλμὸν φοιδρὸν, σίλβουσαν ὑπὸ τῆς παρειᾶς, ἀμίχωόν τινα ὥραν φέρουσαν ὑπὸ τοῦ σώ- Παρ. 7. Ἐκκλ. 25. Παρ. 4. καὶ 6. Καὶ 7.

μα-

ματος ὅπη τῆς ὄψεως, φλέγουσαί σε τὸν λογισμὸν, καὶ πλὴν ὑπεθυμίαν αὔξουσαν· ἐννόησον ὅτι γυνὴ τὸ θαυμαζόμενον, ὅτι ἀποδὺς τὸ ἐπικαῖον, καὶ παύσεται λυσσώσασά σε ἡ ψυχή· ἀνακάλυψον αὐτῆς τὸ δέρμα τῆς ὄψεως τῷ λογισμῷ, καὶ πάσαν ὄψιν τῆς δυμορφίας πλὴν δυτέλειαν. εἶδον γὰρ ἕτερον δρήσεις, ἀλλ' ἢ ὀσᾶ, καὶ νεῦρα, καὶ φλέβας, καὶ δυσωδίαν. Ἐννόησον δὲ πάλιν ταύτην γυράσασαν, ἀλλοιωμένην, θνήσασαν, ἅπαν καταῤῥέον τὸ αἷμα ἐκεῖνο. Ἐννόησον τί θαυμάζεις, καὶ αἰσχύνθητί σε πλὴν κείσιν, καὶ αἰσχυνθεὶς μετανόησον.

ΕΡΩΤΗΣΙΣ, Ξ'.

Τί ἐστὶ τὸ, Ἐὰν ὁ ὀφθαλμός σου ὁ δεξιὸς, ἢ ἡ χεὶρ σου σκανδαλίζῃ σε, ἔκκοψον αὐτὰ ἀπὸ σοῦ; Ματ. 5.

ΑΠΟΚΡΙΣΙΣ.

ΟΥ περὶ τῶν μελῶν τοῦ σώματος εἴρηκε τοῦτο ὁ Χριστὸς, ἄπαγε· ἀλλὰ περὶ τῶν φίλων, καὶ συγγενῶν· μέλη γὰρ ἀλλήλων ἐσμέν. Ἐὰν οὖν φησὶν ἔχῃς φίλον, ἢ συγγενῆ ἀναγκαίοντα ὄντα, ὡς δεξιὸν ὀφθαλμὸν, ἢ χεῖρα, καὶ τὸ εἰρημένον ὑπὸ τοῦ Ἰώβ. Ὅτι ὀφθαλμὸς ἤμην τυφλῶν, πόδες δὲ χωλῶν, καὶ ἴδοις σαυτὸν βλαπτόμενον καὶ ψυχικῶς ὑπ' αὐτοῦ, ἔκκοψον αὐτὸν ἀπὸ σοῦ. Οὐδὲ μία γὰρ κοινωνία φησὶ πρὸς σκότος, μάλιστα ἐὰν ὑποκείσεως τινὸς καὶ δόλου μετέχωσι, φεύγειν ἀπ' αὐτῶν χρὴ, καὶ προσέχειν ὡς ἀπὸ ὄφεως. Φησὶ γὰρ ὁ Κύριος· Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ἡμᾶς ἐν ἐνδύμασι μὴ προβάτων, ἔσωθεν δὲ εἰσὶ λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Καὶ ὁ Γωήννης. Μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ ἐστὶ, ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν Κόσμον. Καὶ ὁ Παῦλος. Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ. καὶ θαυμαστόν. αὐτὸς γὰρ ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός. οὐ μέγα οὖν, εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης, ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν. Καὶ ὁ Σολομὼν παραινεῖ λέγων. Τίε, μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς· οἱ γὰρ πόδες αὐτῶν εἰς κακίαν τρέχουσι, καὶ ταχυνοί εἰσὶ τοῦ ἐκχέαι αἷμα. Καὶ, Μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη, μηδὲ ζηλώσῃς τὰς ὁδοὺς αὐτῶν· οὐ γὰρ μὴ ὑπνώσωσιν, ἐὰν μὴ κακοποιήσωσι. Καὶ, Διεστραμμένη καρδία πεπαίνεται κακά. ἐν παντὶ καιρῷ ὁ τοιοῦτος παραχὰς σωίζησιν. ἀλλὰ τοῦτο ἐξαπίνης ἔρχεται ἡ ἀπώλεια αὐτοῦ, ἀλλοπὴ καὶ σωτηρίᾳ ἄλυτος, ὅτι χαίρει ἐν πᾶσιν οἷς μισεῖ ὁ Θεός, σωτηρίᾳ δὲ δι' ἀκαθαρσίαν ψυχῆς. Καὶ, Ὁ ἐνδύων ὀφθαλμῷ μὴ δόλῳ, σωάγει ἀνδράσι λύπας. Καὶ, Ἀνὴρ παράνομος ὑποπειράται φίλων, καὶ Ἰώβ. 29. Ματ. 7. Ἰάν. α. 4. Πρὸς Κορ. β'. 11. Παρ. 1. Παρ. 3. καὶ 6. Καὶ 6.

ἀπά-

ἀπάγει αὐτὸς ὁδὸς, ὐκ ἀγαθὰς. στηλίζων δὲ ὀφθαλμὸς αὐτὸ λογίζεται διεγραμμένα, καὶ δείζει τοῖς χείλεσιν αὐτὸ πάντα τὰ καπά. Καὶ ἔστι κάμινος κακίας, καὶ βόθρος βαθὺς στόμα παρανόμε· ὁ δὲ μισηθεὶς ὑπὸ Κυρίε ἐμπεσεῖται εἰς αὐτόν. Καὶ, Ἐὰν σὲ δέηται ὁ ἐχθρός σε μεγάλῃ τῇ φωνῇ, μὴ πειθῆς αὐτῷ, ἑπτὰ γὰρ πονηρίαι εἰσὶν ἐν τῇ ψυχῇ αὐτὸ. Καὶ ἀξιοπιστότερα ξαύματα φιλᾶ, ἢ ἑκούσια φιλήματα ἐχθρὸ. Καὶ Ἅγιον Πνεῦμα φεύξεται δόλον, καὶ ἐπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων. Ὡσαύτως καὶ ὁ Σεραὰχ παραγγέλλει λέγων. Σωτήρισον καὶ φύλαξον ἀπὸ πονηρὸ, καὶ πρόσεχε σφόδρα. ὅτι μετὰ τῆς πτώσεώς σε περιπατεῖς, καὶ ὑπάγνωθι, ὅτι ἐν μέσῳ παγίδων βαβαίνεις, καὶ ὅτι ἐπάλξεων πόλεως περιπατεῖς. Καὶ, Εἰ κάσαι φίλον, ἐν πειρασμῷ κάπσαι αὐτὸν, καὶ μὴ ταχέως ἐμπισεύσῃς αὐτῷ. Ἔστι γὰρ φίλος ἐν καιρῷ αὐτὸ, καὶ ὐ μὴ διαμείνῃ ἐν ἡμέρᾳ θλίψεώς σε. Καὶ ἔστι φίλος μεταθέμενος εἰς ἔχθραν, καὶ μάχιν ὀνειδισμὸ σοι ἀποκαλύψει. Καὶ ἔστι φίλος κοινωνὸς ἑστίζης, καὶ ὐ μὴ διαμείνῃ ἐν ἡμέρᾳ θλίψεώς σε. καὶ, Ἐὰν παπεινωθῇς ἔσαι κατὰ σὲ, καὶ ἀπὸ τὸ προσώπε σε κρυβήσεται. Καὶ ὐ μὴ ὑποστρώσῃς ἀνδρὶ μωρῷ σεαυτὸν, καὶ μὴ ἐξαναστῇς ἀπὸ προσώπε ὑβρισὸ, ἵνα μὴ ἐγκαθίσῃ σύεδρον ἐν τῇ στόματί σε. Καὶ ἀπὸ τῶν ἐχθρῶν σε διαχωρίσθητι, καὶ ἀπὸ τῶν φίλων σε πρόσεχε. Καὶ ὑφ᾽, καὶ γυναικὶ, καὶ φίλῳ, καὶ ἀδελφῷ μὴ δῷς ἐξουσίαν ὅτι σέ ἐν ζωῇ σε. Καὶ μὴ δῷς ἑτέρῳ τὰ χρήματά σε, ἵνα μὴ μεταμεληθῇς δέη παρ᾽ αὐτῶν. κρεῖσσον γὰρ ἐστὶ τὰ τέκνα σε δεηθῆναί σε, ἢ σὲ ἐμπεσεῖν εἰς χεῖρας υἱῶν σε. Καὶ, Πρόσεχε ἀπὸ κακὸ, πονηρὰ γὰρ τεκταίνει, μήποτε μῶμον εἰς τὸν αἰῶνα δῷ σοι. Καὶ, Μὴ πισθύσῃς τῷ ἐχθρῷ σε εἰς τὸν αἰῶνα. ὡς γὰρ ὁ χαλκὸς ἰᾶται, ἔπω καὶ ἡ πονηρία αὐτὸ. Καὶ ἐὰν ταπεινωθῇ καὶ πορεύηται συγκεκυφὼς, πίσσον τῷ ψυχήσε, καὶ φύλαξαι ἀπ᾽ αὐτὸ, καὶ ἔσῃ αὐτῷ ὡς ἐπιμεμαχὼς ἔσοπρον. Μὴ στήσῃς αὐτὸν πρὸς σεαυτῷ, μήποτε ζητήσῃ τῷ καθέρανσε, καὶ ἐπ᾽ ἐσχάτων ἐπιγνώσῃ τοὺς λόγους μου. Καὶ τίς ἐλεήσει ἐπαοιδὸν ὀφιόδηκτον, καὶ πάντας τοὺς προσάγοντας θηρίοις; ἕτω τὸν προσπορεύομενον ἀνδρὶ ἁμαρτωλῷ, καὶ συμφυρόμενον ἐν ταῖς ἁμαρτίαις αὐτὸ. Ὥραν μετὰ σὲ βαμεῖ, καὶ ἐὰν ἐκλίνῃς, ὐ μὴ καρτερήσῃ, καὶ ἐν τοῖς χείλεσιν αὐτὸ γλυκανθήσεται, καὶ ἐν τῇ καρδίᾳ αὐτὸ βυθίσεται ἀναβήναι σε εἰς βόθρον. Ἐν ὀφθαλμοῖς σε δακρύσει, καὶ ἐὰν εὕρῃ καιρὸν, ὐκ ἐμπλησθήσεται ἀφ᾽ αἵματός σε. Κακὰ ἐὰν ὑπαντήσῃσοι, διρήσεις αὐτὸν πρότερόν σε ἐκεῖ. καὶ ὡς βοηθῶν ὑποχάσει πτέρναν σε, τῷ κεφαλῷ αὐτὸ κινήσει, καὶ ἐπικροτήσει ταῖς χερσὶν αὐτὸ, καὶ πολλὰ βαβιθυείσει, καὶ ἀλλοιώσει τὸ πρόσωπον αὐτὸ. Ὁ ἁπτόμενος πίσσης μολυνθήσεται, καὶ ὁ κοινωνῶν πονηρῷ ὁμοιωθήσεται αὐτῷ. Καὶ ἔστι πονηρία ἄχρηστος καὶ ἄδικος, καὶ ἔστι βαστρέφων τὸ ἐκφαῦσαι κεῖμα. καὶ ἔστι πονηρεύομενος συγκεκυφὼς μελανίᾳ, καὶ τὰ ἐντὸς αὐτὸ πλήρης δόλε, συστρέφων πρόσωπον, καὶ ἑτεροκωφῶν. Καὶ

Παρ. 22. Παρ. 26. καὶ 27. Σοφ. 1. Ἐκκ. 9. καὶ 6. Καὶ 4. Ἐκκ. 6. καὶ 33. Ἐκκλ. 12.

ὅπε ὐκ ἐπεγνώσθη προφθάσει σε, καὶ ἐὰν εὕρῃ καιρὸν καποποιήσει σε, καὶ φύλαξαι ἀπ᾽ αὐτὸ, ἵνα μὴ πόπον ἔχῃς, καὶ ὐ μὴ μολυνθῇς ἐν τῷ ἐκτιναγμῷ αὐτὸ. καὶ, Ὁ ἐνδιῶν ὀφθαλμῷ μετὰ δόλε τεκταίνει κακὰ, καὶ ἀδεὶς αὐτὰ ὑποστήσει ἀπ᾽ αὐτὸ. ἀποναντι τῷ ὀφθαλμῶν σε γλυκανεῖ τὸ στόμα αὐτὸ, καὶ ἐν τοῖς λόγοις αὐτὸ δώσει σκάνδαλον. Ὅσα ἐμίσησε, καὶ ὐχ ὁμοίως αὐτῷ, καὶ Κύριος μισεῖ αὐτόν. Καὶ ἀντιλαβὲ τὸ πλησίον κατὰ δυνάμίν σε, καὶ πρόσεχε σεαυτῷ μὴ ἐκπέσῃς. καὶ, Ἐὰν εὖ ποιῇς, γνῶθι τίνι ποιεῖς, ὅτι ἐπ᾽ ἐχάτων ἐμφαίνει τὴν κακίαν αὐτὸ, καὶ ξενιεῖς καὶ ποτιεῖς εἰς ἀχάριστα, καὶ πρὸς ὅπι τέτοις πικρὰ ἀκούσεις. καὶ, Ἀπὸ αἰδοῦς ὀφθαλμὸ φύλαξαι, καὶ μὴ θαυμάσῃς, ἐὰν εἰς σὲ πλημμελήσῃ. καὶ, Δόσις ἄφρονος ὠ λυσιτελεῖ σοι· ὀλίγα δώσει, καὶ πολλὰ ὀνειδίσει, καὶ ἀνοίξει τὸ στόμα αὐτὸ ὡς κήρυξ, καὶ μισητὸς ἄνθρωπος ὁ τοιοῦτος. καὶ, Βάλλων λίθον ὅπι πετεινὰ, ἀποσοβήσει αὐτά. καὶ ὁ ὀνειδίζων φίλον, διαλύσει φιλίαν. Ἐπὶ φίλον ἐὰν σπάσῃ μάχαιραν μὴ ἀποσῇς· ἔστι γὰρ ἐπάνοδος· πλὴν ὀνειδισμὸ, καὶ μυσηρίε ἀποκαλύψεως, καὶ πληγῆς δολίας· ἐν γὰρ τούτοις ἀποφεύξεται πᾶς φίλος. Καὶ ὁ Δαβίδ. Ἐπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες. Καὶ τῷ στόματι αὐτῶν ἐλόγων, καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο. Καὶ πάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιώσαν. Ὠν τὸ στόμα ἀρᾶς γέμει, καὶ πικρίας, καὶ δόλε, ὑπὸ τὴν γλῶσσαν αὐτῶν κόπος καὶ πόνος. Οὐκ ἔστι φόβος Θεῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν. Καὶ μετ᾽ ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με, τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν, κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν. Καὶ Ἀβδιᾶ. Ἄνδρες εἰρηνικοί σε οἱ συνεδίοντές σοι, ἔθηκαν σύεδραν ὑποκάτω σε. Καὶ ὁ Μιχαίας. Μὴ καταπίστευε ἐν φίλοις, καὶ ἀπὸ τῆς συγκοίτε σε φύλαξαι τὰ ἀναθέσθαι τι αὐτῇ. Διότι υἱὸς ἀτιμάζει πατέρα αὐτὸ, καὶ θυγάτηρ ἀνασήσεται ἐπὶ τὴν μητέρα αὐτῆς, καὶ νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς, καὶ ἐχθροὶ ἀνθρώπε οἱ ἄνδρες οἱ ἐκ τε οἴκε αὐτὸ. Καὶ ὁ Ἱερεμίας. Ἕκαστος ἀπὸ τε πλησίον αὐτὸ φυλάξασθε, καὶ ἐπ᾽ ἀδελφοῖς αὐτῶν μὴ πεποίθατε. ὅτι πᾶς ἀδελφὸς πτέρνῃ πτερνιεῖ, καὶ πᾶς φίλος δολίως πορεύεται· Ἕκαστος κατὰ τὸ ἀδελφὸ αὐτὸ καταπαίζεται. ἀλήθειαν ὐ μὴ λαλήσωσι. μεμάθηκεν ἡ γλῶσσα αὐτῶν λαλεῖν ψεῦδη. ἠδίκησαν, καὶ ὐ διέλιπον τὸ ἐπιστρέψαι τόκος ὅπι τόκῳ, καὶ δόλος ὅπι δόλῳ, καὶ ὐκ ἠθέλησαν εἰδῆναί με, φησὶ Κύριος. Βουλὴ τις ὑφώσησε ἡ γλῶσσα αὐτῶν, δόλια τὰ ῥήματα τε στόματος αὐτῶν, τῷ πλησίον αὐτὸ λαλεῖ εἰρηνικὰ, καὶ ἐν ἑαυτῷ ἔχει τὴν ἔχθραν. Μὴ ὅπι τέτοις ὐκ ἐπισκέψομαι; λέγει Κύριος, ἢ ἐν λαῷ τοιούτῳ ὐκ ἐκδικήσει ἡ ψυχή με; Καὶ υἱοὶ ἄφρονες εἰσὶ τὰ κακοποιῆσαι, τὸ δὲ καλὸν ποιῆσαι ὐκ ἐπέγνωσαν. Ὁ Ἡσαΐας. Ἐγγίζει μοι ὁ λαὸς ἕτος τῷ στόματι αὐτῶν, καὶ τοῖς χείλεσιν αὐτῶν τιμῶσί με, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ᾽ ἐμὲ, μάτην σέβονταί με. Καὶ ὁ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρ

Ἐκκλ. 27. Ἐκκλ. 12. καὶ 29. Καὶ 22. Ψαλμ. 54. Μιχ. 7. Ἱερ. 9. Ἡσ. 29. καὶ 32.

δία αὐτῶ μάταια νοήσει, τῶ σωτελεῖν ἄνομα, ϗ λαλεῖ φῶς Κύριον πλάνησιν. Καὶ ἐξέλθετε ἐκ μέσου αὐτῶν, ϗ ἀφορίσθητε, λέγει Κύριος, ϗ ἀκαθάρτου μὴ ἅπτεσθε· κἀγὼ εἰσδέξομαι ὑμᾶς· ϗ ἔσομαι ὑμῖν εἰς Πατέρα, ϗ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱὰς, ϗ θυγατέρας.

Πρὸς Θεσ. ά. 5.

Ἐκ τῆ τῶ Λειμωναρίου.

Ἠρώτησέ τις Πατέρα μέγαν λέγων. Ἐὰν σκανδαλίσῃ με ἀδελφὸς, θέλεις βάλω αὐτῷ μετάνοιαν; Ὁ δὲ φησί. Βάλε αὐτῷ μετάνοιαν, ϗ ἔκκοψον σεαυτὸν ἀπ' αὐτῶ, ἵνα μὴ εἰς μεῖζον ἐλάττωμά σε καταγῇ. Ὅθεν φησὶν ὁ Ἀπόστολος. Πάντα δοκιμάζοντες, τὸ καλὸν κατέχετε, ἀπὸ παντὸς εἴδους πονηρῶ ἀπέχεσθε. Ἔχομεν δὲ ϗ τὸν Μέγαν Ἀρσένιον λέγοντα. Μετὰ πάντων ἀγάπην ἔχετε, ἀπὸ δὲ πάντων ἀπέχεσθε.

Πρὸς Κορ. ά. 5. Ἐκκλ. 10. Παρ. 29.

Ἐκ τῆ Ἀποστολικῶν Διαταξέων.

Ἁμαρτία γὰρ ἀνεξέλεγκτος ἑαυτῆς, χείρων γίνεται, ϗ εἰς ἄλλας τινὰ δόκησιν λαμβάνει. Ἐπεὶ ϗ μικρὰ ζύμη πλήρωμα φυράματος ζυμοῖ. Καὶ εἰς κλέπτης εἰς ὅλον τὸ ἔθνος τὸ μῖσος ἐπήγαγε. ϗ, Μῦαι θανέσαι σαρισῖσι σκυθασίαν ἡδύσματος ἐλαίῳ. ϗ, Βασιλέως ὑπακούοντος λόγον ἄδικον, πάντες οἱ ὑπ' αὐτὸν ὑπηρέται ἄνομοι. Οὕτω ϗ πρόβατον ψωραλέον μεταδίδωσιν ἑτέρους τὸν νόσον, μὴ χωρισθέντων τῶν ὑγιαινόντων προβάτων. Καὶ ἄνθρωπος λοιμὸς πολλοῖς φυλακτέος. Καὶ κύων λύσσῃ συνεχόμενος, ἐπικίνδυνος παντὶ ὦ δ' ἂν προσάψῃ. Ἐὰν δέ τις ϗ ἄνθρωπον ἄνομον μὴ τῆς Ἐκκλησίας χωρίσωμεν, ποιοῦμεν τὸν Οἶνον τῶ Θεῶ ἀπήλαιον λυπῶν. Ὅθεν φησὶ Σολομών. Ἔκβαλε λοιμὸν ἐκ συνεδρίου, ϗ συνεξελεύσεται αὐτῷ νεῖκος· ὅταν γὰρ καθίσῃ ἐν συνεδρίῳ πάντας ἀτιμάζει. Λέγει δέ ϗ ὁ Δαβίδ. Οὐ προετιθέμην ἐν ὀφθαλμῶν μου πρᾶγμα ἄνομον. ποιοῦντας παραβάσεις ἐμίσησα. οὐκ ἐκολλήθη μοι καρδία σκαμβή. ἐκκλίνοντος ἀπ' ἐμοῦ τὸ πονηρὸν οὐκ ἐγίνωσκον. πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. ϗ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν. λαλῶν ἄδικα ϗ κατάθυμον ἐνώπιον τῶν ὀφθαλμῶν μου, ἀλλὰ τὸν ἐξεδίωκον. Διὸ ϗ Ἐλισαῖος τὸν λειτουργὸν αὐτῶ Γιεζῆ, μετὰ τοῦ κλοπέως ϗ τὸ ψεῦδος, τῇ τῶ Νεεμὰν λέπρᾳ περιθεὶς, ἐξεδίωξεν ἀπὸ προσώπου αὐτῶ καθάπαξ. ἀδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος.

Παρ. 22. Ψαλμ. 100. Βασ. δ'. 5.

Τῶ Ἁγίου Βασιλείου ἐκ τῆ Ἀσκητικῶν.

Τὸ μὲν οὖν ἔμβλον, ϗ ψεῦδος, ϗ δολερὸν ἦθος, Θεῷ τε μισητὸν, καὶ ἀνθρώποις ἐχθρὸν, ὅταν τις κατασκευάζῃ ἕνεκα κέρδους, ἢ ψεῦδος, ἢ πρὸς τοῦ ἑαυτῶ ὠφέλειαν, ἢ πρὸς φίλων διέργεσίαν, ἢ ὅλως κατά τινα φιλάνθρωπον οἰκονομίαν, ἀλλὰ βλάβην τε ϗ ζημίαν ἑτέροις τεχνάζον. Οἷα μὲν ἡ τῶ Διαβόλου ϗ τῆ ἀνθρώπων, ϗ ἡ τῶ Κάϊν ϗ τῶ Ἄβελ τῶ ἀδελφῶ, ϗ ἡ τῆς Γιεζάβελ ϗ τῶ Ναβουθαὶ, ϗ ἡ τῆ Ἰουδαίων ϗ τῶ Κυρίου ψευδομαρτυ-

εία.

εία. Καὶ ἔστι μὲν τῶν μιαρῶν δόλων ϗ ψεύδεις, πολλὰ ϗ διὰ τῆ Γραφῶν, ϗ διὰ τῆ ἀεὶ φαντασμάτων ἐστὶν ἐρᾶν ἀδιαδείγματα. Περὶ δὲ τῆς δικαίας μεθόδου τῆς ὠφελίμως, ἀλλὰ δικαίως τε ϗ σοφῶς ἀποκρυπτούσης τὸ ἀληθὲς, ϗ χρήσιμα μὲν προβάλλεσθαι τεχνικὸν, αὐτὰ ταναντία φράττοντας τοῖς ἐπιβούλοις, ϗ δολεροῖς, ϗ ψεύσεις αὐθρώποις, τινὰ ὠφέλειαν ἑαυτῶ ϗ ἑτέρων σκοπῶν, ἐπιτρέπει τε ϗ τεχνάζει, Πρῶτον ἔστω ὑπόδειγμα Μωϋσῆς. Ὅτε γε ϗ Θεῶ πρόσταγμα, χρῆμα προεβάλλετο πρὸς τὸν βασιλέα, ὡς δὴ ξιῶν ἡμερῶν ὁδὸν ἀπάξων ἐπὶ λατρείαν Θεῶ, καί τι προειρημένον ὑπ' αὐτῷ παντελῶς ἐλευθερῶσαι, ϗ μεταστῆσαι πρὸς Ἰουδαίων ἐξ Αἰγύπτου τὸν Ἰσραήλ. Δεύτερον ἔστω τὸ τῶ Σαμουήλ· ὃς ὅτι τὸ χρῖσαι Δαβὶδ εἰς Βασιλέα πεμφθεὶς ὑπὸ τῶ Θεῶ, κελεύεται χρήματι χρήσασθαι, ὡς δὴ θυσίας σύνεκα, πρὸς τὸ μὴ ἐπιγνωσθῆναι τῷ Σαοὺλ, ὅτι βασιλέως αὐτὶ αὐτῶ καθίσαται, ϗ κινδυνεύσαι τὸν Σαμουήλ. Καὶ Γωνάθαν δὲ, ὡς θέλων τὸν Δαβὶδ ἐκ τῆς τῶ Σαοὺλ ἐπιβουλῆς σῶσαι, φησί. Διὰ τοῦτο οὐκ ἀπωλύσησεν ὅτι τοῦ τράπεζαν τῶ βασιλέως ϗ τὸ σύνηθες, ὅτι πρὸς τοῦ παῖδα αὐτῶ Βηθλεὲμ ἀπελήλυθε. Φεύγων δὲ τὸν Σαοὺλ ὁ Δαβὶδ, ἔλεγε πρὸς Ἀβιμέλεχ τὸν ἱερέα, ὡς διὰ τῶ Σαοὺλ πεμπόμενος ὅτι τι πρᾶγμα ἀσεβὲς, σωτηρίαν ἑαυτῷ διὰ τῶ δόλου παρασκευάζων, ὃ βλάβην ἑτέρων. Καὶ ἐοίκασι πρὸς τὸν Ἀχιᾶς ἦλθε τὸν βασιλέα, μανίας ἐσκήπτετο, χρῆμα προβαλλόμενος οὐκ ἀληθὲς εἰς τοῦ ὑπὸ φυγοῦ τῶ διὰ τοὺς ἀλλοφύλους θανάτου. Ἀλλὰ μὴν ϗ δικαίως σύνεσι τῷ ἐχθρῶν τιμωρίας, δόλοι παλλάκης ἐδοκίμησαν. Οὕτοι ἐοίκασι ἡ τῶ Ἀώδ πρὸς τὸν Αἰγλὼν ἀναίρεσις, ϗ ἡ τῆς Ἰαὴλ πρὸς τὸν Σισάρα, ϗ ἡ τῆς Ἰουδὶθ πρὸς τὸν Ὀλοφέρνου πρὸς σωτηρίαν τῶ Ἰσραήλ. Οὕτω γε μὴν δόλῳ προσῆλθε τοῖς Ἰουδαίοις ὁ Παῦλος, ϗ γέγονεν Ἰουδαῖος, ἵνα τοὺς Ἰουδαίους κερδήσῃ. διὸ φησίν. Ὑπάρχων πανοῦργος δόλῳ ὑμᾶς ἔλαβον. Ἐπὶ τοῖς τοιούτοις ἐν δόλοις ϗ ψεύδεσιν, ὁ ψεύσας, ὁδὲ δολερὸς τοὺς Ἁγίους δεῖ καλεῖν, ἀλλὰ σοφοὺς μὲν πρὸς τὸ ἀγαθὸν, ἀκεραίους δὲ πρὸς τὸ κακόν. Φυλακτέον δὲ ἔνιοτε χρεία γένοιτο τῶ τοιούτου ψεύδους πρὸς τινὰ τοῖς ἀνθρώποις κακίαν ἁρμοζόμενον ἐν ἡμῖν. Μὴ προσίεσθε τῷ τοιούτῳ λόγῳ ϗ ὅρκον. Οὐ γὰρ λήψῃ φησὶ τὸ Ὄνομα Κυρίου τῶ Θεῶ σου ἐπὶ ματαίῳ. ϗ, Ὅρκον ψεύδη μὴ ἀγαπᾶτε. ϗ, Μὴ σιωπῶντες ταῖς ἐν Κόσμῳ φιλίαις σάσι τὸ Θεῖον Ὄνομα· ὅταν διὰ μάχλου πονηρῶν, ἢ διὰ τὰς ἐπόντας κινδύνους, ἡμῖν τε ϗ φίλοις, ἢ ὅλως διά τινα φιλίαν, ἀνάγκη ψευδολογίᾳ χρήσασθαι. Ἀλλ' ϗ φίλοις, ἢ ὅλως διά τινα φιλίαν, ἀνάγκη ψευδολογίᾳ χρήσασθαι. Ἀλλ' ἔσωσοι τὸ σεβάσμιον Ὄνομα κεχωρισμένον ἀπὸ τούτων, ὅτι ἀληθείας μόνης καλούμενον, ϗ ὅτι ἀνάγκης ϗ μεγάλων πραγμάτων.

Ἔξ. 5.

Βασ. ά. 16.

Βασ. ά. 20.

Βασ. ά. 21.

Ἰουδήθ. ΙΙ. ϗ 12. Πρὸς Κορ. β'. 12.

Θεοδωρήτου, ἐκ τῆ εἰς τὸν Ὡσηέ.

Ἰστέον, ὡς τῷ σκοπῷ τό, τε ἀγαθὸν, ϗ τὸ κακὸν γίνεται. Τύπῳ γὰρ ὁ γάμος τῆς μοιχείας ϗ διαφέρεται, καίτοι τῆς σωφροσύνης ἀδημίαν ἐχούσης

διαφορὰν τῷ σκοπῷ, καὶ τῷ νόμῳ τὸ διάφορον δείκνυται. Καὶ τὸ μὲν εὔνομον, τὸ δὲ παράνομον κείνεται. Ὥσπερ καὶ ὅτι τὸ φόνε. αἴρει γὰρ καὶ ὁ ἀνδροφόνος, αἴρει δὲ καὶ ὁ δικαστὴς, ἀλλ' ὁ μὲν ἐνόμως, ὁ δὲ παρανόμως. Καὶ τὸ μὲν ἔργον ταὐτὸν, τῷ δὲ σκοπῷ διαφέρει. Καὶ ἵνα τὸ σαφέστερον ἀπὸ τῶν Γραφῶν καταμάθωμεν, σκοπήσωμεν πῶς. Ἐφόνευσεν ὁ Καΐν, ἀλλὰ βασκανίας καὶ δόλῳ χρησάμενος. Ἐφόνευσε Φινεὲς, ἀλλὰ ζηλώσας, καὶ τῆς δυσεβείας ἀπαμυνάσας. καὶ τὸ μὲν ἔργον ταυτὸν, ὁ δὲ σκοπὸς ἐναντίος ἐκατέρου. Ἔκλεψεν ὁ Ἰακὼβ τὴν εὐλογίαν, ἔκλεψε καὶ Ἄχαρ ἐν Ἰσραὴλ· ἀλλ' ὁ μὲν ἐπηνέθη, ὁ δὲ ἐλιθοβολήθη. Ἐνήστευσεν Ἠλίας, ἐνήστευσαν καὶ οἱ τὸν Ναβουθαὶ καταλύσαντες· ἀλλ' ὁ μὲν εὐσεβείας εἵνεκα, οἱ δὲ συκοφαντίας χάριν καὶ φόνου. Ἠλέησεν ὁ Σαοὺλ τὸν Ἀγὰγ παρανόμως, καὶ ἐγυμνώθη τῆς βασιλείας· ἔσφαξεν ὁ Σαμουὴλ τὸν αὐτὸν, καὶ Θεῖον Νόμον ἐπλήρωσε.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΞΑ'.

Πῶς νοητέον τὸ, Ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς; Ματθ. 18.

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Βασιλείου.

Ἡ Περικοπὴ αὕτη τοῦτο σαφηνίζει. περὶ γὰρ τοῦ ἐλέγχοντος, καὶ τοῦ ἐλεγχομένου ποιεῖται τὸν λόγον. Ἐὰν γὰρ ὁ ἐλεγχθεὶς παπαυγῇ, καὶ σωφρονήσῃ τῷ σκοπῷ τοῦ ἐλέγχοντος, περὶ παντὸς ἁμαρτήματος, ἃ ἐὰν αἰτήσωνται τὴν ἄφεσιν, δοθήσεται αὐτοῖς παρὰ τοῦ Θεοῦ. Εἰ δὲ συμφωνήσῃ ὁ ἐλεγχόμενος τῷ μὴ ἐλέγχοντι, οὐκέτι ἄφεσις γίνεται, ἀλλὰ δεσμὸς καὶ τὸ ὑπιφερόμενον. ὅτι, Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσαι δεδεμένα ἐν τῷ Οὐρανῷ.

Τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Ματθαῖον.

Ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἔλεγξον αὐτὸν μεταξὺ σου καὶ αὐτοῦ μόνου. ἐὰν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου. ἐὰν δὲ μὴ ἀκούσῃ, πρόσλαβε μετὰ σοῦ ἔτι σεαυτὸν, ἢ δύο, ἵνα ἐπὶ στόματος δύο, ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα. ἐὰν δὲ καὶ αὐτῶν παρακούσῃ, εἰπὲ τῇ Ἐκκλησίᾳ. ἐὰν δὲ καὶ τῆς Ἐκκλησίας παρακούσῃ, ἔστωσοι ὥσπερ ὁ ἐθνικὸς, καὶ ὁ τελώνης. Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσαι δεδεμένα ἐν τῷ οὐρανῷ. καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσαι λελυμένα ἐν τῷ Οὐρανῷ. Ἐὰν δὲ δύο συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος, ὅσα ἂν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ Πατρός μου τοῦ ἐν Οὐρανοῖς. Οὐ περὶ τῶν πρώτων τόπων τῆς Ἐκκλησίας εἴρηκε τὸ,

Ὅσα

Ὅσα ἂν δήσητε, ἔσαι δεδεμένα, ἀλλὰ περὶ τοῦ προσκαλέσαμένου τὸν ἁμαρτήσαντα πρὸς τὸ διαλλαγῆναι. Ὃν δ' ἂν δήσῃ αὐτὸν μὴ πειθόμενον, ἄλυτα μένει τὰ δεσμὰ, καὶ ἐν τῇ ἐνταῦθα τιμωρίᾳ, καὶ ἐν τῇ ἐκεῖ κολάσει καταδεσμῶν αὐτόν. Εἰκότως ἂν ἔλεγε ὁ Ἀπόστολος. Μὴ ἐπιδυέτω ὁ Ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν. Πρὸς Ἐφες. 4.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΞΒ'.

Τοῦ Κυρίου λέγοντος πρὸς τοὺς Ἁγίους αὐτοῦ· Ὅσα ἂν δήσητε ἔσαι δεδεμένα· Ἐάντις παροργίσῃ Ἄνδρα Ἅγιον, καὶ ὀφείλῃ νόσον, ἢ δαίμονα, ἢ θάνατον, ἢ ἄλλῳ τινὰ τιμωρίαν εἰς τὸν οἶκον αὐτοῦ, ἆρα δύναται ὁ ἄνθρωπος προσκαλέσαι ἕτερον Ἅγιον, καὶ ἐκφυγεῖν τῆς ὀφάσεως τοὺς ἁγίους ἀνδρὸς τοῦ πρώτου;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Ἐκ τοῦ Ἁγίου Ἀθανασίου.

Εἰ ἅγιος ἐστὶν ὁ τὴν τιμωρίαν ὀφειλὰς εἰς τὸν οἶκον τοῦ παροργίσαντος αὐτὸν, εὔδηλον, ὅτι βουλήσει τοῦ Θεοῦ τοῦτο πεποίηκε, καὶ δεδεμένος ἐστὶν ὁ ἄνθρωπος ἐκεῖνος, ὃ μόνον ἐν τῇ Γῇ, ἀλλὰ καὶ ἐν τῷ Οὐρανῷ, κατὰ τὸν τοῦ Κυρίου λόγον. Πλὴν ὅτε οἱ Ἅγιοι ἀλλήλοις ἐναντιοῦνται, γινώσκοντες τὸν τῆς ἀγάπης τοῦ πνεύματος συνδεσμον. καὶ ὅτι οὐκ εἰσακούει Κύριος Ἁγίου, ἂν εὔξηται, ἀλύσαι ἄλλου Ἁγίου θέλοι, ἢ καταράσαι. Τίς γὰρ φησὶν ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν· τίς ὁ κατακρινῶν; Καὶ γὰρ ὁ Ἠλίας δεσμήσας τὸν Οὐρανὸν ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, οὐδεὶς τῶν Ἁγίων ἠδυνήθη λῦσαι αὐτὸν, εἰμὴ Ἠλίας, καίπερ ἔχοντος τότε τοῦ Θεοῦ ἑπτακισχιλίους Ἁγίους, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῷ Βάαλ. Καὶ Παῦλος τὸν ἐν Κορίνθῳ πεπορνευκότα παραδοὺς τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, οὐδεὶς ἴσχυσεν ἀπολῦσαι αὐτὸν τοῦ δεσμοῦ, πλὴν τοῦ Παύλου τοῦ καὶ δεσμήσαντος. Οὐ γὰρ εἴωθεν ἀναβέβειν ὁ Θεὸς τὰ τῶν θεραπόντων αὐτοῦ θεσπίσματα, ἀλλὰ μᾶλλον καὶ δίδωσιν ἀπαιτεῖ τοὺς εἰς αὐτοὺς πλημμελοῦντας. Καὶ ἄκουσον τί φησι πρὸς Ἀβιμέλεχ τὸν βασιλέα διὰ τὴν γυναῖκα τοῦ Ἀβραάμ· Ἀπόδος τὴν γυναῖκα τῷ ἀνθρώπῳ, ὅτι Προφήτης ἐστὶ, καὶ προσεύξεται περὶ σοῦ, καὶ ζήσῃ· εἰδὲ μὴ ἀποδῷς, γνῶθι, ὅτι ἀποθανῇ σὺ, καὶ πάντα τὰ σά. Προσηύξατο Ἀβραὰμ, καὶ ἰάσατο ὁ Θεὸς τὸν Ἀβιμέλεχ, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰς παιδίσκας αὐτοῦ, καὶ ἔτεκον, ὅτι συγκλείων συνέκλεισεν ὁ Θεὸς πᾶσαν μήτραν ἐν τῷ οἴκῳ Ἀβιμέλεχ, διὰ τοῦτο Σάρρας τῆς γυναικὸς αὐτοῦ τοῦ Ἀβραάμ. Ὁρᾷς, ὅπως δικαιῶν ὁ Θεὸς τὸν ἑαυτοῦ θεράποντα, πειρασμὸν καὶ θάνατον ἐπήγαγεν, εἰ μὴ θᾶττον ὁ Ἅγιος διὰ προσευχῆς Πρὸς Ρ'ωμ. 8. Βασ. γ'. 17. Πρὸς Κορ. α'. 5. Γεν. 20.

χῆς

Ἰώβ. 42. χῆς τὼ δ'χὼ ἔλυσεν, ὡς ϗ δεσμήσας πε πάντως; Οὕτω ϗ τὸν Ἰὼβ παραπικραίναντες ϗ πατασκήναντες οἱ ξεῖς φίλοι αὐτε, ἔμελλον φοβερὰν ἀπώλειαν κληρονομεῖν, εἰμὴ δι' ἁγίου προσδ'χῆς τούτων ἔλυσεν ὁ δεσμήσας αὐτὼ πάλαι Δίκαιος. Καὶ Δαθὰν δὲ ϗ Ἀβειρὼν, αὐτιπρόσωποι χωνευτοὶ Μωϋσῆ, κατεπόθησαν εἰς γῆν ζῶντες. Ὡσαύτως ϗ οἱ Κορῖται ἑξακόσιοι πεντήκοντα ἄνδρες, τῷ Ἀαρὼν ἐξασκήσαντες, θείᾳ πυρὸς φλογὶ ἀνάλωμα γεγόνασι. Καὶ Μαρία ὀνειδίσασα ϗ λοιδορήσασα Μωϋσῆ, ἀδοκήμα ἐλεπρώθη. Ὁ δέγε Ἱερεμίας ἐξαλοιδορηθεὶς ὑπὸ τε λαε Ἰσραὴλ ἐωδάται λέγων. Εἰσάκουσον Κύριε τῆς φωνῆς τῶν δικαιωμάτων μου, εἰ ἀνταποδίδοται ἀντὶ ἀγαθῶν κακά· ὅτι σκωλεύουσι ῥήματα ϗ τὴν ψυχήν μου. μνήσθητι ἐστηκότος μου ϗ τοῦ προσώπου σε τε λαλῆσαι ὑπὲρ αὐτῶν ἀγαθὰ, ϗ ἀποστρέψαι τὸν θυμόν σε ἀπ' αὐτῶν. Διατοῦτο δὸς αὐτὺς εἰς λοιμὸν ϗ μάχαιραν, ϗ μὴ ἀθῳώσῃς τὰς ἀδικίας αὐτῶν, ϗ τὰς ἁμαρτίας αὐτῶν ἀπὸ προσώπου σε μὴ ἐξαλείψῃς, ὅτι ἐνεχείρησαν λόγον εἰς σύλληψίν μου, ϗ παγίδα ἔκρυψαν ἐπ' ἐμέ. Καὶ τότε εἶπε Κύριος πρός με· Ἴδε ἐγὼ ἐπάγω ἐπ' αὐτὺς κακὰ, ὥστε πάντας ἀκούοντας αὐτὰ, ἠχήσει ἀμφότερα τὰ ὦτα αὐτε. Σαὺλ δὲ κατεδίωκε ϗ ἐθήλιβε τὸν Δαβὶδ λέγοντα πρὸς αὐτόν. Ἵνα τί καταδιώκεις τὸν ψυχόν μου λαβεῖν αὐτόν; δικάσαι Κύριος ἀναμέσον ἐμε, ϗ σε, ϗ ἐκδικήσαι με ἐκ τῆς χειρός σου. Ἀυτοφυδὴς χωνευτὸς Σαὺλ τὸν βίον κατέτρεψεν. Ὅθεν ψάλλων ὁ Δαβὶδ ἔλεγε· Ἡ ῥομφαία αὐτε εἰσέλθοι εἰς καρδίαν αὐτε· ϗ, Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτε συνελήφθη ὁ ἁμαρτωλός. Οὕτω ϗ Ἀχιτόφελ βυλὰς κατ' αὐτε συνεβάλλων, ϗ τὸν Ἀβεσαλὼμ εἰς αἵρεσιν αὐτε ἐξασκυβάλλων, ὁ μὲν ἀγχόνῃ τῷ ζωῷ κατέλυσεν, ὁ δὲ ξίφει τῷ ψυχῷ ἀπέῤῥηξεν. Ἄξιον ἦν αὐτοῖς ἐπιτάφιον ἀναγραφόμενος Σολομών, ἐξ μὲν τε Ἀχιτόφελ φησίν. Ὃς δ' ἂν ἐκκαύσῃ κακίαν, ἀπολεῖται ὑπ' αὐτῆς, ϗ ὃς ἐξασκυβάλλεται ἐπὶ προσώπου τε ἑαυτε φίλε δίκτυον, ἐμβαλεῖ αὐτὸ τοῖς ἑαυτε ποσί. Περὶ δὲ Ἀβεσαλώμ. Ὀφθαλμὸν καταγελῶντα πατρὸς, ἐκκόψαισαν αὐτὸν κόρακες ἐκ τῶν φαράγγων, ϗ καταφάγοισαν αὐτὸν νεοσοὶ ἀετῶν. Καὶ, Κακολογοῦντες πατέρα, σβεσθήσεται λαμπτὴρ, αἱ δὲ κόραι τῶν ὀφθαλμῶν αὐτῶν ὄψονται σκότος· ϗ γὰρ εἰς κόλπον ἐπέρχεται πάντα τοῖς ἀδίκοις. Παρὰ γὰρ Κυρίῳ πάντα δίκαια. Καταπαίζοντα δὲ Ἐλισαὶε τὰ παιδάρια, ϗ καταρασαμένε αὐτε αὐτὰ ἐν λόγῳ Κυρίε, ἐξῆλθον δύο Ἄρκοι ἐκ τε δρυμε, ϗ ἀνέῤῥηξαν ἐξ αὐτῶν τεσσαράκοντα δύο παιδία. Εἰκότως ἂν εἴρηται· Θανάτος ϗ ζωὴ ἐν χειρὶ γλώσσης, ϗ πεσοῦνται δι' ἀπαιδευσίαν γλώσσης αὐτῶν. Ὡσαύτως τοίνυν ϗ ὁ τότε διδάσκαλος Ἠλίας τὰς πεντηκοντάρχας μετὰ τῶν σὺν αὐτοῖς ἐρημίᾳ πυρὶ κατέφλεξε. Τί δὲ ὁ θαυμάσιος Πέτρος, ϗ Παῦλος; Οὐχ ὁ μὲν θάνατον διὰ Ἀνανίαν, ϗ Σαπφείραν ἐπήγαγε, ὁ δὲ πύρωσιν Ἐλύμα τῷ μάγῳ ἐξασάμενος ἐπέπεμψεν; ὃς ϗ δοκήμα ἔμεγον ἐζή-

Ἰώβ. 42.
Ἀριθ. 16. ϗ 12.
Ἱερ. 18.
Βασ. ά. 24. ϗ 31.
Ψαλμ. 36.
Ψαλ. 9.
Βασ. β'. 17. ϗ 18.
Παρ. 29.
Παρ. 30.
Βασ. δ'. 2.
Παρ. 18.
Βασ. δ'. 1.
Πράξ. 5. ϗ 13.

τει χειραγωγῆς. Ὁρᾷς ὅπως ὁ Θεὸς τὰς ἑαυτῶν τιμωρὸς δίκης, ὑπακούει ϗ τῆς δ'χῆς αὐτῶν ϗ τῆς κατάρας; Θέλημα γὰρ αὐτῶν ποιεῖ, ϗ τῆς δεήσεως αὐτῶν εἰσακούει. Καὶ διὰ τοῦτο παραινεῖ ὁ Σοφὸς λέγων. Μὴ δῷς τόπον τῷ ἀυτῶν εἰσακοῦσαι. Καὶ διὰ τοῦτο παραινεῖ ὁ Σοφὸς λέγων. Μὴ δῷς τόπον τῷ ἀυτῶν εἰσακοῦσαι. Ἐκκ. 4.

Μὴ δῷς τόπον τῷ ἀνθρώπῳ, τουτέστι τῷ δικαίῳ, καταράσασθαί σε· καταρωμένε γάρ σε ἐν πικρίᾳ ψυχῆς αὐτε, τῆς δεήσεως αὐτε εἰσακούσεται Κύριος. Ὀφθαλμοὶ γὰρ Κυρίε ἐπὶ Δικαίες, ϗ ὦτα αὐτε εἰς δέησιν αὐτῶν. Διὸ ϗ οἱ μισοῦντες, ϗ οἱ ἐξουδενοῦντες δίκαιον, εἰς τὸν Θεὸν πλημμελοῦσι, ϗ αὐτὸν ἐξουθενοῦσι. Φησὶ γοῦν ὁ Θεὸς πρὸς τὸν Σαμουὴλ περὶ τε σκληροτραχήλε Ἰσραήλ. Οὐ σὲ ἐξουθενήκασιν, ἀλλ' ἐμέ. Καὶ πρὸς τὺς Ἀποστόλους· Ὁ ἀκούων ὑμῶν, ἐμε ἀκούει. Ὅθεν ϗ ὁ Ἀπόστολος Παῦλος πάλιν ἔλεγεν. Οὕτω δὲ ἁμαρτάνοντες εἰς τὺς ἀδελφὺς, ϗ τύπτοντες αὐτῶν τὸν συνείδησιν, εἰς Χριστὸν ἁμαρτάνετε. Οὕτω τοίνυν οἱ Ἅγιοι, τοῖς μὲν ἀγαθοῖς ἀνθρώποις ϗ εὐσεβέσι, φωτῆρες αὐτῶν εἰσὶ ϗ σωτῆρες, ϗ ὡς φησὶν ὁ Κύριος πρὸς αὐτύς· Τμεῖς ἐστὲ τὸ φῶς τε Κόσμε, ϗ τὸ ἅλας τῆς Γῆς. τοῖς δὲ πονηροῖς ϗ ἀνόμοις, ὀλέθριοι, ϗ τιμωρίας πρόξενοι. Ὥσπερ γὰρ ὁ Ἥλιος τὺς μὲν ὑγιαίνοντας τὰς ὄψεις φωτίζει, ἀμαυροῖ δὲ τὺς ἀσθενεῖς, ἕτω ϗ οἱ Ἅγιοι. Καὶ τοῦτο δηλῶν ὁ Ἀπόστολος ἔλεγε· Χριστῷ εὐωδία ἐσμὲν τῷ Θεῷ ἐν τοῖς σωζομένοις, ϗ ἐν τοῖς ἀπολλυμένοις· οἷς μὲν ὀσμὴ ζωῆς εἰς ζωήν· οἷς δὲ ὀσμὴ θανάτε εἰς θάνατον. Οὕτω δὴ ϗ διὰ τῆς τοῦ Σωτῆρος ἐπιφανείας ἐτυφλώθησαν μὲν τῷ Ἰουδαίων οἱ πλείονες, ἀνέβλεψαν δὲ τὰ ἔθνη. Διὸ φησὶ ϗ ὁ Κύριος. Εἰς κρῖμα ἐγὼ εἰς τὸν Κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, ϗ οἱ βλέποντες τυφλοὶ γένωνται. Κεῖται δὲ εἰς πτῶσιν ϗ ἀνάστασιν. εἰς πτῶσιν μὲν τοῖς ἀπίστοις, εἰς ἀνάστασιν δὲ τοῖς πιστεύσι. Καὶ τοῖς μὲν ἐστὶ λίθος προσκόμματος, ϗ πέτρα σκανδάλε, τοῖς δὲ Λίθος ἀκρογωνιαῖος, ϗ πέτρα ἐπουρανίε. Οὐμὲν δὲ, ἀλλὰ ϗ ὁ Σταυρὸς αὐτε τοῖς μὲν Ἀπολλυμένοις μωρία, τοῖς δὲ σωζομένοις Δυνάμις Θεε ἐστί· ϗ Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρία, ἡμῖν δὲ σωτηρία.

Ἰωάν. 9. Λουκ. 2. Πέτ. ά. 2. Πρὸς Κορ. ά. 1.

Ἐκ τῆς Ἐξόδε. Κεφ. 16.

Διεγόγγυζε δὲ πᾶσα ἡ συναγωγὴ τῶν Υἱῶν Ἰσραὴλ, φησὶν, ὅτι Μωσῆ ϗ Ἀαρὼν ἐν τῇ ἐρήμῳ. ϗ εἶπε Μωϋσῆς πρὸς αὐτύς. Τίνες ἐστὲ ὑμεῖς, ὅτι γογγύζετε καθ' ἡμῶν; Οὐ γὰρ καθ' ἡμῶν ἐστὶν ὁ γογγυσμὸς ὑμῶν, ἀλλὰ ϗ τε Θεε. Καὶ πάλιν εἶπεν αὐτοῖς Μωσῆς. Τί λοιδορεῖσθέ μοι, ϗ τί πειράζετε Κύριον; Ἐξ. 17.

ΕΡΩΤΗΣΙΣ, ΞΓ.

Τῷ Κυρίῳ πάλιν λέγοντος· Ἀντινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἐὰν δὲ ἁμαρτήσῃ ἄνθρωπος ἀνθρώπῳ, καὶ μὴ πάλιν μετανοήσας αὐτῷ, λάβῃ συγχώρησιν παρ' αὐτοῦ, ἆρα συνεχωρήθη καὶ ὑπὸ Θεοῦ;

ΑΠΟΚΡΙΣΙΣ.

Ἰωά. 20. Ματ. 6. Ἀριθ. 12. Πρὸς Γαλ. 5. Ματθ. 18.

ΤΟ', Ἐάν τινων ἀφῆτε ἀφεθήσεται, πρὸς τοὺς Ἁγίους κυρίως εἴρηται, καὶ ὁ πρὸς τοὺς ἁπλῶς ἀνθρώπους. Ὅθεν καὶ εἶπε πρὸς τοὺς πιστούς, Ἐὰν ἀφῆτε, ἀφεθήσεται αὐτοῖς, ἀλλ' ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὁ Πατὴρ ὑμῶν ὁ Οὐράνιος τὰ παραπτώματα ὑμῶν. Κἀντεῦθεν δῆλον, ὅτι ὁ μὲν συγχωρήσας τὰ μέγιστα ἐπέρδησεν, ὁ συγχωρηθεὶς δὲ ὑπόκειται καὶ τῇ Θεῷ μετανοῆσαι, συμφοροδυχομένῳ αὐτῷ καὶ τὸ σκανδαλισθέντος καὶ συγχωρήσαντος. Ἐὰν δὲ φησὶν ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύξηται περὶ αὐτοῦ πρὸς Κύριον, ἀλλὰ μὴν κἂν ἅγιος ἐστὶν ὁ συγχωρῶν, ἐὰν μὴ καὶ τῷ Θεῷ γνησίως μετανοήσῃ ὁ ἁμαρτήσας, οὐκ ἀφεθήσεται αὐτῷ. Καὶ γὰρ ἡ Μαρία λοιδορήσασα τὸν θεσπέσιον Μωϋσῆν, καὶ ὑπὸ τοῦ Θεοῦ ἐλεγχθεῖσα καὶ λεπρωθεῖσα, ὁ μὲν Μωϋσῆς συνεχώρησεν, καὶ ὑπὲρ αὐτῆς ἐδυσώπησεν. ὁ δὲ Θεὸς ὁ πρότερον αὐτῇ συνεχώρησεν, ἕως οὗ ἠφωρίσθη ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας, καὶ τότε ἰάθη καὶ συνεχωρήθη, ὡς γνησίως πάντως καὶ τῷ Θεῷ μετανοήσασα, συμφοροδυχομένου δηλονότι καὶ τοῦ ἀδελφοῦ, καὶ παντὸς τοῦ λαοῦ. Διὰ τοῦτο φησὶν ἡ Γραφή. Οὐκ ἐξῆρεν ὁ λαὸς ἕως οὗ ἐκαθαρίσθη ἡ Μαρία. Ὁ δέγε λαὸς ἁμαρτήσας εἰς αὐτὸν, συνεχώρησε μὲν, καὶ ὑπὲρ αὐτῶν ἐδυσώπησε, μὴ μετανοήσαντες δὲ γνησίως καὶ τῷ Θεῷ, ἐξωλοθρεύθησαν. Οὐκοῦν, ἐὰν μὴ ἀξίως καὶ τῷ Θεῷ μετανοήσῃ, οὐκ ἀφεθήσεται αὐτῷ, καθὼς ἀποδέδεικται. Ὑπόθες γάρ μοι τινὰ μοιχεύσαντα εἰς τὴν γυναῖκα τοῦ πλησίον, καὶ ἄφεσιν παρ' αὐτοῦ λαβόντα, ἆρα λοιπὸν συγκεχώρηται αὐτῷ καὶ ὑπὸ τοῦ Θεοῦ, ἐὰν μὴ μετανοήσῃ; Οὐδαμῶς. Καὶ γὰρ οἶδα ἐγὼ τινὰ πνευματικὸν ἄνδρα, πολλοὺς ὠφελοῦντα διὰ λόγου καὶ βίου, ὃν τινὲς ἐκ διαβολικῆς ἐνεργείας φθονήσαντες καὶ διαλοιδορήσαντες, πολλοὺς ἀπέκοψαν, καὶ τῆς ἐξ αὐτοῦ πρὸς αὐτοὺς ὠφελείας ἀπεστέρησαν. Καὶ δὴ μὴ ταῦτα νοήσαντες τῷ τοῦ Διαβόλου πλανήτῃ, καὶ μετανοήσαντες αὐτῷ, καὶ συγχώρησιν παρ' αὐτοῦ λαβόντες, ὕστερον οἱ μὲν ἐδαιμονίσθησαν, οἱ δὲ πειρασμοῖς διαφόροις καὶ κινδύνοις περιέπεσαν ὑπὲρ τὸ κείμενος, ἃ τοὺς πολλοὺς ἐσκανδάλισεν. Εἰκότως ἂν ἔλεγεν ὁ Ἀπόστολος. Ὁ παράσων ὑμᾶς, αὐτὸς βαστάσει τὸ κρῖμα, ὅστις ἂν εἴη. Καὶ διὰ τοῦτο, περὶ μὲν τοῦ σκανδαλιζόντων φησὶν ὁ Κύριος. Ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμὲ, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς ὑπὸ τὸν

ξά-

χυλον αὐτῷ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης. καὶ, Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται. Περὶ δὲ τῶν σκανδαλιζομένων καὶ λοιδορουμένων· Μακάριοι ἐστὲ, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ἀφορίσωσι, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ Υἱοῦ τοῦ Ἀνθρώπου. χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε, ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς Οὐρανοῖς. κατὰ ταῦτα γὰρ ἐποίουν οἱ πατέρες αὐτῶν τοῖς Προφήταις. Οὐαὶ δὲ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες ἄνθρωποι. κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν. Τοιγαροῦν, τοῦ Θεοῦ συγχωροῦντος, καὶ τοῦ Διαβόλου συνεργοῦντος, ἐπανίστανται ὑμῖν πολλάκις οἱ ποτὲ φίλοι, ἢ καὶ ὁμοεθνεῖοι, λοιδοροῦντες καὶ ἀδικοῦντες ἡμᾶς· ὑπὲρ ὧν εἰ μακροθυμήσωμεν, μεγάλα ἀγαθὰ παρὰ Θεοῦ ληψόμεθα. Ὅθεν καὶ ὁ Δαβὶδ ὑβριζόμενος ὑπὸ τοῦ Σεμεΐ, ἔλεγε τοῖς διεκδικεῖν αὐτὸν βουλομένοις· Ἄφετε αὐτὸν καταρᾶσθαι, ὅπως ἴδῃ Κύριος τὴν ταπείνωσίν μου, καὶ ἀποδώσῃ μοι ἐντῇ ταπεινώσει μου, καὶ ἀνταποδώσῃ ἀγαθὸν, ἀντὶ τῆς κατάρας αὐτοῦ. Καὶ πάλιν ψάλλων ἔλεγεν. Ὁ Θεὸς, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς, ὅτι στόμα ἁμαρτωλοῦ, καὶ στόμα δολίου, ἐπ' ἐμὲ ἠνοίχθη. ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν, ἀντὶ τῆς ἀγαπᾶν με ἐνδιέβαλόν με, ἐγὼ δὲ προσηυχόμην. Τί λέγων; Καταράσονται, καὶ σὺ εὐλογήσεις Κύριε. καὶ, Οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται. Καὶ ὅτι οἱ εὐλογοῦντες τὸν δίκαιον, κληρονομήσουσι γῆν, οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολοθρευθήσονται. Διὸ φησὶν ὁ Θεὸς πρὸς τὸν Δίκαιον Ἀβραάμ. Ὃ εὐλογῶν σε εὐλογημένος, καὶ ὁ καταρώμενός σε ἐπικατάρατος. Λέγει δὲ πρὸς τοὺς Ἀποστόλους. Ὅταν εἰσέρχησθε εἰς οἰκίαν, λέγετε· εἰρήνη τῷ οἴκῳ τούτῳ· καὶ ἐὰν μὲν ᾖ ἐκεῖ υἱὸς εἰρήνης, ἡ εἰρήνη ὑμῶν ἐπαναπαύσεται ἐπ' αὐτόν· ἐὰν δὲ μὴ ᾖ ἐκεῖ ἄξιος, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστρέψει. Εἰ δὲ καὶ ἡ εἰρήνη ἐπ' ἐκείνους πάλιν ἐπιστρέφει, διὰ τὸ μὴ δύρεῖν ἄξιον αὐτῆς, πολλῷ μᾶλλον ἐπιστρέφει ἡ κατάρα εἰς κεφαλὴν τοῦ ἀδίκως αὐτοῦ ἐκπέμψαντος, ὡς οὐκ ἄξιου ὄντος λαβεῖν αὐτοῦ ἐκείνους, πρὸς ὃν ἐξαπεστάλη. Πᾶς γὰρ ὁ μάτην λοιδορῶν, ἑαυτὸν καταρᾶται, καθὼς φησὶν ὁ Σολομών. Ὥσπερ ὄρνεα πέτανται καὶ στρουθοὶ, οὕτως ἀρὰ ματαία οὐκ εἰσελεύσεται ἐπ' οἰκόν. Παραχωροῦντος οὖν ὡς εἴρηται τοῦ Θεοῦ, ἐπεγείρονται οἱ ἄφρονες ἐπὶ τοὺς φρονίμους, οἱ ἀσεβεῖς ἐπὶ τοὺς εὐσεβεῖς, καὶ οἱ ἄδικοι ἐπὶ τοὺς δικαίους, ἐξευτελοῦντες αὐτοὺς ἀδίκως καὶ ἀδικοῦντες. Φησὶ γὰρ ὁ Δίκαιος Ἰώβ. Δίκαιοι καταγελῶνται καὶ παραδίδονται εἰς χεῖρας ἀσεβῶν. καὶ, Δίκαιος ἀνὴρ καὶ ἄμεμπτος ἐγελοίσθη εἰς χλευασμόν. εἰς χρόνον γὰρ πάντων ἡτοίμασται πεσεῖν τοῖς ἄλλοις, εἵνεκε αὐτοῦ ἐκπορθεῖσθαι ὑπ' ἀνόμων. Καὶ Σολομών· Ὄφονται τὸν Δίκαιον, καὶ ἐξευτελίσουσιν αὐτόν· αὐτὸς δὲ ὁ Κύριος ἐκγελάσεται, καὶ ἔσονται εἰς πτῶμα ἄτιμον, καὶ εἰς ὕβριν ἐν νεκροῖς αἰῶνος. Καὶ,

Λευ. 6. Ἰώβ. 12. Ψαλμ. 108. Ψαλμ. 36. Γεν. 12. Λευ. 10. Παρ. 26. Σοφ. 4.

Σοφ. 5. Τότε στήσεται ἐν παῤῥησίᾳ πολλῇ ὁ δίκαιος κατὰ πρόσωπον τῶν θλιψάντων αὐτὸν, καὶ τῶν ἀθετούντων τοὺς πόνους αὐτοῦ, καὶ ἰδόντες ταραχθήσονται φόβῳ δεινῷ, καὶ ἐκστήσονται διὰ τὴν ἀφύκτοφ τῆς σωτηρίας, καὶ ἐροῦσιν ἐν ἑαυτοῖς μετανοοῦντες καὶ στενάζοντες. Οὗτος ἦν, ὃν εἴχομεν ποτὲ εἰς γέλωτα, καὶ εἰς παραβολὴν ὀνειδισμοῦ οἱ ἄφρονες; τὸν βίον αὐτοῦ ἐλογισάμεθα μανίαν, καὶ τὸ τέλος αὐτοῦ ἄτιμον; πῶς κατελογίσθη ἐν Υἱοῖς Θεοῦ, καὶ ἐν Ἁγίοις ὁ κλῆρος αὐτοῦ ἐστίν; ἄρα ἐπλανήθημεν ἀπὸ ὁδοῦ ἀληθείας, καὶ τὸ τῆς δικαιοσύνης φῶς οὐκ ἐπέλαμψεν ἡμῖν; καὶ, Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ Σοφ. 5. ὁ μισθὸς αὐτῶν. καὶ, Οὓς κρίνει δίκαιον τὸν ἄδικον, ἄδικον δὲ τὸν δίκαιον, Παρ. 17. καὶ 29. ἀκάθαρτος καὶ βδελυκτὸς ἀμφὸ Θεῷ. καὶ, Ἄνδρες αἱμάτων μέτοχοι, μισοῦσι Ἐκκ. 1. Δίκαιον. καὶ, Ὅσιος ἀκάθαρτος ἀμφὸ πανούργοις. Καὶ ὁ Σειράχ. Βδέλυγ- Ησ. 51. μα ἁμαρτωλῷ θεοσέβεια. Διὸ φησὶν ὁ Ἡσαΐας πρὸς τοὺς Ἁγίους. Μὴ φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε.

Τοῦ Θεολόγου ἐκ τοῦ εἰς τὸν Μέγαν Ἀθανάσιον.

Παραδίδονται γὰρ καὶ δίκαιοι πολλάκις εἰς χεῖρας ἀσεβῶν, οὐχ ἵνα ἐκεῖνοι τιμηθῶσιν, ἀλλ' ἵνα ἔτι δοκιμασθῶσι. Καὶ φαῦλοι μὲν ἐν θανάτῳ ἐξαισίῳ, καὶ τὸν Γώβ. καταγελῶνται δ' ὅμως πρὸς τὸ παρὸν δυσεβεῖς, ἕως ἡ χρηστότης τοῦ Θεοῦ καλύπτεται, καὶ τὰ μεγάλα σημεῖα τῆς εἰς ὕστερον ἑκατέροις ἀποκειμένων. Ἰώνα καὶ λόγος καὶ πρᾶξις καὶ ὄνομα τοῖς δικαίοις σαθμοῖς τοῦ Θεοῦ παλαντεύεται, ὅταν ἀναξῃ κεῖναι τὸν γῦν, καὶ τὰς βολὰς, καὶ τὰ ἔργα σωμάτων, καὶ γυμνῶν τὰ ἐσφραγισμένα παρ' αὐτῷ καὶ σωζόμενα.

Τοῦ Ἁγίου Βασιλείου ἐκ τῆς Ἀσκητικῶν.

Πρὸς Ῥωμ. 12. Πρὸς Ἑβρ. 10. Οὐκ ἔστιν οἱ καλὸν ἐκδικεῖν ἑαυτὸν, ἀλλ' ἄμεινον ἀπαρρίπτειν τῷ Θεῷ τὴν δίκην ἐπάγοντι τοῖς ἀδικοῦσιν. Διὰ τοῦτο, μὴ ἑαυτοὺς ἐκδικοῦντες, φησὶν, ἀλλὰ δότε τόπον τῇ ὀργῇ. γέγραπται γάρ. Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. Ἀνεξικακία Χριστοῦ τὴν τοῦ Διαβόλου θρασύτητα κατέβαλεν. Οὐκ ὠργίσθη τοῖς ὑβρίζουσιν, ἀλλ' ὑπαρεδίδου τῷ κρίνοντι δικαίως, τοτὲ μὲν ἐν τοῖς ἀνθρώποις ἐδέξατο τὸ ἀνθρώπινον πάθημα. Διὰ τοῦτο γὰρ καὶ Μωϋσῆς, καὶ Δαβὶδ, ὁ μὲν τὸν ἀδελφὸν, καὶ τὸν ἀδελφὸν, ὁ δὲ τὸν Σεμεΐ, ἔφερον ὑβρίζοντας καὶ λοιδοροῦντας αὐτούς. Ἤδεισαν γὰρ ὅτι Θεὸς ἐκδικήσεων Κύριος. Θεοῦ τοίνυν μακροθυμοῦντος, μακροθύμει καὶ σύ. Χριστοῦ δὲ φέροντος, ὑποφέρειν δεῖ καὶ τὸν Χριστοῦ ζήλωτον, καὶ πάντως ποιήσει τὸν ἐκδίκησιν ἐν καιρῷ, καὶ συντελέσει πομπείαν ἁμαρτωλῶν, καὶ κατόρθωσιν δίκαιον.

Τοῦ Χρυσοστόμου, ἐκ τοῦ κατὰ Ματθαῖον.

Ἀλλ' ἠδίκησε, καὶ ὕβρισε, καὶ διέβαλέσε ὁ πλησίον. ἀκοῦν ἐλέησον αὐτὸν, καὶ δάκρυσον, καὶ ἐλέησον. Οὐ γὰρ σὺ εἶ ὁ προσκεκρικὼς τῷ Θεῷ, ἀλλ' ἐκεῖνος. Ἐννόησον ὅτι σαυρῶσθαι μέλλων ὁ Χριστὸς, ὑπὲρ ἑαυτοῦ μὲν ἔχαιρεν, ὑπὲρ δὲ τῶν σαυρωσάντων ἔκλαιεν. Ἀλλ' εἰς πολλὰς σε διέβα-

λε καὶ ἐλοιδόρησε, καὶ τί τοῦτο; τοῦ Θεοῦ εἰδότος, τοῦ μέλλοντος ἀπαιτεῖν τὰς δίκας. Ἀλλ' ἐκ ἐκείνων τῶν ἀκουσάντων; Ἑαυτῷ γὰρ ὑπέθηκε τῆς κακίας, τιμωρίας ὑπόθεσιν, ἵνα μὴ μόνον ὑπὲρ τῶν ἰδίων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἄλλων σοῦ διελεγχθῇ, καὶ ἀφέχῃ λόγον τῷ Θεῷ. Φησὶ γὰρ ὁ Κύριος· Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε. καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. καὶ, Παῦρημα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως. Ἐκ γὰρ τῶν λόγων σε δικαιωθήσῃ, καὶ ἐκ τῶν ἔργων σε καταδικασθήσῃ. Καὶ ὁ Ἀπόστολος. Διὸ ἀναπολόγητος εἶ ὦ ἄνθρωπε πᾶς ὁ κρίνων· ἐν ᾧ γὰρ κρίματι κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων. Εἰ δὲ ἐκ ἀρκεῖ σοι τοῦτο, ἐνόησον ὅτι καὶ ὁ Δεσπότης σε διεβλήθη ὑπὸ τοῦ σατανᾶ, καὶ ὑπὸ τῶν πονηρῶν ἀνθρώπων. διὸ καὶ ἔλεγεν. Εἰ τὸν Οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς αὐτοῦ; μὴ οὖν φοβηθῆτε αὐτούς. Καὶ ὁ διέβαλε μόνον αὐτὸν ὁ πονηρὸς δαίμων ἐκεῖνος, ἀλλὰ καὶ ὅπως δόθη, καὶ διέβαλεν ὁ τὰ τυχόντα, ἀλλὰ τὰ μέγιστα ὀνείδη καὶ ἐγκλήματα. Καὶ γὰρ δαιμονᾶν αὐτὸν ἔφησε, καὶ πλανᾶν εἶναι, καὶ αὐτίθεον, καὶ Σαμαρείτην, καὶ ἐκ πορνείας γεγεννῆσθαι.

ΕΡΩΤΗΣΙΣ, ΞΔ'.

Τοῦ Χριστοῦ λέγοντος· Οὐ τὰ εἰσερχόμενα διὰ τοῦ στόματος κοινοῖ τὸν ἄνθρωπον· Διατί οἱ Πατέρες ὑμῶν ἔπεισαν μὴ ἐσθίειν ἡμᾶς κρέα ἐν ταῖς ἁγίαις νηστείαις; Ματθ. 15.

ΑΠΟΚΡΙΣΙΣ.

Περὶ βρωμάτων εἶπεν ὁ Κύριος τοῦτο. Οἶδαμεν γὰρ, ὅτι ἡ πολυφαγία, καὶ ἡ πολυποσία κοινοῖ τὸν ἄνθρωπον, ἐπεγείροντες κατ' αὐτοῦ τὰ πάθη τῆς σαρκὸς πρὸς ἀσέλγειαν. Καὶ γὰρ ἡ δυσαμις τοῦ Σατανᾶ, καὶ τὸν Γώβ, διὰ ὀμφαλοῦ γαστρός. Ἀλλ' ἐπειδὴ οἱ Φαρισαῖοι κατέγνωσαν τῶν Ἀποστόλων, ὡς ἀνίπτοις χερσὶν ἐσθιόντων, πρὸς παῦτα ὑποκριθεὶς ὁ Κύριος φησίν. Οὐ πᾶν τὸ εἰσπορευόμενον διὰ τοῦ στόματος κοινοῖ τὸν ἄνθρωπον, τουτέστιν ὁ ῥύπος τῶν χειρῶν, ὃν ὑμεῖς ἀσκεῖτε, ἀλλὰ τὰ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενα ἁμαρτήματα, ἐκεῖνα κοινοῖ τὸν ἄνθρωπον. Οἷον ἐπάγει. Τὸ δὲ ἀνίπτοις χερσὶν ἐσθίειν, οὐ κοινοῖ τὸν ἄνθρωπον, πλὴν εἰ καὶ πάντα ἡμῖν ἔξεσιν ἐσθίειν, ἀλλ' οὐ πάντα συμφέρει, καθ' ὁ Ἀπόστολον, φησὶ γάρ. Πάντα μοι ἔξεσιν, ἀλλ' οὐ πάντα συμφέρει, ἤτοι φαγεῖν καὶ πιεῖν· ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπ' τινος, τουτέστιν οὐκ ὀφείλω ὑπὸ τῶν βρωμάτων δηλαδὴ, καὶ τῆς ἐπ' αὐτοῖς ἐπιθυμίας κυριεύεσθαι. Ματθ. 7. Ματθ. 12. Πρὸς Ῥωμ. 2. Ματθ. 10. Ἰώβ. 40. Πρὸς Κορ. α'. 10.

Πολλοὶ γὰρ ἐ προσέχοντες τῦτο, ἀλλ' εἰς ἐκεῖνο βλέποντες, ὅτι ϗ φαγεῖν, ϗ πιεῖν ἀνθρώποις, ϗ τὶν γαστέρα πληρᾶν, ὡς δεδωκότος ἡμῖν τῦ Θεῦ ϗ τὰ ἀπὸ γῆς ϗ θαλάσσης πρὸς ἀπόλαυσιν τῶν βρωμάτων, ὄξος ὄξιν, ὑσὸ τῦ κόρυ ϗ τῆς ἡδονῆς ἐ τὰ τυχόντα βλάπτονται· περὶ ὧν φησίν. Ὧν ὁ Θεὸς ἡ κοιλία, ϗ, Τὰ βρώματα τῇ κοιλίᾳ, ϗ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς ϗ τύτων, ϗ ταῦτα καταργήσει. Πᾶσα τοίνυν νηστεία, ϗ χαμδυνία, ϗ σκληραγωγία, δύο σκοποὶ εἰσὶν δυσεβείας. ὁ μὲν ἵνα οἱ τῶν ἡδέων τὸ Κόσμυ τύτυ μὴ ἀπολαύσαντες, τῶν μελλόντων ἀγαθῶν αὐτ' αὐτῶν ἀποστερήσωσιν· ὁ δὲ, ὅπως καπεινωθέντος τῦ σώματος, σωπαπεινωθῇ ϗ ἡ ψυχὴ, ϗ ὁ λογισμός· καπεινωμένης δὲ τῆς ψυχῆς, δικατανύκτως περιπαλεῖ τὸν Θεὸν ὁ ἄνθρωπος, ϗ λαμβάνει συγχώρησιν. Εἰ δέ τις τῶν βρωμάτων μὲν ἀπεχόμενος, διὰ λόγων δὲ βρωμάτων ϗ ποτῶν ἐστὶ ξένων ϗ λιπαίνων τὸ σῶμα, ὑδὲν ὠφελεῖται νηστεύων. Γρεῖον δὲ, ὅτι ϗ δεῖ νηστεύειν Ἑβδομάδας ὅπως ἐν τῇ Μεγάλῃ Τεσσαρακοστῇ, ὡς οἱ Ἀρειανοὶ, ὑπερβαίνοντες τὸν ὡρισμένον ἡμῖν ἀριθμὸν τῶν τεσσαράκοντα ἡμερῶν, ἐν τῷ προσιθέναι ἑβδομάδα μίαν, μὴ ἀκούοντες τῦ Μωϋσέως λέγοντος. Καὶ φυλάξῃ τὸ ῥῆμα, ὃ ἐντέλλομαί σοι, ϗ προσθήσης ἐπ' αὐτῷ, ὑδὲ μὴ ὑφέλῃς ἀπ' αὐτῦ. ϗ τῦ Παροιμιαστῦ. Μὴ προσθῇς τοῖς λόγοις αὐτῦ, μή ποτε ἐλέγξῃ, ϗ ψευδὴς γένῃ. ϗ τῦ Βαπτιστῦ. Μηδὲν πλέον ὡρισμένον ὑμῖν πράσσετε. ϗ τῦ Ἀποστόλυ. Εὐαγγελίζεται ὑμῖν, παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. Οὕτω γὰρ ϗ ἐξ ἀρχῆς ἐγένετο. Εἶπεν ὁ Θεὸς τῷ Ἀδὰμ, τύδε ποίησον, ϗ τύδε μὴ ποίησον. ἐκεῖνος δὲν ὡς πλεῖόν τι νομίζων διείσκειν παρήκησε, ϗ ὅπερ εἶχεν ἀπώλεσεν. Οὐ δεῖ τοίνυν πλάσειν κόπον ὅπ πρόσαγμα, ἀλλὰ σοιχεῖν τοῖς ὡρισμένοις. Εἰ γὰρ ὅπως Ἑβδομάδας χρὴ νηστεύειν, ϗκ ἔτι ὀφείλει τεσσαρακοστὴ ὀνομάζεσθαι, ἀλλὰ τεσσαρακοστὴ ἑβδόμη, ἥτις τεσσαρακοστὴ πληρῦται εἰς τὴν Ἑορτὴν τῶν Βαΐων. Τῷ γὰρ Μεγάλῳ Ἑβδομάδα, χάριν τῦ Πάθυς τῦ Κυρίυ ϗ τῦ Πάσχα νηστεύομεν, ϗ ϗκ εἵνεκα τῆς τεσσαρακοστῆς. Αἱρετικῶν δέ ἐστιν ὡς εἴρηται τῦτο τὸ δόγμα, ϗ ϗκ Ὀρθοδόξων. Ὡς καί τινες πάλιν τῶν Εὐσαθιανῶν νηστεύσι τεσσαρακοστὴν ἐν Σαββάτῳ ϗ Κυριακῇ, κατὰ τὸ δόγμα τῶν λεγομένων Εὐσαθιανῶν, ϗ Μαρκιωνιτῶν, ϗ Λαμπετιανῶν, ϗ Μασσαλιανῶν, τῶν ἐν Παφλαγονίᾳ ποτὲ ἀναφανέντων. Τὸ γὰρ Σάββατον ϗ ἡ Κυριακὴ, ἡμέραι ἅγιαι εἰσὶ, ϗ ἑορτάσιμοι, ϗ ϗκ ἔξεσιν ἐν αὐταῖς νηστεύειν. Τὸ μὲν γὰρ ἠυλόγηται διὰ τὴν παράπαυσιν τῶν ἔργων τῦ Θεῦ, ἡ δὲ ἡγίασται διὰ τὴν Ἀνάστασιν τῦ Κυρίυ.

Ἐκ τῶν Ἀποστολικῶν Διατάξεων.

ΤΑς Κυριακὰς ἡμέρας τῶν τῦ Κυρίυ ἑορτῶν φυλάσσεσθε. Καὶ πρώτην μὲν τὴν Γενέθλιον, μεθ' ἣν τὴν τῶν Ἐπιφανείων, εἶτα τῆς νηστείας

τῆς

Πρὸς Κορ. α. 6.

Δεύ. 12.

Παρ. 30.

Λευ. 3.

Πρὸς Γαλ. 1.

Γεν. 2.

Ησ. 66. Ἀποκ. 21. ΦΗσὶ γὰρ ὁ Ησαΐας. Οὐν ξόπον ὁ Οὐρανὸς καινὸς, ϗ ἡ Γῆ καινὴ, ἃ ἐγὼ ποιῶ μένειν ἐνώπιόν μυ, λέγει Κύριος, ὕπω σήσεται τὸ σπέρμα ὑμῶν ϗ τὸ ὄνομα ὑμῶν. Καὶ ὁ Ἰωάννης ἐν τῇ Ἀποκαλύψει φησίν. Εἶδον Οὐρανὸν καινὸν, ϗ Γῆν καινὴν, ϗ τὴν Πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καινὴν εἶδον, καταβαίνουσαν ἀπὸ τῆ Οὐρανῆ, ἐκ τῆ Θεῆ ἡτοιμασμένην, ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς. ϗ ἤκουσα φωνῆς μεγάλης λεγούσης· Ἰδὲ ἡ Σκηνὴ τῆ Θεῆ μετὰ τῶν ἀνθρώπων, ϗ σκηνώσει μετ' αὐτῶν, ϗ ὁ Θεὸς μετ' αὐτῶν ἔσαι, ϗ ἐξαλείψει πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν, ϗ θάνατος οὐκ ἔσαι ἔτι· ὅτι τὰ πάντα ἀπῆλθε. Καὶ εἶδον τὴν Πόλιν Ἱερουσαλὴμ, ἔχουσαν τὴν δόξαν ἀπὸ τῆ Θεῆ. ϗ οἱ θεμέλιοι τῆ τείχους αὐτῆς λίθῳ τιμίῳ κεκοσμημένοι. ϗ ἡ πλατεῖα χρυσίον καθαρὸν ὡς ὕελος διαυγής. Καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ, ὅτι Κύριος Ναὸς αὐτῆς ἐστί. ϗ οὐκ εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινὸν, ϗ πᾶς ποιῶν ἐν αὐτῇ βδέλυγμα ϗ ψεῦδος, εἰ μὴ οἱ γεγραμμένοι ἐν τῇ βίβλῳ τῆς ζωῆς. Καὶ ἡ Πόλις οὐ χρείαν ἔχει τῆ Ἡλίυ, οὐδὲ τῆς Σελήνης, ἵνα φαίνωσιν ἐν αὐτῇ. ὅτι ἡ Δόξα τῆ Θεῆ ἐφώτισεν αὐτὴν. ϗ νὺξ οὐκ ἔσαι ἐκεῖ ἔτι. Ἀποκ. 22. Ο γὰρ Κύριος φωτιεῖ ἐπ' αὐτῆς, ϗ βασιλεύσει εἰς τὸν αἰῶνα τῶν αἰώνων. Τότε δὲ οἱ μὴ καταξιωθέντες τῆς ἐν Οὐρανῷ διατριβῆς, ἐκεῖσε χωρήσουσιν. Οἱ δὲ τῆς τῆ Παραδείσυ τρυφῆς ἀπολαύσουσιν. Οἱ δὲ τὴν Ἁγίαν Γῆν, ϗ τὴν λαμπρότητα τῆς Πόλεως καθέξουσι, σὺν πᾶσι τοῖς περὶ αὐτὴν ἀγαθοῖς, ἐπιχορηγουμένοις ὑπὸ τῆ Θεῆ. Πανταχῆ γὰρ ὁ Σωτὴρ ὀραθήσεται, καθὼς ἄξιοι ἔσονται οἱ ὁρῶντες αὐτόν. Εἶναι δὲ τὴν διαφορὰν τούτης τῆς οἰκειώσεως τῶν τὰ ἑκατὸν καρποφορούντων, ϗ τῶν τὰ ἑξήκοντα, ϗ τῶν τὰ τριάκοντα. Ὧν οἱ μὲν εἰς τὰς Οὐρανὰς ἀναληφθήσονται, οἱ δὲ ἐν τῷ Παραδείσῳ διατρίψουσιν, οἱ δὲ τὴν Πόλιν κατοικήσουσι. Ἰω. 14. Καὶ διὰ τῦτο εἰρῆκέναι τὸν Κύριον ἐν τοῖς τῆ Πατρός μυ μονὰς εἶναι πολλάς. Τὰ πάντα γὰρ τῆ Θεῆ. Ὃς τοῖς πᾶσι τὴν ἁρμόζουσαν οἴκησιν παρέχει.

ΕΡΩΤΗΣΙΣ, ΟΕ'.

Πόθεν γινώσκει ὁ ἄνθρωπος εἰ ἐνῴκησεν ἐν αὐτῷ ὁ Θεός;

ΑΠΟΚΡΙΣΙΣ.

ΤΟῦτο τὸ ἐρώτημα ὅμοιόν ἐςι τῆ ἐρωτῶντος τὴν ἔγκυον γυναῖκα, ὅτι πόθεν οἶδας, εἰ σωέλαβεν ἐν γαςρί; Ὥσπερ οὖν ἐκείνη οὐ δεῖται παρ' ἑτέρυ γνῶναι τῦτο, ἀλλ' αὐτὴ ἐξ αὐτῆς οἶδεν ἐν αὐτῇ, ἔκτε τῆς ἀνασολῆς τῶν αἱμάτων, ἔκτε τῆς ὄγδοη τῆ βρέφυς σκιρτημάτων, ἔκτε λοιπὸν ϗ τῆς ὀσοχῆς τῶν πολλῶν βρωμάτων, ὅτι σωέλαβεν, Οὕτω ϗ ἡ ψυχὴ, οὐ δεῖται παρ' ἑτέρυ μαθεῖν, ἐπείκα ἐνοικήσῃ ὁ Χριςὸς ἐν αὐτῇ διὰ Πνεύματος Ἁγίυ. Εὐθέως γὰρ ϗ αὐτὴ ὁρᾷ τὰ ἀκάθαρτα αἵματα τῶν ϗ σωήθειαν αὐτῆς παθῶν ἀνασελλόμενα, ϗ τὸν τῶν πολλῶν βρωμάτων ὄρεξιν παυομένην, ϗ μᾶλιςα τὸν γλυκύτητα τῆς ἡδονῆς ὑπὲρ πάντα μισυμένην. Μισητὴ γὰρ πάσῃ ἐγκύῳ γυναικὶ ἡ τῆ μέλιτος γλυκύτης καθέςηκεν. Ὅτε οὖν ταῦτα ϗ τὰ τοιαῦτα τεκμήρια ϗ σύσημα ἐν ἑαυτῇ ἡ ψυχὴ τῆ Χριςῆ θεάσηται, τότε ϗ αὐτὴ μετὰ τῆ Προφήτυ πνευματοφόρυ γινομένη λέγει πρὸς τὸν Θεόν· Διά τὸν φόβον συ Κύριε ἐν γαςρὶ ἐλάβομεν, ϗ ὠδινήσαμεν, ϗ ἐτέκομεν πνεῦμα σωτηρίας, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς. Ησ. 26. Ὅτι δὲ τὰ τοῦτο ἐςὶ σύσημον τῆ ἀληθῆς Χριςιανῆ, ἄκυσον Παύλυ τῆ Ἀποσόλυ λέγοντος. Ἢ οὐκ ἐπιγινώσκετε ἑαυτὸς, ὅτι Ἰησῆς ὁ Χριςὸς οἰκεῖ ἐν ὑμῖν; εἰ μήτι ἄρα ἀδόκιμοί ἐςε. Πρὸς Κορ. β'. 13.

ΕΡΩΤΗΣΙΣ, ΟϚ'.

Δυνατόν ἐςι ἐξηγήσασθαι, Ἂν ὀφθαλμὸς οὐκ εἶδε, ϗ ὖς οὐκ ἤκυσε, ϗ ἐπὶ καρδίαν ἀνθρώπυ οὐκ ἀνέβη;

ΑΠΟΚΡΙΣΙΣ.

ΟΥ' μόνον ἐξηγήσασθαι ταῦτά τινες ἠξιώθησαν, ἀλλὰ ϗ κτήσασθαι. Περὶ ὧν ὁ Χριςὸς εἶπεν. Ὅτι ἐλευσόμεθα Ἐγὼ ϗ ὁ Πατὴρ, ϗ μονὴν παρ' αὐτοῖς ποιησόμεθα. Ὅπυ γὰρ ὁ Χριςὸς ἐνοικεῖ, ϗ ἐμπεριπατεῖ, ϗ πᾶσα γνῶσις κατοικεῖ. Εἰδέναι γὰρ προσήκει, ὅτι περὶ παρωχημένων, τινές, τῆ προ Χριςῆ δικαίων, ἐςὶ τὸ εἰρημένον. Ἂ ὀφθαλμὸς οὐκ εἶδε, ϗ ὖς οὐκ ἤκυσεν, ὅτε ὄψεται. ὥσπερ ὁ Χριςός φησιν. Ὅτι πολλοὶ προφῆται, ϗ δίκαιοι ἐπεθύμησαν ἰδεῖν, ἃ εἴδετε, ϗ ἀκῦσαι, ἃ ἀκύετε, ϗ οὐκ ἤκυσαν. Καὶ πάλιν φησίν. Ὅτι Θεὸν οὐδεὶς ἑώρακεν. Οὐκ εἶπε δὲ, Ἰω. 4. Λυκ. 10. Ἰωά. 1.

Ματ. 5. δή, ὰ μὴ θεάσηται. Μακάριοι, φησὶν, οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Οὐκοῦν, εἰ δοκεῖ, προσέχωμεν μὴ ἀκριβείας, ἢ γνώσῃ, ὅτι καὶ Παῦλον, ὅσοι εἰσὶν, εἶδον, καὶ νῦν ὁρῶσιν, ἃ ὀφθαλμὸς τῷ ἐν νόμῳ ὢν εἶδε, καὶ ἃς ὢν ἤκουσε, καὶ ὅτι καρδίαν ἀνθρώπου τῆς Παλαιᾶς Διαθήκης ὢν ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. καὶ δ' ἑξῆς ἐπήγαγε λέγων. Ἡμῖν δὲ ἀπεκάλυψεν αὐτὰ ὁ Θεὸς διὰ τοῦ Πνεύματος. τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ. Ὥστε γνωσὰ μὲν εἰσι τοῖς ἀξίοις, ἃ ὀφθαλμὸς ὢν εἶδε. πλεῖω ἄρρητά εἰσι καὶ ἀνέκφραστα διὰ τοὺς μὴ χωροῦντας. Ἑπάγει γὰρ δ' ἑξῆς ἐν αὐτῷ τῷ λόγῳ, λέγων ὁ Παῦλος. Ὅτι ψυχικὸς ἄνθρωπος ὁ δέχεται τὰ τοῦ πνεύματος. Μωρία γὰρ αὐτῷ ἐστι. Τὰ γὰρ πνεύματι, καὶ τοῖς πνευματικοῖς γνωρίζονται, καὶ ἀποκαλύπτονται. Διὸ ἀγώνισαι ἔργῳ καὶ πείρᾳ μαθεῖν ταῦτα, καὶ μὴ λόγῳ ψιλῷ ὠφελῶς.

Πρὸς Κορ. ά. 2.

Πρὸς Κορ. ά. 2.

Ε Ρ Ω Τ Η Σ Ι Σ, ΟΖ.

Πέτρ. ά. 1. Ποῖα εἰσὶ τὰ ἀγαθὰ ἐκεῖνα τὰ ὑπὸ τοῦ Χριστοῦ δωρηθέντα ἡμῖν, εἰς ἃ ἐπιθυμοῦσιν οἱ Ἄγγελοι παρακύψαι, καθὼς φησὶν ὁ Κορυφαῖος Πέτρος;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Ο Ἱ μὲν φασιν, ὅτι αὐτά εἰσιν, ἃ ὀφθαλμὸς ὢκ εἶδε, καὶ ἃς ὢκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου ὢκ ἀνέβη. Ἄλλοι δὲ λέγουσιν, ὅτι τὸ μυστήριον τῆς Μεταλήψεως ἡμῶν. Ἀλλὰ πῶς τοῦτο ὅλως ἔχει λόγον; Ἡ γὰρ αἱμάκτος ἡμῶν Θυσία, δι' Ἀγίων Ἀγγέλων τελεσιουργεῖται, καὶ διορυφορεῖται, καὶ πράττεται. Οὐκοῦν ἐμοὶ δοκεῖ, ὅτι ἐπιθυμοῦσιν οἱ Ἄγγελοι, ἵνα καὶ ἐν τῇ φύσει αὐτῶν, ὥσπερ καὶ ἐν τῇ ἡμετέρᾳ σαρκὶ ἐνοικήσῃ κατ' οὐσίαν ὁ Θεοῦ Λόγος, ὁ ποιήσας αὐτούς. Ἐπιθυμοῦσι πάλιν, ἵνα καὶ ἡ φύσις αὐτῶν ὑφ' ἡμῶν προσκυνῆται, καὶ δοξολογῆται, καὶ καθεζομένη ἐν τῷ θρόνῳ τοῦ Χερουβικοῦ, ἐν τοῖς κόλποις τοῦ Πατρὸς, ὡς καὶ ἡ ἡμετέρα φύσις ἐν Χριστῷ προσκυνεῖται ὑπ' αὐτῶν, καὶ ὑπὸ πάσης ὁρατῆς, καὶ ἀοράτου κτίσεως. Ἄλλως δὲ ἐπιθυμίαν αὐτοὺς ἔχειν, τὰς κλεῖς τῆς Βασιλείας τῶν Οὐρανῶν, καὶ καθεδοῦαι ἐπὶ δώδεκα Θρόνους κείναντες ὡς ὁ Χριστὸς ἐν ἡμέρᾳ κρίσεως, καθὼς μέλλουσι κρίνειν οἱ Ἀπόστολοι. Λέγω δὲ ἐγὼ, ὅτι ἐπιθυμοῦσι τὰ Χερουβὶμ, καὶ τὰ Σεραφὶμ, πρὸς Χριστὸν παῤῥησίαν τοιαύτην ἔχειν, οἵαν ἔχουν ὁ ἀναπλασθεὶς ἐπὶ τοῦ σήθους αὐτοῦ, καὶ αἱ ἀλείψασαι, καὶ μυρίσασαι αὐτὸν Γυναῖκες ἁμαρτωλαί. Εἴπωσι τῷ πάντων μείζον. Εἴρηκεν ὁ Χριστὸς, ὅτε ἐλθῃ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, αἱ μὲν Δυνάμεις τῶν Οὐρανῶν σαλευθήσονται τῷ φόβῳ καὶ τῷ δόμῳ αὐτοῦ. Τοὺς δὲ δικαίους ἀνακλινεῖ, καὶ παρελθὼν διακονήσει αὐτοῖς ὁ πλάσας αὐτούς. ταῦτα καὶ τὰ τοιαῦτά εἰσι τὰ ὑπὸ τοῦ Χριστοῦ δωρηθέντα ἡμῖν ἀγαθὰ, εἰς ἃ ἐπιθυμοῦσιν Ἄγγελοι παρακύψαι, τοσοῦτον εἰσελθεῖν.

Ματ. 24. Μαρ. 14. Λουκ. 12.

Ε Ρ Ω Τ Η Σ Ι Σ, ΟΗ.

Καὶ τί δήποτε τὴν ἡμετέραν φύσιν, ὑπὲρ τὴν τῶν Ἀγγέλων ἐδόξασε, καὶ ἀγαπᾷ ὁ Θεός;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Η Θέλησαν περὶ τούτου τινὲς λέγειν, ἵνα φησὶν, ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. πρὸς ὃς δυνατόν τις ἀντιστῆναι, λέγων. Οὐκοῦν ἐχέτω μᾶλλον καὶ τοὺς δαίμονας σωθῆναι. Ἐν αὐτοῖς γὰρ ὑπὲρ ἡμᾶς ἐπλεόνασε, καὶ πλεονάζει ἡ ἁμαρτία. Οὐκοῦν ἄκυρον Παύλου διδάσκοντος τὸν τρόπον τῆς τοῦ Χριστοῦ Ἐνανθρωπήσεως, καὶ πρὸς ἡμᾶς αὐτοῦ πολλῆς ἀγαθότητος. Λέγει γάρ. Τὸ μυστήριον, ὃ προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων. τοῦτέστι τὴν πρὸς ἀνθρώπους οἰκονομίαν, καὶ χρηστότητα. Ὥστε ἐν προσκειται τῷ ἀνθρωπίνῳ ὁ Θεὸς ὑπὲρ πᾶσαν κτίσιν, κατὰ δύο τρόπους. Πρῶτον μὲν, ὡς ἰδιόχειρον αὐτοῦ πλάσμα, καὶ προτύπωμα τῆς οἰκονομίας αὐτοῦ, ζῶον ὁρατὸν, καὶ ἀόρατον, θνητὸν, καὶ ἀθάνατον, ὡς καὶ ὁ Χριστός. Δεύτερον δὲ, ὡς ὁ μονογενὴς ἡμῶν καὶ ὁμοούσιος, καὶ σύμφυλος, καὶ σύμμορφος γεγονὼς ἄνθρωπος, ὡς καὶ φυσικῷ τινι λόγῳ καὶ τρόπῳ προσκειται, καὶ ἀγαπᾷ τὸ ὁμόφυλον, καὶ συγγενὲς, καὶ ὁμοούσιον αὐτοῦ.

Πρὸς Ρωμ. ε.

Πρὸς Ρωμ. 16. Πρὸς Κολ. ι.

Ε Ρ Ω Τ Η Σ Ι Σ, ΟΘ.

Εἴ τις ἄπιστος, ἢ Ἰουδαῖος, ἢ Σαμαρείτης, ποιήσῃ πολλὰ ἀγαθὰ, ἆρα εἰσέρχεται εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Τ Οῦ Κυρίου πρὸς Νικόδημον λέγοντος· ὅτι, Ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ δι' ὕδατος καὶ Πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν· Εὔδηλον μὲν, ὅτι εἰς Βασιλείαν οὐκ εἰσέρχεται. ὅμως οὐκ ἀπολεῖ τὸν μισθὸν αὐτοῦ δι' ὀλιγωρίας, καὶ πλάτος, καὶ ῥυφῆς, καὶ τῆς λοιπῆς ἀπάτης τοῦ βίου, κατ' ἐκεῖνον τὸν ἀκούσαντα· Μνήσθητι, ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου. Καὶ πάλιν ἐν τῷ μέλλοντι αἰῶνι διαφορὰν ἔχει πολλὴν ὑπὲρ τὸν μὴ ποιήσαντα ἀγαθά. Ὥσπερ γὰρ ὅτι τῶν δικαίων πολλαὶ μοναὶ παρὰ τῷ Θεῷ, οὕτω καὶ ὅτι τῶν ἁμαρτωλῶν πολλαὶ κολάσεων διαφοραί.

Ἰωάν. 3.

Λουκ. 16.

ΕΡΩΤΗΣΙΣ, Π΄.

Καὶ πῶς εἴρηται, Ὅτι ὁ παντὶ ἔθνει ὁ φοβούμενος τὸν Θεὸν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστί;

ΑΠΟΚΡΙΣΙΣ.

Πράξ. 10. Ὅτε ὁ λόγος ἦτος ὑπὸ τῶ Ἁγίου Πέτρου ἐρρέθη, ὅλος ὁ Κόσμος σκότος ἄπιστος ὑπῆρχε, καὶ πάντα τὰ ἔθνη ἄνομα. Τῷ ἐν καιρῷ ἐκείνῳ ὁ φοβούμενος τὸν Θεὸν, καὶ ἐργαζόμενος δικαιοσύνην, καθάπερ καὶ Ιωάν. 3. ὁ Κορνήλιος, καὶ ὁ Ἑκατόνταρχος, δεκτὸς ἦν τῷ Θεῷ. καὶ εἴτε Ἰουδαῖος, εἴτε Ἕλλην, θεοσεβὴς ὑπῆρχεν, ὥσπερ ὑπῆρχον καὶ Νινευῖται, καὶ οἱ φίλοι τοῦ Ἰὼβ. Τοῦ κηρύγματος δὲ τοῦ Χριστοῦ κηρυττομένου, καὶ τῶν Ἀποστόλων βαπτίΜατθ. 10. ζεσθαι ἡμᾶς διδασκόντων, ἄκουσον τί φησιν ὁ Χριστὸς πρὸς αὐτούς. Εἰς οἱανδήποτε πόλιν εἰσέλθητε, καὶ μὴ δέξωνται τὸν λόγον ὑμῶν, ἐξερχόμενοι καὶ τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν ἐκτινάξατε αὐτοῖς. Ἀμὴν λέγω ὑμῖν· γῆ Σοδόμων, καὶ Γομόρρων ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ Κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. Πῶς λοιπὸν δεκτὸς ἔσται τῷ Θεῷ ὁ μὴ πιστεύων, καὶ τιμῶν, τῷ κηρύγματι αὐτοῦ; ὁ τοιοῦτος ἂν ἅπτε φοβεῖται τὸν Θεὸν, ἅπτε ἐργάζεται δικαιοσύνην. Οὕτω νόησον καὶ τὸ ὑπὸ τοῦ Παύλου εἰρημένον. ὅτι πρὸ τοῦ κηρύγματος δόξα καὶ τιΠρὸς Ρωμ. 2. μὴ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, Ἰουδαίῳ τε πρῶτον, καὶ Ἕλλησι. Μετὰ δὲ τὸ κήρυγμα, κἂν Ἄγγελος ᾖ, ἐξ Οὐρανοῦ, εὐαγγελίσηται ὑμῖν, παρ' ὃ Πρὸς Γαλ. 1. εὐηγγελισάμεθα ὑμᾶς, ἀνάθεμα ἔστω.

ΕΡΩΤΗΣΙΣ, ΠΑ΄.

Πῶς λέγομεν ἀπέρχεσθαι τὰ παιδία τὰ ἄκακα, ἀσπαστὴν, ἢ τερπτὴν, Ἰουδαίων, καὶ ἀβαπτίστων; εἰς κρίσιν, ἢ εἰς Παράδεισον;

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Θεοῦ ἀναλύσαντος τὴν ἰδίαν ὑπόφασιν τὴν λέγουσαν, μὴ ἐπέρχεσθαι Τεζ. 18. ἁμαρτίας πατέρων ἐπὶ τέκνα· καὶ εἰπόντος διὰ τοῦ Προφήτου, ὅτι οὐκ ἀπολοῦνται τέκνα ὑπὲρ ἁμαρτημάτων πατέρων αὐτῶν· Ἐμοὶ δοκεῖ, μὴ εἰσέρχεσθαι αὐτὰ εἰς Γέενναν. Πλὴν ἀγαθὸν τὰ κρίματα τοῦ Θεοῦ ἀφιλαφῆ.

ΕΡΩΤΗΣΙΣ, ΠΒ΄.

Ἆρα ἐστὶ δι' οὗ ἔργου ἀγαθοῦ λαβεῖν ἄφεσιν ἁμαρτιῶν;

ΑΠΟΚΡΙΣΙΣ.

ΝΑΙ. Καὶ γὰρ Ῥαὰβ ἡ πόρνη διὰ τοῦ ὑποδοχέως τῶν κατασκόπων ἐσώθη. καὶ ὁ Λῃστὴς διὰ πίστεως, καὶ ἡ Πόρνη διὰ Λουκ. 23. κλαυθμοῦ.

ΕΡΩΤΗΣΙΣ, ΠΓ΄.

Ἐὰν ἄνθρωπος ποιήσῃ ἁμάρτημα, καὶ ποιήσῃ τινὰς μισθοὺς διὰ τὸ συγχωρηθῆναι αὐτὸν, εἶτα πάλιν μὴ τοὺς μισθοὺς ἁμαρτήσῃ, ἆρα ἀπώλεσε τοὺς μισθοὺς οὓς ἐποίησεν;

ΑΠΟΚΡΙΣΙΣ.

Ἔστιν ἁμαρτία καταλύουσα τὰ ἀγαθὰ, καὶ ἔστι μὴ καταλύουσα. Λοιπὸν δὲ καὶ πρὸς τὸ μέγεθος τοῦ ἐλαττώματος, καὶ τὸ μέγεθος τοῦ μισθοῦ. Πλὴν ἐὰν μὴ ἀποσῇ ἀπὸ τῆς ἁμαρτίας, ἀλλ' ἐν αὐτῇ τελευτήσῃ, ἀσυγχώρητον ὄφελος τὸ πρᾶγμα. Ὅμως τὰ τοιαῦτα κρίματα μόνος ὁ Θεὸς ἐπίσταται.

ΕΡΩΤΗΣΙΣ, ΠΔ΄.

Ἐκ ποίας κρίσεως, ἤτοι κλίσεως, κρίνονται πρὸς Θεῷ τὰ ἁμαρτήματα τοῦ ἀνθρώπου;

ΑΠΟΚΡΙΣΙΣ.

ΠΟλλαὶ καὶ περὶ τούτου διαφοραί εἰσι πρὸς Θεῷ. Πρὸς γὰρ τὴν γνῶσιν καὶ τὴν φρόνησιν κρίνεται ἕκαστος. Οἱ μὲν ἐκ δωδεκαετοῦς. οἱ δὲ καὶ μείζονος.

ΕΡΩΤΗΣΙΣ, ΠΕ΄.

Τίνος χάριν μεῖζον τῆς πορνείας ἐχούσης κρίμα τῆς παρ' αἱρετικῶν βλασφημίας, ἐπιστρεφόντων εἰς μετάνοιαν ἀμφοτέρων, τὸν μὲν αἱρετικὸν διὰ τέλους δέχεται ἡ Ἐκκλησία εἰς κοινωνίαν, τὸν δὲ πόρνον ἀφορίζει τῆς Ἐκκλησίας ἐπὶ χρόνον;

ΑΠΟΚΡΙΣΙΣ.

ΕΠειδὴ τὸ μὲν ἐκούσιόν ἐστι, τὸ δὲ τοῦ Αἱρετικοῦ καὶ ἄγνοιαν. Λοιπὸν δὲ, ἵνα καὶ τοὺς αἱρετικοὺς προθυμοτέρους εἰς ἐπιστροφὴν ποιήσηται, τοὺς δὲ πόρνους ὀκνηροτέρους πρὸς τὴν ἁμαρτίαν.

ΕΡΩΤΗΣΙΣ, ΠϚ'.

Διατί ἐπιτρέφοντας τὰς αἱρετικὰς ἐν τῇ Καθολικῇ Ἐκκλησίᾳ οὐκ ἀναβαπτίζομεν αὐτούς;

ΑΠΟΚΡΙΣΙΣ.

Ἐὰν τοῦτο ἐγίνετο, ὁ ταχέως ἄνθρωπος ἐξ αἱρέσεως ἐπιστρέφετο, τὸ ἀναβαπτισθῆναι αἰσχυνόμενος. Πλὴν καὶ δι' ὑπόθεσιν τῶν χειρῶν τοῦ Ἱερέως, καὶ δι' ὧν οἶδεν ὑποφαίνων τὸ Πνεῦμα τὸ Ἅγιον, καθὰ μαρτυροῦσιν αἱ Πράξεις τῶν Ἀποστόλων.

ΕΡΩΤΗΣΙΣ, ΠΖ'.

Πολυθρύλητος ζήτησις ἐστὶ χρεὼν ἐν ὅλῳ τῷ Κόσμῳ, εἰ ἡμέρα προτερεύει τῆς νυκτὸς, ἢ τοὐμπαλὶν ἡ νὺξ προτάττεται τῆς ἡμέρας;

ΑΠΟΚΡΙΣΙΣ.

Κατὰ μὲν τὸν Μωσαϊκὸν τοῦ Κόσμου Κοσμοποιΐαν, ἀδυνάτον ἐστὶν εἰπεῖν, τὸν νύκτα προτερεύειν τῆς ἡμέρας. πρώτη γὰρ τοῦ ἀληθινοῦ φωτὸς φύσιν ἐδημιούργησε. Καὶ λοιπὸν ἐγένετο ἑσπέρα, εὐσάντος τοῦ φωτὸς, καὶ ἐγένετο νύξ, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία. Ἐπειδὴ δὲ εἴτις ἐν Χριστῷ καινὴ κτίσις, ὡς φησιν ὁ Ἀπόστολος, ἡ Χριστοῦ Ἐκκλησία ἐκεῖθεν τὴν Μωσαϊκὴν ἐπισήμην τὸν τόπον ἀκολουθεῖ. ἐπεὶ ἀνέστησε ὁ Χριστὸς Σαββάτῳ ἀνασὰς ἐκ νεκρῶν, τουτέστι μετὰ τὸ Σάββατον. διὸ φωνοῦμεν, καὶ προσέταξεν ὁ Θεὸς καὶ Ἰουδαίους ἀπὸ ἑσπέρας ἄρχεσθαι τοῦ Σαββάτου, τουτέστιν ἀπὸ Ἡλίου δυσμῶν τῆς Παρασκευῆς, ἵνα μὴ ἔχωσιν εὔλογον πρόφασιν καθ' ἡμῶν ἀρχομένων ἀπὸ ἑσπέρας τοῦ Σαββάτου τῆς Κυριακῆς. Τοῦτο δὲ πεποίηκεν ὁ Θεὸς, ἵνα μάθῃς, ὅτι ἀπὸ σκότους εἰς φῶς ἤλθομεν. διὰ τοῦτο ἀπὸ σκότους νῦν ἀρχόμεθα, εἰς φῶς δὲ καταπαύομεν τῆς ἡμέρας.

Πρὸς Κορ. β'. 5.

ΕΡΩΤΗΣΙΣ, ΠΗ.

Ἔστι καὶ ἕτερον μετὰ τοῦτο ζήτημα, τουτέστιν, εἰ ἔχει ὅρον ἡ ζωὴ τοῦ ἀνθρώπου, ἢ ὄ; οἱ μὲν γὰρ φασὶν ἔχειν, οἱ δὲ, μὴ ἔχειν.

ΑΠΟΚΡΙΣΙΣ.

Πρὸς ταῦτα ἡμεῖς ἐροῦμεν, ὅτι ὅρος οὐκ ἔστι παντὸς ἀνθρώπου προγεγραμμένος, ἢ ἀριθμὸς ἐτῶν, ἀλλ' ἡ βουλὴ καὶ ἡ πρᾶξις τοῦ Θεοῦ, ὅτε κελεύει, καὶ ὡς κελεύει. Πρὸς δὲ τοὺς φιλονεικοῦντας ἐκ παντὸς τρόπου προσισμὸν ᾄδου τῷ Θεῷ δεῖξαι ἐτῶν παντὸς ἀνθρώπου, ἐκεῖνο ἐροῦμεν,

ὅτι

ὅτι ἀρεθήσεται ὁ Θεὸς αὐτὸς λοιπὸν ποιῶν, ὅπερ ἄτοπόν ἐστι καὶ ἐννοῆσαι τοῦτο. Καὶ πάλιν εἰ προπεπηγμένος καὶ ἀμετάθετός ἐστι προσισμὸς τῷ ἑκάστου χρόνου, μηδεὶς ἀθανῶν εἰς αὐτὴν ἁλῷ Ἁγίας ὀπαλέσεται, μηδεὶς ἰαχθεὶς προκαλέσεται. ὃ γὰρ προώρισεν ὁ Θεὸς, πάντως γενήσεται. Ὅμως καὶ ἕτερον πονηρὸν δόγμα Μανιχαϊκὸν ἔνδον ἡμῖν ἐντίκτεται. Ποῖον; Τοῦτο. Ὅτι προγνώσης ὢν ὁ Θεὸς, προγινώσκων πάντα πρὶν γενέσεως αὐτῶν, εἰ ἄρα θέλει πάντα ἄνθρωπον σωθῆναι, καὶ μηδένα ἀπολέσθαι, διατί προγινώσκων τὴν ἀπόστασίαν τοῦ Ἰουλιανοῦ τοῦ Ἀποστάτου, καὶ τὴν ἄρνησιν Πέτρου τοῦ Σκευοφόρου, μὴ μᾶλλον κολοβωτέραν αὐτοῖς προώρισε ζωὴν, ἵνα πρὸ τῆς ἑαυτῶν ἀπωλείας ἀποθανόντες ἐσώθησαν; Καὶ ἐφ' ἑκάστῳ δὲ Μοναχῷ, ἢ ἀνθρώπῳ καλῶς ἔχοντος, ὕστερον δὲ ἐκπεσόντος, καὶ ἀπολωλότος, πρὸς Θεὸν ἡ αἰτία ἀναφέρει. Καὶ ἀνάγκη λοιπὸν ἐκ τῶν ὁποτέρων εἰπεῖν, ἢ ὅτι ὁ προέγνω ὁ Θεὸς, ἢ ἐὰν προέγνω, εὔδηλον, ὅτι οὐκ ἠβουλήθη αὐτὸς σωθῆναι, ἀλλ' ἀπολέσθαι. εἰ γὰρ σωθῆναι βούλεται, ἐκλῶ αὐτὸν ἀπὸ τῆς ἐκπτώσεως τοῦ ὅρου τῆς ζωῆς προορίσασθαι. Οὐκοῦν ὡς προεῖπον, καλῶς ἔχει λέγειν, ὅτι ὅρος τῆς ἑκάστου ζωῆς ἐστὶν ἡ ἀπαράλλακτος βούλησις τοῦ Θεοῦ. Εἰδὲ προορισμὸς ἀῴδου τῶν ἐτῶν τοῦ ἀνθρώπου προπέπτωκται, καὶ προτετύπωται, πῶς φησιν ὁ Ἀπόστολος πρὸς Κορινθίους, Ὅτι δεῖ τὸ ἀναξίους αὐτοὺς κοινωνεῖν, ἀσθενοῦσι, καὶ τελευτῶσιν; Εἰ γὰρ ὅρος ζωῆς ἐστὶν, οὐκ ἂν παρῆνει ὁ Σολομών· Μὴ γίνου σκληρὸς, μηδὲ ἀσεβήσῃς ὀλίγον, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου. Ἐν αὐτοῖς καταράς τοὺς γονέων λέγει ὀφείρειν θανάτου ὀλίγα τέκνα. Ὅμως περὶ τούτων πλατύτερον, εἰ τῷ Θεῷ φίλον ἐστὶ, διδαχθησόμεθα, ὀλίγας καὶ πλείστας αἰτίας, δι' ὧν δίκαιοι ὀλιγοχρόνιοι εἰσιν, ἁμαρτωλοὶ δὲ πολυχρόνιοι γίνονται, καὶ ἐκ πόσων χρόνων τὰ νήπια τελειοῦσι. καὶ πάλιν ἕτεροι ναὸς δυσεβεῖς οἰκοδομεῖν ὑπερβαλλόμενοι, ἢ ἕτερα ψυχωφελῆ ἔργα, πρὸ τῆς τούτων τελειώσεως πρὸς Κύριον πορεύονται. τέως καὶ περὶ τὰ ζητούμενα διὰ βραχέων εἰρήκαμεν. Τοὺς δὲ φέροντας τὸν μέγαν Βασίλειον προορισμὸν ζωῆς λέγοντας, ἐκεῖνο ἐροῦμεν. ὅτι προορισμὸν ὁ Πατὴρ εἶπε τῷ Θείαν ἀπόφασιν, τῷ λέγεσθαι· Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.

Πρὸς Τιμ. α'. 2.

Πρὸς Κορ. α'. 11. Ἐκκ. 7.

Γεν. 3.

ΕΡΩ.

ΕΡΩΤΗΣΙΣ, ΠΘ'.

Διὰ τί πᾶσιν ἀνθρώποις ὡς ὕδωρ μικρὸν τὸ μαθεῖν, καὶ ἀκριβῶς γνῶναι, τί ἐστὶ ψυχὴ ἀνθρώπου; καὶ ποία ἐστί; καὶ πόθεν σωίζεται; καὶ πότε; καὶ πῶς ἐν τῷ σώματι ἐνεργεῖ; καὶ πῶ μετὰ τὸν χωρισμὸν τοῦ σώματος πορεύεται;

ΑΠΟΚΡΙΣΙΣ.

Ὅτι μὲν δεῖ τὰ θεσπισθέντα τῇ Θείᾳ Γραφῇ ἐρευνᾶν, πρόδηλον. Τὰ γὰρ συμφέροντα ἡμῖν μαθεῖν, ἐδήλωσεν ἡμῖν τὸ Πνεῦμα τὸ Ἅγιον, τὰ δὲ μὴ συμφέροντα, ἐκεῖνα πάλιν ἀπέκρυψεν. Ἀλλ' ἐπειδὴ ἐμφιλόνεικον καὶ πολύεργον ζῶον ὁ ἄνθρωπος, ἀμυδρῶς πως, εἴτι ἐκ τῶν Ἁγίων Πατέρων μαθεῖν ἠδυνήθημεν, τοῦτο ὑμῖν καταδήλον ποιῆσαι πειράσομαι. Πᾶσιν δὲ γνωστὸν ἔστω, ὅτι περ τοῦτο χάριν κατ' Εἰκόνα καὶ Ὁμοίωσιν Θεοῦ εἴρηται ὁ ἄνθρωπος, ὅτι περ πολλὰ τῶν ἐν τῇ Θείᾳ Φύσει ἀσιωπήτως ὑπαρχόντων, καὶ γνωριζομένων σιωπηλῶς ἐν εἰκόνι τινὶ καὶ τύπῳ, κατὰ χάριν, ἀλλ' οὐ κατὰ φύσιν ἐν τῇ ἡμετέρᾳ ψυχῇ. οἷόν τι λέγω. Ἀκατάληπτον καὶ ἀνώνυμον, καὶ ἀόρατον, καὶ ἀθάνατον, καὶ ἀψηλάφητον, καὶ ἄφθαρτον κατὰ φύσιν τῷ Θεῷ Φύσιν ὁμολογοῦμεν καὶ πιστεύομεν. Διὰ τοῦτο καὶ ἡ ψυχὴ ὡς κατ' εἰκόνα Θεοῦ τυγχάνουσα, οὐ φύσει, ἀλλὰ χάριτι, ἀκατάληπτος κατ' οὐσίαν ἡμῖν τοῖς ἀνθρώποις ἐστὶ, καὶ ἀόρατος, καὶ ἀνερμήνευτος, καὶ ἀψηλάφητος, ἄφθαρτός τε καὶ ἀθάνατος, ἀλλὰ καὶ δημιουργὸς χάριτι. Ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ χάριτι Θεοῦ, καὶ δημιουργεῖ οἴκους, πόλεις, φυτὰ, τέχνας, λόγους, ἐπιστήμας, κατ' εἰκόνα Θεοῦ ὑπάρχων. Διὸ ὥσπερ οὐδεὶς τῶν ἐξ αἰῶνος ἀνθρώπων δύναται εἰπεῖν, τίς, καὶ ὁποία ἐστὶν ἡ τοῦ Θεοῦ φύσις, οὔπως οὐδὲ τῶν καθ' ἡμᾶς τις δύναται εἰπεῖν, ἢ νοῆσαι ἀνθρώπου ψυχῆς οὐσίαν, ἢ ὁποία ἐστὶ, τῷ κατ' εἰκόνα Θεοῦ ὑπάρχουσαν οὐσίαν ψυχῆς. Ὥσπερ γὰρ ὁ Θεὸς διὰ τῶν ὑλῶν κτισμάτων τῶν ὁρωμένων ἡμῖν τὰς οἰκείας αὐτοῦ δυνάμεις καὶ ἐνεργείας δείκνυσι, λέγω δὴ Οὐρανόν τε καὶ Ἄστρα, Ἥλιον, καὶ Σελήνης, καὶ ὑετῶν, καὶ σεισμῶν, καὶ Θαλάσσης, ἀόρατος ὑπάρχων αὐτός. οὕτω δὴ καὶ ἡ κατ' εἰκόνα αὐτοῦ ἀόρατος ἡμῶν ψυχὴ διὰ τοῦ ἰδίου αὐτῆς τοῦ ὁρωμένου σώματος, ὥσπερ κόσμου τινὸς τὰς οἰκείας ἐμφαίνει ἐνεργείας, οἷα μὲν τὸν, ἐγκέφαλον ἀνωθεν τοῦ λεγομένου θρανίσκου, εἰς τύπον Θεοῦ, τοῦ φρονοῦντος τοῦ Οὐρανοῦ, ἔχουσα τὸν ἡγεμόνα νοῦν, διοικοῦντα, καὶ κυβερνῶντα, ὡς γοῦν τινὰ κοσμῶν τὸ σῶμα. διόπερ εἴ ἔξει ποτὲ χαλεπόν τινα πληγὴν, εἰ δόξει κατὰ κεφαλῆς λαβεῖν, δι' θέως πάσχει ὁ νοῦς, καὶ οὐκ ἔτι δύναται, ἢ μνημονεύειν ὡς τὸ πρὶν ὁ ἄνθρωπος δύναται. Τὸ δὲ λογιστικὸν πάλιν ἡ ψυχὴ διὰ τῆς καρδίας ἐνεργεῖ.

Τὸ

Τὸ δὲ ἐπιθυμητικὸν διὰ τοῦ ἥπατος. Τὸ δὲ μεριστικὸν διὰ τοῦ σπλῆνός. Τὸ δὲ ἀναπνευστικὸν διὰ τοῦ πνεύμονος. Τὸ δὲ γόνιμον διὰ τῶν νεφρῶν. Τὸ δὲ θυμικὸν διὰ τοῦ αἵματος. Τὸ δὲ γνωριστικὸν διὰ τῶν ὀφθαλμῶν. Τὸ δὲ λαλητικὸν διὰ τῆς γλώττης. Διὸ καὶ τεμνομένης αὐτῆς, οὐκ ἔτι ὁ ἄνθρωπος λαλεῖν δύναται. Οὐκοῦν ὡσαύτως καὶ χωριζομένης αὐτῆς λέγω δὴ τῆς ψυχῆς ἐξ ὅλου τοῦ σώματος, οὐκ ἔτι δύναται ἐνεργεῖν, ὡς ἐνεργεῖ διὰ τῶν μορίων τοῦ σώματος. Οὐ λαλεῖν, οὐ μιμνήσκεσθαι, οὐ διακρίνειν, οὐκ ἐπιθυμεῖν, οὐ λογίζεσθαι, οὐ θυμοῦσθαι, οὐ καθορᾶν, ἀλλ' ἐν σωτηρίᾳ τινὶ καθ' ἑαυτὴν ὑπάρχει ἀθάνατος διαμένουσα ἡ ψυχὴ, ἄχρις οὗ πάλιν τὸ οἰκεῖον σῶμα ἀπολαβοῦσα ἄφθαρτον. ἀφθάρτως λοιπὸν καὶ τὰς ἐν αὐτῷ ἐργασίας ἀποτελεῖ. Ἀλλὰ ταῦτα μὲν ἡμῖν εἴρηται περὶ τῶν ἐν ἁμαρτίαις τελευτώντων. Ἐπεὶ οἱ τὸ Πνεῦμα τὸ Ἅγιον κτησάμενοι ψυχαὶ, ὡσανεὶ οὖ σῶμα καὶ ὄργανον αὐτῷ χρώμενοι, ἐμοὶ δοκεῖ, ὅτι διὰ τῆς ἐλλάμψεως αὐτοῦ καὶ μετὰ θάνατον αὐτῶν διαφαίνονται, καὶ τῷ Θεῷ καὶ Λόγῳ νοερῶς δοξολογοῦσι, καὶ ὑπὲρ ἄλλων προσεύχονται, ὡς ἐκ τῆς Γραφῆς μανθάνομεν. Εἰδέναι μέντοι προσήκει, ὅτι πᾶσαι αἱ ὀπτασίαι, αἱ γινόμεναι ἐν τοῖς ναοῖς, ἢ σοροῖς τῶν Ἁγίων, διὰ Ἀγγέλων ἁγίων ἐπιτελοῦνται κατ' ἐπιβολὴν τοῦ Θεοῦ. Ἐπεὶ πῶς δυνατὸν, μήπω τῆς ἀναστάσεως τῶν σωμάτων γεγενημένης, ἀλλ' ἔτι τῶν ὁσίων καὶ τῶν σωμάτων τῶν Ἁγίων διεσπορπισμένων, εἰδέναι τοὺς ἤδη ὁλοκλήρους ἄνδρας πολλάκις ἐφ' ἵππους καθοπλισμένους ὀπτάνεσθαι; Εἰ δὲ αὐτιλέγειν νομίζεις, εἰπέ μοι σὺ πῶς εἷς ὑπάρχων ὁ Πέτρος, ἢ Παῦλος, ἢ ἄλλος Ἀπόστολος, ἢ Μάρτυς, κατ' αὐτὴν τὴν ὥραν πολλάκις ἐν πολλοῖς τόποις ὀπτάνεσθαι δύναται; Οὔτε γὰρ Ἄγγελος δύναται ἐν διαφόροις τόποις, ἢ χώραις, ἐν αὐτῇ τῇ ῥοπῇ διείσκεσθαι, εἰμὴ μόνος ὁ ἀπερίγραπτος Θεός. Καὶ ἵνα μὴ δόξωσι τινὲς ἰδρικάς τινας μυθολογίας ἀναπλάττειν, ἄκουσον Γραφικὰς περὶ ψυχῶν Θεολογίας. Οὔτι γὰρ χρεία τοῦ διαλογίζεσθαι χωριζομένη τοῦ σώματος ἡ ψυχὴ, ἄκουσον τί φησὶν ὁ Ψαλμῳδὸς περὶ τῶν τελευτώντων. Οὔτι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολλύνται πάντες οἱ διαλογισμοὶ αὐτῶν. Οὔτι δὲ ἐδενὸς μιμνήσκονται, λέγει πάλιν. Οὔτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σοῦ τοῦ Θεοῦ. Εἰδὲ τοῦ Θεοῦ οὐ μιμνήσκονται, εὔδηλον λοιπὸν, ὅτι οὐδὲ εὔχονται. Οὐ γὰρ οἱ νεκροὶ φησὶν αἰνέσουσί σε Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς Ἅιδου. Οὔτι δὲ οὐδὲ τὸν Κόσμον καθορῶσιν, ἄκουσον τοῦ Προφήτου περὶ τοῦ ἀνθρώπου λέγοντος. Οὔτι πνεῦμα διέλθον ἐν αὐτῷ, καὶ οὐκ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Πῶς δὲ ὅλως ἐκεῖ ἀλλήλας νοῦν ἀναγνωρίζουσιν αἱ ψυχαί; αἱ μηδέποτε γυμνὰς ἐν τῷ βίῳ τούτῳ ἀλλήλας θεασάμεναι; Ὁ γὰρ ἐπιγνωρισμὸς ἐκ τῆς διαφορᾶς καὶ τῆς συσήμων τῆς παραλλαγμένων γίνεται. Ψυχὴ δὲ ἐκεῖ οὐδαμοῦ εἶδος, ἢ μορφὴν, οὐδὲ τινὰ ἑτέραν διάκειται. ἀλλὰ πᾶσα ὁσιώδης ὁμοιότης καὶ ἰσότης παρ' αὐταῖς. Ἀλλ' οὐδὲ μετὰ τοῦ ἀάσασιν ἀλλήλας

Ψαλμ. 145. Ψαλ. 6. Ψαλμ. 113. Ψαλμ. 102.

ὑπογνωσόμεθα φυσικῷ ὑπογνωσμῷ. Οὐ γὰρ ἐστὶν ἐκεῖ σμικρότης ἢ μεγαλότης σωμάτων, ἢ λεπτότης, ἢ μελανότης, ἢ νηπιότης, ἢ γηραλεότης, ἀλλ' οἷος γέγονεν ὁ Ἀδὰμ, τοιοῦτοι πάντες οἱ ἀπ' αἰῶνος κεκοιμημένοι ἀνιστάμεθα. Ὥσπερ οἱ ἀπὸ σάκκου ἀναβιβασθέντες, ἢ εἰς γῆν ταφέντες, σμικρότατοι κόκκοι, ἢ μικροὶ ἀνίστανται, ἀλλὰ πεπληρωμένοι σάκκες γίνονται, οἷοι ὑπῆρχον πρὸ τῆς ἐκπτώσεως. Ἀνάστασιν γὰρ εἶναι οἱ Ἅγιοι Πατέρες ἡμῶν δείκνυνται, τὴν πρὸς τὴν ἀρχαίαν τοῦ πρώτου ἀνθρώπου ἀποκατάστασιν. Τῷ μὲν ὄν φυσικῷ λόγῳ ἀδεὶς τὸν ἕτερον ὑπογινώσκει, Θείᾳ δὲ ἐπιροπῇ πολλοὶ πολλοὺς ὑπογνώσονται.

Ἰωὴλ. 19. Ζαχ. 12. Καὶ γὰρ περὶ Ἰουδαίων εἴρηται· Ὄψονται εἰς ὃν ἐξεκέντησαν.

Ε Ρ Ω Τ Η Σ Ι Σ, ϙ΄.

Πῶς δὲ ὅλως νῦν θέλομεν λέγειν ὑπάρχειν τὰς ψυχὰς, ἢ εἰ ὁμοῦ ἢ ἅμα πᾶσαι εἰσίν;

Α Π Ο Κ Ρ Ι Σ Ι Σ.

Ο Τ' δεὶς μὲν τοῦτο σαφῶς ἐπαγγείλατο. ὅμως ἐκ τῆς τοῦ Χριστοῦ λόγων μανθάνομεν, ὅτι αἱ μὲν τῶν Δικαίων ψυχαὶ μετὰ τῆς ἁγίας ψυχῆς τοῦ ἁγίου Λαζάρου ὑπάρχουσιν ἐν τῷ Παραδείσῳ, ὡς ἐμοὶ δοκεῖ. Καὶ γὰρ ἢ ὁ μέγας Ἀντώνιος δεηθεὶς τοῦ Θεοῦ περὶ τοῦ τόπου τῶν ψυχῶν, ἵνα ἐώρακεν αὐτὰς ἐν τῷ Παραδείσῳ ὑπάρχειν τὰς ἁγίας ψυχάς. ὡσαύτως ἢ ὁ θεοφόρος Παμβὼ, ἢ Σαμψὼν, ἢ ἕτεροι τινὲς τῶν Πατέρων. Πάλιν τε τὰς τῶν ἁμαρτωλῶν πάσας ψυχὰς, ἥ Παλαιὰ καὶ Καινὴ Διαθήκη, ἐν τῷ τοῦ Ἅδου δεσμωτηρίῳ φυλάττεσθαι ὡς ἐν φυλακῇ μαρτυρεῖ. καθὰ ἢ περὶ τοῦ πλουσίου ἐκείνου τοῦ καὶ τὸν Λάζαρον ὁ Κύριος ἔφησεν. Ὁμοίως καὶ ὁ Δαβὶδ φησίν. Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς Ἅδου, ἢ, Κύριε ἀνήγαγες ἐξ Ἅδου τὴν ψυχήν μου. Καὶ πάλιν ὁ αὐτὸς φησίν. Ἀποσραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην. Τὸ δὲ εἰπεῖν, ἀποσραφήτωσαν, σημαίνει, ὅτι νῦν αἱ ψυχαὶ πάντων ὑπάρχουσιν, εἶτα ἀνέρχονται, καὶ ἀπολαμβάνουσι τὰ ἴδια σώματα, καὶ εἰθ' ὕστερον ἡ ἀποφασις τοῦ Κριτοῦ κατ' αὐτῶν ἐξέρχεται λέγουσα. Ἀποσραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην. ὁ δὲ ὑποστρέψας, προδήλον ὅτι ὅθεν ἐξῆλθεν ὑποστρέφει. Ὁ δὲ ᾅδης τόπος ἐστὶ κατώτατος τῶν κατωτάτων καταχθονίων, τόπος κατώδυνος φύσει, ἐν ᾧ καὶ ὁ Χριστὸς κατελθὼν ἀπὸ τῆς Ἀχράντου Ψυχῆς αὐτοῦ καὶ ἐνθέου, ἐπεσκέψατο τοὺς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένους.

Ψαλ. 15. Ψαλ. 29. Ψαλ. ϛ.

Ε Ρ Ω Τ Η Σ Ι Σ, ϙΑ΄.

Εἰ ὄντως ὑπογινώσκουσιν ἀλλήλους οἱ ἀπελθόντες ἐκεῖ, πῶς ὁ Πλούσιος ἐπίγνω καὶ ἐδυσώπει τὸν Ἀβραὰμ, καὶ τὸν Λάζαρον; ἢ μόνον δὲ, ἀλλὰ καὶ μέμνηται τῶν ἰδίων αὐτοῦ πόσοι ἀδελφῶν τῇ σὺν τῷ οἴκῳ αὐτοῦ; Λουκ. 16.

Α Π Ο Κ Ρ Ι Σ Ι Σ.

Διὰ πάντων τῶν περὶ Πλούσιον καὶ τὸν Λάζαρον μανθάνομεν, ὅτι ὑποβολικῶς καὶ τυπικῶς, ἀλλ' οὐ πραγματικῶς ὁ Χριστὸς τὴν διήγησιν αὐτὴν ἀπέπλασατο. Ὅτι γὰρ ὑποβολή ἐστιν, ἐκεῖθεν δῆλον. Πρῶτον, ὅτι οὐδεὶς ἔπω οὐδὲ σὺ Γεσσύη, οὐδὲ σὺ Βασιλεία εἰσῆλθεν, ἕως τοῦ καιροῦ τῆς τῶν σωμάτων ἀναστάσεως. Τοῦ γὰρ σώματος ἐν τῷ τάφῳ τυγχάνοντος, ποίαν γλῶσσαν εἶχεν ὁ Πλούσιος φλεγομένην, καὶ δακτύλα ὕδατος αἰτῆσαι, ὅπως δυνηθῇ καταβρέσαι αὐτοῦ τὴν φλόγα; Δεύτερον δὲ, ὅτι οὐδὲ ὁρῶσιν οἱ ἐν τῷ Ἅδῃ βαπτιζόμενοι τοὺς Δικαίους τοὺς ἐν νεφέλαις ἁρπαζομένους, καὶ ἐν Βασιλείᾳ τοῦ Θεοῦ ὑπεράνω τῶν Οὐρανῶν ὑπάγοντας, πλὴν ὡς προεῖπον, οὐδὲ γέγονε τελεία κόλασις, ἢ ἀνταπόδοσις, ἤτε δικαίοις, ἤτε ἁμαρτωλοῖς. Ποία γὰρ αὕτη δικαιοσύνη, ἵνα τῆς ψυχῆς καὶ τοῦ σώματος ἐν τῷ ἅμα ἁμαρτησάντων, ἢ κατορθωσάντων τι ἀγαθὸν, χωρὶς τοῦ σώματος κολασθῇ, ἢ σταφανωθῇ ἡ ψυχή; καὶ ἄκυρον Παύλου σὲ τοῦτο διδάσκοντος. Περὶ μὲν τῶν Δικαίων οὕτω λέγει, ὅτι μαρτυρηθέντες διὰ τῆς Πίστεως, οὕτω τὰς ἐπαγγελίας ἐκομίσαντο, τοῦ Θεοῦ φησὶ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι. καὶ πάλιν φησίν. Ἵνα ἕκαστος ἡμῶν κομίσηται τὰ διὰ τοῦ σώματος πεπραγμένα. Λοιπὸν δείκνυσιν, ὅτι χωρὶς τοῦ σώματος οὐδὲν τοιοῦτον ἡ ψυχὴ διαπράττεται. Πλὴν καὶ αἱ τῶν ἁμαρτωλῶν ψυχαὶ ἐν μερικῇ ὀδύνῃ καὶ λυπρᾷ εἰσὶ προσδοκίᾳ. Ὁμοίως καὶ αἱ τῶν Δικαίων ψυχαὶ ἐν χαρᾷ τινὶ, καὶ εὐθυμίᾳ τυγχάνουσιν, καὶ ὅπως καὶ ὀπτασίας τινὰς ποιοῦντες πρὸς τοὺς φθόνους σὺν σαρκὶ, ἰδοὺ ὀπτασίας τινὸς Ὁσίου ἀνδρὸς ἔτι περιόντος αὐτοῦ σὺν σαρκὶ ὑπομνησθήσομαι, ὅπως μοι διηγησαμένου λέξω. Ὅτι φησὶν ὑπομελῶς, καὶ ἐμπόνως μου παρακαλέσαντος τὸν Θεὸν περὶ τῆς διαγωγῆς καὶ κατασάσεως τῆς ψυχῆς, τῆς χωριζομένης ἐκ τοῦ σώματος, ἐθεώρουν σὺν ὀρθρίᾳ τῆς νυκτὸς ἑαυτὸν εἰς ἀμπελῶνά τινα ὑπάρχοντα, τὸ δὲ σῶμά μου κεχωρισμένον ἀπ' ἐμοῦ, καὶ ὑπὸ μικρᾶς διασήματος νεκρὸν κείμενον, καὶ ἐπεγίνωσκον μὲν ὅτι ἐχωρίσθη τοῦ σώματος, καὶ ἀνῴκαλουν εἶχον τὸν νοῦν καὶ τὴν φρενία. Διανήφας δὲ ἐκ τοῦ ὀνείρου, ἐκ ἠδυνάμην τυπῶσαι, ἢ ὑπογνῶναι ὁποίῳ σχήματι, ἢ μορφῇ ὑπῆρχον ἐκτὸς τοῦ σώματος, πλὴν ὅτι ἐνυπόστατος καὶ ἀφανταστάσιος ὢν ἡ ἐμὴ τῆς ψυχῆς ὕπαρξις. Μὴ γάρ τις νομίσῃ, ὅτι δίκην

Πρὸς Ἑβρ. 11. Πρὸς Κορ. β'. 5.

κλω τινὸς καπνὸς, ἢ νέφος ἡ ψυχὴ διαλύεται, καὶ ἀπόλλυται μὴ θανατον, ὥσπερ ἡ τῶν ἀλόγων ψυχὴ καὶ πνοή. Καὶ ἄκυσον τοῦ Χριστοῦ τὸ ἐνυπόστατον καὶ ἀθανατον τῆς ἡμετέρας ψυχῆς ἡμᾶς διδάσκοντος καὶ λέγοντος. Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων ὑμῶν τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. Ὥστε ἐν οὐσίᾳ μὲν εἰσὶν αἱ ψυχαὶ μετὰ τὸν θανατον τοῦ σώματος, οὐ μὴν προϋπάρχουσι πρὸ τοῦ σώματος, κατὰ τοὺς Ὠριγένους μύθους. Οὐ γὰρ ἄψυχον ἢ ἡμιανθρωπον ἀπείρει ἐν μήτρᾳ ὁ ἄνθρωπος, ἀλλὰ τέλειον ἐρχόμενον ἔμψυχον ἄνθρωπον. Οὔτε γὰρ σῶμα πρὸ τῆς ψυχῆς ὑφίσταται, οὔτε ψυχὴ πρὸ τοῦ σώματος. Οἱ δὲ Αἱρετικοὶ λέγουσιν, ὅτι σῶμα ἄψυχον ἀπείρει καὶ καταβάλλει ὁ ἄνθρωπος, τὴν δὲ ψυχὴν οὐ δίδωσιν. Εὐρίσκονται λοιπὸν τὰ ἄλογα τιμιώτερα τοῦ ἀνθρώπου. Ἐκεῖνα γὰρ πεπληρωμένον ζῶον ἔμψυχον ἀπείρει καὶ καταβάλλεται, ἀλλὰ ψυχὴ μὲν τοῦ ἀλόγου ἐστὶν ἡ ἐκ τοῦ πνεύματος τοῦ ἀέρος γινομένη ἐν τῷ αἵματι ζωτικὴ κίνησις, ἥτις ἐκ τῶν στοιχείων τὴν ὕπαρξιν ἔχουσα, συναυτοῖς πάλιν διαλύεται τοῦ ζῴου θνήσκοντος. Ψυχὴ δὲ ἀνθρώπου ἐστὶν οὐσία νοερὰ, ἐνέσιος, λογικὴ, ἀθάνατος, οὐκ ἐκ στοιχείων, ἀλλ' ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχων, οἵαν οἶδεν αὐτὸς μόνος, καὶ ὅσον οἶδεν, καὶ ὡς οἶδεν ὁ αὐτῷ συνεσάμενος, ἐκ ἄναρχον μὲν ὑπάρχουσαν, ἀτελεύτητον δὲ διαμένουσαν πᾶσαν ψυχὴν σώματι σωθεῖσαν. Καὶ γὰρ καὶ ἐκ τῶν ἐμβρύων, ἢ ἐκτρωμάτων μὴ τὸν ἐξεικονισμὸν αἱ ψυχαὶ οὐ θανατοῦνται, οὐδὲ ἀπόλλυνται, ἀλλὰ σωὴν ἡμῖν πρὸς Θεὸν ἐν τῇ ἀναστάσει ὑπομενόντων τῇ ἀῤῥήτῳ καὶ παντοδυνάμῳ τοῦ Θεοῦ ἐνεργείᾳ. Ταῦτα δὴ βραχέων ἡμῖν περὶ ψυχῆς οὐ δογματικῶς, οὐδ' ὁρισικῶς, ἀλλὰ ἀγαπητικῶς εἴρηται. Τὰ δὲ λοιπὰ δυσωπήσωμεν τοὺς ἐν Χριστῷ Ἀδελφοὺς καὶ Διδασκάλους τοῦ μεθ' ἡμᾶς διορθῶσαι καὶ ἀναπληρῶσαι τὸ λεῖπον.

Ματ. 10.

ΕΡΩΤΗΣΙΣ, ΡΒ'.

Πολλοὶ καρδίαι πιστῶν ἔχουσι κρυπτὸν σκάνδαλον, καὶ διαγμὸν περὶ τῆς τῶν σωμάτων ἡμῶν ἀναστάσεως, ἐννοοῦμαι, πῶς τὸ σῶμα τὸ ὑπὸ μυρίων θηρίων καὶ πετεινῶν καταβρωθῇ, καὶ ὑπὸ ἀμεθήτων ἰχθύων ἀναλωθῇ, καὶ ἐν τῷ βυθῷ ἀφοδευθῇ καὶ διαλυθῇ, πῶς σωάγεται, καὶ εἰς ἀνάστασιν ἔρχεται;

ΑΠΟΚΡΙΣΙΣ.

Ὅλος ὁ Χριστιανὸς καὶ τὰ μυστήρια τοῦ Χριστιανοῦ, πίστις εἰσί. Πίστις δὲ ἀληθὴς ἐστὶν ἡ ἀπεριέργος συγκατάθεσις. Ἐπεὶ ἐὰν θέλωμεν περιεργάζεσθαι τὰ ῥήματα καὶ προσάγματα τῆς Γραφῆς τοῦ Θεοῦ, ἀπολλύμεθα, καὶ εἰς βυθὸν ἀπιστίας ποντιζόμεθα. καὶ δ λέγω σοι μόνον περὶ ἀνα-

στάσεως, ἀλλὰ καὶ περὶ αὐτῆς ἡμῶν τῆς ἀρχαίας διαπλάσεως. Καὶ ἐὰν μὴ μετὰ ἁπλῆς καρδίας καὶ πίστεως ἀπεριέργου λάβωμεν Γραφὴν ἐν δεξώμεθα, ἀπολλύμεθα. Γέγραπται γὰρ λέγει. Καὶ ἔλαβεν ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασε τὸν ἄνθρωπον, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. καὶ πάλιν λέγει, Ὅτι τῇ φωνῇ σου ἤκουσα πεφοβημένος ἐν τῷ Παραδείσῳ. εἶπε χεῖρας μὴ ἔχοντος τοῦ Θεοῦ, ἀλλὰ ἀσωμάτου ὑπάρχοντος, πῶς ἔλαβε χοῦν ἀπὸ τῆς γῆς; καὶ πῶς στόμα ἐκ ἔχοντος ἐνεφύσησε εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς; πόδας αὐτοῦ μὴ ἔχοντος μηδὲ γλῶσσαν, πῶς ἤκουσε τῆς φωνῆς αὐτοῦ πεφοβημένος ἐν τῷ Παραδείσῳ, καὶ ἐφοβήθη ὁ Ἀδάμ; Ὁρᾷς ὅτι μὴ πίστεως ἀπεριέργου δεῖ τὰς Θείας δέχεσθαι Γραφάς; Ἐπεὶ ἐὰν δῶς ἄδειαν τῷ Σατανᾷ, λογισμούς σοι περὶ ἐργασίας καὶ ἀπιστίας ὑποσπείρειν ἀφίσεται, καὶ περὶ αὐτοῦ τοῦ Θεοῦ σκανδαλόν σοι ὑποτίθεται. Οὕτως ἂν σκανδαλῶ καὶ τὸν περὶ τῆς ἀναστάσεως τῶν σωμάτων λόγον πίστει δεξώμεθα, ὁμολογοῦντες; Οἶδε ἔρχεται ὥρα, καὶ νῦν ἐστὶν, ὅτε οἱ νεκροὶ ἀκούσωσι τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ ἀναστήσονται. Εἰ γὰρ πιστὸν ἡμῖν αὐτὸν Παντοδύναμον εἶναι, πάντως ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὸν ἄνθρωπον ἀγαγών, δικαιότερον τὸ πλάσμα τὸ ὑπ' αὐτοῦ πλασθὲν, καὶ διαφθαρὲν ἀναπλάσαι καὶ ἀνακαινίσαι δυνήσεται. Εἰ πιστὸν ἡμῖν καθὼς εἶπεν ὁ Δαβὶδ, ὅτι ἐν τῇ χειρὶ τοῦ Θεοῦ τὰ πέρατα τῆς Γῆς, ὅπου δ' ἂν ἀπέλθῃ τὸ σῶμα, καὶ διαλυθῇ, κἂν πυρὶ, κἂν καπνῷ, ἐν τῇ χειρὶ τοῦ Θεοῦ ὑπάρχει, καὶ τὸ πῦρ, καὶ τὸ ὕδωρ, καὶ τὰ θηρία, καὶ ἐξάγει ἐξ αὐτῶν τὸ σῶμα, ὃ ἔλαβον καὶ ἔφαγον, καὶ ὃ κατέπιον, καὶ ὃ κατεπόντισαν. ἃ δὲ εἰς ἀπώλειαν ὑπάγει τὸ νεκρώμενον σῶμα, ἀλλὰ κἂν ὑπὸ μυρίων θηρίων, ἢ ἄλλων αἰτιῶν ἀναλωθῇ, εἰς τὰ τέσσαρα στοιχεῖα, ὅθεν συνέστηκε, ἐκεῖ καὶ ἀπέρχεται. Τουτέστιν εἰς τὸν τοῦ Ἡλίου τὸ θερμὸν, καὶ εἰς τὸ Ὑδατο τὸ ὑγρὸν, καὶ εἰς τὴν Γῆν τὸ ξηρὸν, καὶ ὡς ἐὰν φθαρῇ τινι ἐν αὐτοῖς ὑπόκειται, καὶ φυλάττεται ἕως τῆς ἡμέρας τῆς ἀναστάσεως, ἐν ᾗ ἡ δύναμις τοῦ Θεοῦ ἐξ αὐτῶν αὐτὸ πάλιν ἀνίστησι, καθὰ καὶ ἀπ' ἀρχῆς ὅτε αὐτὸς αὐτὸ πεποίηκε. Καὶ ὅπως ἐκ φυσικῆς τινος ἀκολουθίας πείσω, ὅτι εἰς τὰ στοιχεῖα ἀναλύεται, καὶ διαιρεῖται τὸ ἀποθνῄσκον σῶμα, ἄκουσον. Τὸ ζωτικὸν καὶ ζωοποιοῦν στοιχεῖον καὶ ἐν ἀνθρώποις, καὶ ἐν τοῖς ἀλόγοις, καὶ ἐν παντὶ ἐμψύχῳ κινουμένῳ, τὸ αἷμα ἐστὶ, τουτέστιν ἡ θερμὴ τοῦ πυρὸς τοῦ στοιχείου ἐνεργητικὴ κίνησις. ἐν μὲν τοῖς ἀλόγοις δεσμοῦσα, καὶ συνέχουσα, καὶ κινοῦσα τὰ ἕτερα τρία στοιχεῖα. ἐν δὲ τῷ ἀνθρώπῳ δεσμοῦσα, καὶ συνέχουσα τὴν ψυχὴν, καὶ τὰ λοιπὰ τρία στοιχεῖα, καὶ διὰ τοῦτο δεσμοῦ τυγχάνοντος τοῦ αἵματος, ἐὰν κενωθῇ καθ' ὑπερβολὴν, εἴτε ἀπὸ ἀνθρώπου, εἴτε ἀπὸ παντὸς ζῴου, διὰτοῦτο ἀποθνῄσκει τό τε ζῶον, καὶ ὁ ἄνθρωπος. κἂν δὲ μὴ κενωθῇ, ἐξέλθῃ δὲ ἡ θερμὴ καὶ ἡ ζωτικὴ αὐτοῦ κίνησις καὶ ἐνέργεια, ὁμοίως διὰτοῦτο ἀποθνῄσκει τὸ σῶμα. Ὅτι δὲ τὸ θερμὸν στοιχεῖον ἐστὶ τὸ ζωτικὸν, πεισθέτω σου τὸ τῆς ὀρνίθων ὠὰ διὰ

Γεν. β. καὶ γ.

Ἰωὰ. ε.

Ψαλ. 94.

τῆς θαλάσσης ζωοποιούμενα, καὶ ψυχούμενα, καὶ κινούμενα, καὶ πληρούμενα. Ὁ-
μοίως καὶ ὁ λέβης τὸ ὕδατος, διὰ τὸ πυρὸς ἀναζέων, καὶ κινούμενος, καὶ φωνήν τι-
Ἰωά. 4. νατῆ βράσει ποιούμενος. Αἱ γὰρ θεῖαι Γραφαὶ, καὶ ὁ Κύριος πρὸς τὴν Σα-
μαρείτιδα ὕδωρ ζῶν τὸ κινούμενον, καὶ ἁλλόμενον, καὶ ἅχαν ὀνομάζουσι, καὶ
Ψαλ. 35. τάχα διὰ τοῦτο φησὶν ὁ Δαβὶδ τῷ Θεῷ. Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐπειδὴ
πᾶσα πηγὴ μιμεῖται τὴν ἡμετέραν ζωὴν, καὶ τὸν θάνατον, καὶ τὴν ἀνάστασιν.
Τίκτεται μὲν γὰρ τὸ τῆς πηγῆς ὕδωρ, ὥσπερ νήπιον ἐκ σκοτεινῆς γαστρὸς, τῆς
ἀβύσσου ἁλλόμενον, καὶ εἰς φῶς προερχόμενον καὶ κινούμενον, καὶ φωνὴν διὰ θέσεως
ἀφιέμενον, εἶτα ἐν λέβητι αὐτλούμενον, ὥσπερ μέλος τεμνόμενον, διὰ θέσεως
γίνεται νεκρὸν, καὶ μὴ κινούμενον, μηδὲ φωνήν τινα ποιούμενον. Ἐπαὶ δὲ τὸ πῦρ
ὑπὸ τὸν λέβητα ὑποβάλῃς, ὡσανεὶ διὰ τὰ θερμὰ στοιχεῖα ψυχόμενον, διὰ-
θέσεως εἰς τὸ πρότερον αὐτὰ χῦμα τῆς πηγῆς ἐπανέρχεται, ἀναζέον καὶ ἀναπη-
δῶν, καὶ φωνὴν ἐν τῷ ἀναζεῖν ἀφιέμενον. Ὡσαύτως καὶ τὰ φυτὰ, καὶ τὰ δένδρα, καὶ πᾶν σπόριμον, ἐὰν μὴ διὰ τῆς ἡλιακῆς θέρμης καταθαλφθῇ, ἢ ῥίζοι,
οὐδὲ ζωογονεῖται, οὐδὲ εἰς φῶς προέρχεται, οὐδὲ καρπὸν, ἢ γονὴν ἐργάζεται.
Κἀντεῦθεν ὁ χειμὼν διὰ τὰ ψυχρὰ στοιχεῖα τὴν ἀκαρπίαν μὲν τοῖς φυτοῖς,
τὴν ἀγονίαν δὲ καὶ ἀτεκνίαν τοῖς ζώοις ποιεῖ. ἐν οἷς τρόπῳ τινὶ μιμεῖται τὴν
τῶν θανάτου καταφοράν. Ὑποχωρεῖ τῷ ψύχει ἡ ζυγὼν, καὶ κρύπτεται ἡ χελιδὼν,
σιγᾷ ἡ ἀηδὼν, καὶ ὡς ἐν πάροις τισὶν, ἅπως τοῖς ἐν σώμασι ταμείοις οἱ ἄνθρω-
ποι καταπρύπτονται πρὸς τὴν θέρμην, ὥσπερ πρὸς ζωὴν καταφεύγοντες. Ὅ-
θεν καὶ τῆς ζωῆς χωριζομένης τὸ ἡμέτερον σώματος, διὰ τῆς διαφυέσεως καὶ ὑπο-
χωρήσεως τοῦ αἵματος θερμότητος, ὁ χωρισμὸς τῆς ψυχῆς γίνεται. Διό-
περ ἐὰν ἀναχίσῃς τὸ νεκρωθὲν διὰ θέσεως σῶμα, χολὴν μὲν καὶ χυμὸν καὶ φλέγμα
ἐν αὐτῷ διάρσεις, αἷμα δὲ ἐδαμοῦ. Πρῶτον γὰρ τὸ θερμὸν στοιχεῖον ὑπο-
χωρεῖ ἐκ τοῦ σώματος, δεύτερον τὸ ὑγρὸν, καὶ τρίτον τὸ ψυχρὸν, λοιπὸν δὲ
ἐκ δυσμῶν ἐν τῷ τάφῳ καὶ ἐν τῇ γῇ, εἰμὴ τὸ ξηρὸν, τουτέστιν ὁ χοῦς, ὃν ἔλαβεν
ὁ Θεὸς ἀπὸ τῆς γῆς, ἡ γῆ μόνον τὸ ἴδιον αὐτῆς κρατεῖ, τὰ δὲ ἄλλα τρία
στοιχεῖα εἰς τοὺς ἰδίους τόπους ἀπέρχονται, τὸ θερμὸν εἰς τὸ πῦρ, τὸ ψυχρὸν
εἰς τὸν ἀέρα, τὸ ὑγρὸν εἰς τὰ ὕδατα. Ὅπως ἂν γῦν ἡ ἀνάστασις γένηται,
συνέχουσι πάλιν κελεύσει Θεοῦ τὰ στοιχεῖα πρὸς ἑαυτά. Ὁμοίως πάλιν καὶ
ἡ ψυχὴ ἔρχεται ἐν αὐτοῖς, καὶ λαίσαται ὁλόκληρος ὁ ἄνθρωπος. Ὅταν δὲ
σοι δισταγμὸς περὶ ἀναστάσεως γένηται, ἐρώτησον τὸν χοῦν ἄψυχον ἐν τῷ
τάφῳ ὄντα, καὶ διορύττοντός σου πῶς ἡ σηπεδὼ αὕτη ἡ οἰκεία καὶ νεκρὰ δύναται γνέ-
σθαι ἔμψυχος καὶ ὁλόκληρος ὁ ἄνθρωπος, διὰ θέσεως ἀπόβλεψον εἰς ἑαυτὸν, καὶ
ὄψῃ ἐν σοὶ τὸν τύπον τῆς τῶν σωμάτων ἀναστάσεως ἤδη γεγυμνικόν. Πόθεν
γὰρ εἶπέ μοι σὺ ὤντες, καὶ ὁλόκληρος ἄνθρωπος γέγονας καὶ ἔμψυχος; ἐκ ἀπὸ
σπορᾶς οἰκείας καὶ μικρᾶς καὶ ῥυπαρᾶς, ὥσπερ ἐκ τάφου ἐκ μήτρας δύναμει
Θεοῦ ὄντες; Εἰδὲ τὸ ἄψυχόν σε τῆς κόνεως τῶν σωμάτων εἰς ἀπιστίαν πα-

βάλλει

βάλλει φάσκοντός σου, πῶς τὸ ἄψυχον ἀναζῆναι ἔμψυχον; ἴσχυς καὶ περὶ
τούτου, ἀπ' αὐτῆς τῆς Κοσμοποιΐας μάχει καὶ νοῦ, πολλὰς ἀναστάσεως ἰδέας,
ἐξ ἀψύχων ἐμψύχους ἅσας. Ἄψυχος ὁ Ἥλιος, ἀλλ' ἐξ αὐτοῦ ὡς πολλάκις
εἶπον προέρχεται καὶ τῶν σωμάτων πάντων ἔμψυχος κίνησις. Ἄψυχα τὰ Τέ-
νδρα. ἀλλ' ἐξ αὐτῶν καὶ γέγονε, καὶ γίνεται ἕως νῦν ἔμψυχων ζώων γένν-
σις, καὶ πετεινῶν ἀνάπτησις καὶ ἀνάστασις. Ἄψυχος ἡ γῆ, ἀλλ' ἐξ αὐτῆς γέ-
γονε πάντων τῶν ἐμψύχων κτηνῶν καὶ ἑρπετῶν ἡ ἀνάστασις. Ἄψυχος ἐστὶν ὁ
Ἀὴρ, ἀλλὰ καὶ μέχρι νῦν τίκτει ἐμψύχων ζωῦφίων καὶ πτεινῶν ἀνάστασιν.
Λοιπὸν πρὸς πάσας ταύτας τὰς ἐξ ἀψύχων ἐμψύχως ἀναστάσεις ἀποβλέπων,
πίστευε δυνάμει μόνῃ Θεοῦ καὶ τῆς ἀψύχου κόνεως καὶ σαρκὸς ἔμψυχον γίνε-
σθαι τὴν ἀνάστασιν. Ὁ γὰρ βελήσει, καὶ λόγῳ μόνῳ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ
εἶναι συσταμένους τὰς ἀσωμάτους τῶν Ἀγγέλων Δυνάμεις, καὶ Οὐρανὸν καὶ Γῆν
καὶ Θάλασσαν, καὶ πᾶσαν τὴν ὁρατὴν καὶ ἀόρατον Κτίσιν, πολλῷ μᾶλλον δυ-
κοπωτέρως, καὶ ἀκωλύπως, λόγῳ μόνῳ καὶ ὀπτροπῇ ἀναστήσει, καὶ ἀναπλάσει
καὶ τὰ τῶν νεκρῶν σώματα, οἷῳ τρόπῳ κελεύει, καὶ ὡς αὐτὸς μόνος ὁ Δημιουργὸς
αὐτῶν οἶδεν.

ΕΡΩΤΗΣΙΣ, ΜΓ.

Τί ἐστὶ τὸ, Ἀδιαλείπτως προσεύχεσθε; ἐ γὰρ δυνατὸν ἀνθρώπῳ οἴκῳ, καὶ Πρὸς
τέκνων ὀπτιλεμένῳ, καὶ ἐν Κόσμῳ διάγοντι, ἀδιαλείπτως προσεύχεσθαι. Θεσ. 5.

ΑΠΟΚΡΙΣΙΣ.

Ὅτ' παύτως περὶ τῆς διὰ λόγου προσευχῆς τοῦτο ὁ Ἀπόστολος εἴρηκε, κα-
θὰ καὶ ὁ Χριστὸς φησὶν, ὅτι, Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύ- Ματ. 7.
ριε, εἰσελεύσεται εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ
θέλημα τοῦ πέμψαντός με Πατρός. τουτέστιν ὁ τὰ καλὰ διηνεκῶς ἐργαζόμενος,
εἴτε εἰς δυσωδίας, εἴτε καὶ εἰς ἄλλας καὶ Θεὸν διακονίας, ὅτος ἀδιαλείπτως τῷ
Θεῷ εὔχεται. καὶ γὰρ καὶ ἐν κλίνῃ, καὶ ἐν ὁδῷ, καὶ ἐν τραπέζῃ, καὶ ἐν ἀγορᾷ,
καὶ ἐν παντὶ τόπῳ, δυνάται τῇ καρδίᾳ προσεύχεσθαι.

ΕΡΩ.

ΕΡΩΤΗΣΙΣ, ϙΔ'.

Πόθεν ὁρῶμεν παρ' ἡμῖν τοῖς Χριστιανοῖς ὑπὲρ ἄλλα τινὰ ἔθνη ἄπισα πολλοὺς πολλάκις κολοβοὺς, καὶ ποδαλγοὺς, καὶ λεπρους, καὶ ὑπληπτικοὺς, καὶ ἄλλαις τισὶ νόσοις κατεχομένους;

ΑΠΟΚΡΙΣΙΣ.

Τινὲς μὲν ἔδοξαν περὶ τούτου, ὅτι ὡς ἀγαπῶν ἡμᾶς ὁ Θεὸς τὰ τοιαῦτα πάθη συνεχώρησεν ἡμῖν. Ἀλλ' ὁ πᾶσι δεκτὸν ὂν τοιαύτη ἀπολογία. Οὐκοῦν ἐμοὶ δοκεῖ, ὅτι καὶ ἐκ γονῆς, καὶ ἐξ ἀέρων, καὶ ἐκ διαίτης πολυποικίλου καὶ καθύγρου, καὶ πολυοινίας, καὶ πολυφαγίας. Καὶ ὅτι μὲν εἰσὶν ἀέρες τινὲς τοιοῦτοι, δηλοῦσιν Αὐλῶνιοι, μηδέποτε ποδαλγεῖν ἔχοντες. Ὅτι δὲ ἐστὶ καὶ διαίτα ξυφῶν καὶ ποτῶν νοσοποιός, μαρτυρεῖ τὸ γένος τῶν Γαλατῶν. καὶ γὰρ καὶ αὐτοὶ ξυφηλοὶ καὶ πολυκρέας, καὶ πολυοίνους, καὶ πολυζώμους διαίτης ὑπάρχοντες. Λοιπὸν δὲ, καὶ ἐκ γονῆς, καὶ ἐξ ἀέρων ἐρημικῶν καὶ ξηρῶν τυγχάνοντες, καὶ τοσούτους ἀσθενεῖς, ποδαλγοὺς, καὶ κυλλοὺς, καὶ λεπροὺς, καὶ δαιμονιῶντας ἔχουσι, καὶ ἕτερα δὲ πλεῖστα ἔθνη εἰσὶ, καὶ εἰδώλοις λατρεύοντα, καὶ οὐχ ὡς ἔτυχε, τὰς τοιαύτας νόσους ἔχοντα διὰ τὴν ξηρότητα, καὶ ἀέρων δυσκράτων καθαρότητα. Ἀλλ' ἴσως ἐρεῖς. Τί ἂν ἐστὶν ἐκ ξυφῆς καὶ ἀσαπάλης, καὶ ἄλλων ἐδεσμάτων ὑπληπτικοὺς καὶ δαιμονιῶντας γένεσθαι; Περὶ τούτου ἄκουσον τοῦ Χριστοῦ λέγοντος περί τινων δαιμονιώντων, ὅτι τὸ γένος τοῦτο οὐκ ἐξέρχεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. οὐκοῦν ἐὰν ἐκ νηστείας ἐξέρχεται πολλάκις, καὶ ἐκ ἀσαπάλης, καὶ ἐκ ξυφῆς, καὶ ἑτέρων σωματικῶν αἰτιῶν εἰσέρχεται κατὰ Θεοῦ συγχώρησιν. Καὶ γὰρ πρὸ ὀλίγου χρόνου τῆς ἁλώσεως Κύπρου ἁγιώτατός τις φιλόσοφος καὶ ἀξιόλογος σοφιστὴς ἐν τῷ μαρτυρίῳ τοῦ Ἁγίου Ἐπιφανίου, καὶ θεωρήσας τὸ πλῆθος τῶν παρόντων, ἔλεγε, δεῖσθαι τῇ βοηθείᾳ τοῦ Θεοῦ διὰ διαίτης τινὸς, καὶ βοτάνων καθαρσίων, καὶ ἀφαιμάξεων ἰάσασθαι, καὶ δὴ καὶ κέλευσιν τοῦ Ἀρχιεπισκόπου ἐπιχειρήσας τοὺς πλείους ἰάσατο.

Matt. 17. Mar. 9.

ΕΡΩΤΗΣΙΣ, ϙΕ'.

Παύ πολυζήτητον ὦδε πᾶσιν ἐστὶ τὸ, Πόθεν ἐξ αὐτῆς τῆς γενέσεως καὶ νεαρᾶς ἡλικίας διείσπονται φυσικῶς τροφεῖς; ἄλλοι ὀργίλοι, ἕτεροι φιλόβιοι, καὶ πόρνοι, ἄλλοι φιλογύναιοι, ἄλλοι μισογύναιοι, ἢ καὶ ἐγκρατεῖς; καὶ εἰσὶ τινὲς πάλιν φύσει δίμετάδοτοι, ἄλλοι δὲ οὐκ δίμετάδοτοι, ὁ μόνον δὲ, ἀλλὰ καὶ φυσικῶς τινὲς διείσκονται;

ΑΠΟΚΡΙΣΙΣ.

Περὶ τούτου εἴρηται μὲν ἡμῖν ἐν ἰδιωτικῷ πονήματι, ἐν ᾧ ἀρξάμενοι ἀπ' αὐτῆς τῆς τοῦ Ἥλιος ἀνατολῆς τὰς χώρας, καὶ μέχρι τῆς δύσεως, καὶ πάλιν ἀπ' αὐτῆς δὴ κύκλῳ μέχρι τοῦ βορρᾶ, καὶ καθεξῆς, καὶ ἕως αὐτοῦ τοῦ ἀνατολικοῦ, ἐδείξαμεν, ὡς ὅτι οὐχ ὁ Θεὸς ὀργίλον ἐποίησεν ὁ ποιῶν τὸν δεῖνα ἄνθρωπον σώφρονα, ἕτερον δὲ πάλιν πόρνον. οὐδὲ μὲν τοῦτον μὲν ὀργίλον, τὸν δὲ ἄλλον μακρόθυμον. ἀλλὰ γένη τινὰ εἰσὶ, καὶ χράσεις χωρῶν, καὶ τόποι, καὶ στοιχείων, καὶ ἀέρων, καὶ καιρῶν ἕπονται, καὶ ὦδε μάλιστα. Λοιπὸν δὲ καὶ αἰτίαι φυσικαὶ, καὶ τοῖς στοιχείοις τοῦ σώματος ὦδε ἀκολουθοῦσαι. δι' ὧν τινων καὶ ἕπεσθαι καὶ αἰτιῶν, καὶ χράσεων καὶ καιρῶν, ἐὰν διρεθῇ πλημμύρα τοῦ θερμοῦ στοιχείου, ἐν τῇ ὥρᾳ τῆς συλλήψεως τοῦ βρέφους, γίνεται τὸ τυπούμενον θερμῆς χράσεως, καὶ φιλόβιον, καὶ δίμετάδοτον. Εἰδὲ πάλιν τῇ κινήσει τοῦ ψυχροῦ στοιχείου ἡ σύλληψις γίνεται, ἀγνοτέρας ἕξεως καὶ ψυχροτέρας τὸ γενώμενον διείσκεται. Ὁμοίως λοιπὸν καὶ ὅπῃ τῇ ἄλλων δύο στοιχείων. Τὸ μὲν ξηρὸν, μισιαστὴν, καὶ πικρὸν, καὶ νηφάλιον, καὶ δεινὸν ἀποτίκτει ἄνθρωπον. Τὸ δὲ ὑγρὸν, ναθρὸν, καὶ ὑλῶδες, καὶ γαστρίμαργον, καὶ ῥυπαρόν. Εἰ γὰρ Θεία κελεύσει ἔπομβρον γενώμενον, καὶ γινόμενον τὸν μὲν τὸν ἄνθρωπον πονηρὸν, ὁ μόνον δὲ, ἀλλ' ὅτε ὁ σώφρων ἄνθρωπος ἄξιος διρεθήσεται μισθοῦ, Ὁ γὰρ Θεὸς ἐποίησεν αὐτὸν σώφρονα, ὅτε μὲν ὁ πόρνος ἢ ὀργίλος ἄξιός ἐστι κολάσεως, ὑπὸ τοῦ Θεοῦ τοιοῦτος γενόμενος. Ὅθεν τὰ τοιαῦτα ἐκ φύσεως, ἢ φρόνησις, καὶ ἡ σωφροσύνη, αἱ ἐκ ἀρεταὶ λέγονται ὑπὸ Ἁγίων Πατέρων, ἀλλὰ φυσικὰ προτερήματα καὶ πλεονεκτήματα. ἅτινα οἱ τῆς Ἑλλήνων μωρολόγοι ἀστρολόγοι κατὰ τὴν τῶν ἄστρων κίνησιν ἐμυθολόγησαν τοῖς ἀνθρώποις γίνεσθαι. Ὡς γὰρ προεῖπον, ἐν ἑτέρῳ πλατύτερον περὶ τούτων εἰρήκαμεν.

ΕΡΩΤΗΣΙΣ, ϙς'.

Ὅτι θαμβεῖται πᾶσα ἡ τῶ ἀνθρώπων φύσις, πολλὰ φοβερὰ καὶ παράπληκτα ὁπὶ τοῖς τῶ ἀνθρώπων θανάτοις ὁρῶσα γινόμενα. Διὸ ἀξιαλόγως ἂν εἰ δυνατὸν ἐκ μέρους μαθεῖν, τί δήποτε, πολλοὶ τῶ ἀνθρώπων, ἢ καὶ ἀρχόντων καὶ βασιλέων πονηροὶ ὄντες, καὶ πονηρῶν πολλάκις μαθημάτων, καὶ αἱρέσεων, καὶ ἀσεβειῶν διδάσκαλοι, πᾶσαν σχεδὸν τὴν Οἰκουμένην καταβλάπτοντες, πολυχρόνιοι ὁπὶ πολὺ γίνονται, ἐπ' ἀπωλείᾳ πολλῶν ψυχῶν καὶ λαῶν τὸ μακροχρόνιον νομισάμενοι; Ἕτεροι δὲ δυσεβεῖς ὄντες, καὶ πᾶσαν ἀρετὴν καὶ δικαιοσύνην καὶ θεοσέβειαν τῶ Κόσμω κηρύττοντες, καὶ αἴτιοι σωτηρίας πολλῶν ψυχῶν καὶ λαῶν γινόμενοι, ὀλιγοχρόνιοι βιῶσι, καὶ ἐν νεότητι τελευτῶσιν; Ἄλλοι πάλιν ἐξ Ἑλλήνων βαλόμενοι βαπτισθῆναι, τρὸ μιᾶς πολλάκις, ἢ καὶ δευτέρας ἡμέρας τὸ βαπτισθῆναι καὶ σωθῆναι, ἐτελεύτησαν ἐν ταῖς ἰδίαις ἁμαρτίαις, ἀπελθόντες ἐν τῇ γεέννῃ; Ἕτεροι δὲ ὁπὶ πεντήκοντα καὶ ὀγδοήκοντα χρόνους, σημείοις καὶ τέρασι θαλάμψαντες, εἶτα εἰς αἵρεσίν τινα ἐκπεσόντες, ἢ πορνείαν, ἀθέως ἀπέθανον ἐν καποῖς καταληφθέντες; Καὶ ἄλλος πάλιν δικαίας δυσεβὴς ἀθρόως ἐξέπεσεν, ἢ ἐν πολέμω ἀπελθών, σωτηρίαν καθ' ἑαυτὸν, ὅτι περ ἐὰν μετὰ νίκης ὑπερέβη, ἢ τῆς νόσου ἐξανέστη, πλείων μὲν τὰς Ἐκκλησίας, ἀνοίγων δὲ τοὺς τῶ εἰδώλων βωμοὺς, καὶ ὁ ταῦτα βαλόμενος ἔζησε, καὶ τὰ εἴδωλα λοιδόρει; Ἕτερος δὲ τύραννος τἀναντίον σωτηρίαν, ὅτι περ ἐὰν τῆς κλίνης ἐξανέστη, καὶ τῆς νόσου ἀπαλλαγῇ, ἀνοίγειν μὲν τὰς Ἐκκλησίας, κλείειν δὲ τὰ εἰδωλεῖα, καὶ δίδωσιν ὑποσίας, ἐλεύθεροι δὲ αἰχμαλώτους, εἶτα καὶ τὴν κατάπαυσιν πάντων τούτων τῶ ἀγαθῶν ἔσχεν, καὶ μάρτυρας τέθεικε. καὶ δὴ οὐκ οἶδεν, ἀλλ' ἐν ἁμαρτίαις ὢν ἐτελεύτησε, καὶ ὅσοι τῶ τοσούτων ἀγαθῶν γέγονε; Καὶ ἕτερα δὲ μύρια τοιαῦτα καθ' ἡμέραν ἐστὶν ἰδέσθαι γινόμενα· διὸ ὧν οἱ μὲν Ἕλληνες ἀφρονόντων αὐτὸν εἶναι τὸν Κόσμον ἐνόμισαν· οἱ δὲ Πιστοὶ πολλάκις δισταγμόν τινα εἰς τὴν τῶ Θεῶ δικαιοκρισίαν καὶ ψυχὴν ἔχοντες, τινὶ μὲν τοῦτο ὀφείλειν ἐ τολμῶσι, μόνον δὲ ἔσωθεν σκανδαλιζόμενοι, τὴν καρδίαν κατακλίνονται.

Α' ΑΠΟΚΡΙΣΙΣ.

Ἐκκ. 3. Ὅτι μὲν Νόμος ἐστὶ Γραφικὸς ὁ λέγων, ὑψηλότερά σου μὴ ἐκζήτει, καὶ βαθύτερά σου μὴ ἐξέτασε, οἴδαμεν. Ὅμως κἂν γένηται, ὅτι τὰ κείμενα τῶ Θεῶ ἄβυσσος πολλή, ἀλλ' ἔστι πάλιν ὁ λέγων, ὅτι γνωρίζει ὁ Θεὸς δικαιώματα καὶ κείμενα αὐτῶ τῷ Ἰσραήλ.

Ψαλ. 35. καὶ 147.

Ἰσραὴλ

Ἰσραὴλ δὲ λέγω τὸν Πνευματικὸν τὸν καὶ Χριστόν. Ἰσραὴλ δὲ ἑρμηνεύεται, νοῦς ὁρῶν τὸν Θεόν. Οὐκοῦν ὁ τὸν Θεὸν ὁρῶν, καὶ παρ' αὐτῶ ἐλλαμπόμενος, τῶ Ἁγίω Πνεύματι, δύναται μαθεῖν τινα τῆ κειμένων καὶ μυστηρίων αὐτῶ. Τὸ γὰρ Πνεῦμα φησὶ πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τῶ Θεοῦ. Εἰ γὰρ καὶ εἴρηται· Τίς ἔγνω νοῦν Κυρίου; ἀλλ' ὁ Παῦλος, καὶ οἱ κατὰ Παῦλον λέγουσιν, ὅτι ἡμεῖς νοῦν Χριστοῦ ἔχομεν, καθὰ καὶ Ἱερεμίας φησὶν, ὅτι ἐ μὴ ποιήσει Κύριος πρᾶγμα, ὅπερ ὐκ ἀποκαλύψει τοῖς δούλοις αὐτῶ τοῖς Προφήταις. Εἰ δὲ τοῖς ἐν τῷ Νόμω ἐδήλωσε, ὡς φησὶν ὁ Δαβίδ· Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι· πολλῷ μᾶλλον τοῖς ἐν τῇ Χάριτι, οἵτινες ἔμαθον ἃ ὀφθαλμὸς ὐκ εἶδε, καὶ ὦς ὐκ ἤκουσε, καὶ ὅτι καρδίαν ἀνθρώπου ὐκ ἀνέβη, οἵτινες καὶ εἰσῆλθον καὶ ἀνέπαυσαντο εἰς Θεῖα τινὰ καὶ ἀπαράληπτα θράγματα, εἰς ἃ ὁπεθυμοῦσιν Ἄγγελοι κατακύψαι, ὡς μαρτυρεῖ ἡ Θεία Γραφὴ, οἵτινες οἶδεν ἔχουσι σαφῶς τῶ Πνεύματι καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα, καὶ τοῖς ὑποφήταις τῶ Χριστοῦ λέγουσιν. Ὅτι ἐλευσόμεθα Ἐγὼ καὶ ὁ Πατήρ μου, καὶ μονὴν παρ' αὐτοῖς ποιήσομεν. καὶ πάλιν φησίν. Ὅτι οὐδεὶς γινώσκει τὸν Πατέρα, εἰμὴ ὁ Υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Εἰ οὖν αὐτὸς ὁ Θεὸς, καὶ Παντοκράτωρ Πατὴρ ξόπω τινὶ πνευματικῶ ἀρρήτως ἀποκαλύπτεται τοῖς ἀξίοις αὐτοῦ, πόσῳγε μᾶλλον οἱ λόγοι, καὶ τὰ μυστήρια τῶ κτισμάτων αὐτοῦ; Εἰ γὰρ τοῖς Ἕλλησι τοῖς ἀναξίοις πρὸς ὑπεροφὴν καὶ Θεογνωσίαν, σχεδὸν εἰπεῖν τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς, καὶ Ἄστρων, καὶ Ἡλίου, καὶ θαλάσσης, καὶ ἀβύσσου, καὶ στοιχείων, καὶ σωμάτων, καὶ πνευμάτων, τὸ μυστήριον ἐκ μέρους ἐγνώρισε, καὶ ἀπεκάλυψεν αὐτοῖς ὁ Θεὸς, πόσῳγε μᾶλλον τοῖς οἰκεῖον αὐτὸν ἔχουσι; Πολλαὶ μὲν οὖν περὶ τούτων καὶ τῶ τοιούτων ζητημάτων, καὶ Θεοῦ κειμένων ἐξ αἰῶνος γεγόνασι ζητήσεις τε καὶ διερωτήσεις. Καὶ ὐ περὶ τούτων μόνον, ἀλλὰ καὶ τίνος χάριν, ἀνὴρ ὅσιος ἀθλητῶν ἐν ὁδῷ ἄφνω ἐτελεύτησεν; Ἕτερος ἐν βαλανείῳ ὁμοίως τῶ ψυχῶ παρέδωκεν. Ἕτερος ἐν τραπέζῃ ποτήριον δεξάμενος, σὺν αὐτῷ καὶ τὸ ποτήριον τοῦ θανάτου ἔπιεν. Ἄλλη γυνὴ πίπτουσα, ἄλλη ἐν τῷ θαλάμῳ ἀγνὴ καὶ παρθένος τῇ ὥρᾳ τοῦ γάμου καὶ τῆς χαρᾶς ἐτελεύτησεν. Ἄλλος εἰς ἱερωσύνην δικαίως προχειρισθείς, καὶ ψυχὰς δυνάμενος σῶσαι, τῇ τρίτῃ ἡμέρᾳ μὴ νοσήσας ἀπέθανε. Περὶ ὧν ἁπάντων, ὁ μὴ πίστεως νοῦν νοείτω, καὶ τῶ λύσιν ἀδιστάκτως καὶ τῶ τῶ Πατέρων διδαχὴν ἀκουέτω. Ἐν ἀρχῇ ἐποίησε ὁ Θεὸς τὸν Οὐρανὸν, καὶ τὴν Γῆν, καὶ τὴν Θάλασσαν, καὶ πᾶσαν ταύτην τὴν ὁρωμένην Κτίσιν, ἐκ τεσσάρων στοιχείων αὐτῶ σοφῶς κατεσκεύασε. Καθώσγε ἤδη προλαβὼν εἶπον, ἐκ πυρὸς, καὶ ὕδατος, καὶ ἀέρος, καὶ γῆς, ἐξ ὧν καὶ τὸ σῶμα τὸ ἡμῶν, καὶ τῶ ζώων σύγκειται. Δέδωκε δὲ ὁ Θεὸς τοῖς τέσσαρσι στοιχείοις, ὥσπερ τισὶ στρατηγοῖς, καὶ ἡνιόχοις, καθώσγε καὶ αὐτὸς βούλεται,

τοι,

Πρὸς Κορ. α'. 2. Πρὸς Ρωμ. ια'. Ψαλμ. 50. Πρὸς Κορ. α'. 2. Πέτ. α'. ι'. Ἰω. 14. Ματθ. ια'.

ται, διοικεῖν καὶ ἄγειν καὶ κυβερνᾶν τὰ ἐξ αὐτῶν, ὥσπερ ἐκ πατέρων τινῶν γνωσθεῖσαν καὶ χειραθεῖσαν τῇ σωμάτων φύσιν. Ὅθεν καὶ ἔστιν ἰδέσθαι καὶ ἀεὶ, πάντα τὰ ὀπίσεια σώματα, καὶ φυτὰ, καὶ ζῶα, καὶ παῦ ἔμψυχόντα καὶ ἄψυχον, πρὸς τὰ τῇ ἀέρων καὶ τῇ στοιχείων πρᾶσιν ἀγόμενα, καὶ μεταποιούμενα, καὶ ἀλλοιούμενα, καὶ ψυχόμενα καὶ ζωογονούμενα, καὶ φθειρόμενα. Εἰδ' ἀμφιβάλλειν δοκεῖς τοῖς εἰρημένοις, εἰπέμοι, πόθεν θανατικὰ πολλάκις συμβαίνει τοῖς ζώοις, καὶ τοῖς πετεινοῖς, καὶ τοῖς ἰχθύσι τῆς θαλάσσης, τοῖς μηδὲν πρὸς Θεὸν ἁμαρτήσασιν; Οὐκοῦν καὶ τὸ ἀνθρώπινον ἡμῶν τὸ ἐκ γῆς λιφθὲν σῶμα, ὁμοούσιον αὐτοῖς ὑπάρχον, θνητὸν, καὶ φθαρτὸν, καὶ παθητὸν, καὶ ὑλικὸν, ἐκ τῶν αὐτῶν στοιχείων καὶ τοῖς σύγκασιν ἔχον, ἐξ ὧν καὶ τὰ ζῶα συνέστηκεν ὡς ἐμοὶ δοκεῖ, θεία καὶ ἀρχέδοτῳ τάξει ὑπὸ τῶν στοιχείων, ὡσανεί τινῶν γονιμωτέρων αὐτῶ, λόγῳ Θεοῦ διοικεῖται, καὶ ἄγεται, καὶ αὔξει, καὶ ζῇ, καὶ νοσεῖ, καὶ τελευτᾷ. ζωὴν δὲ καὶ τελευτὴν λέγω τοῖς θείᾳ δυνάμει φυσικῶς ἐκ τῶν τῶν στοιχείων συστάσεως, ἢ διαιρέσεως συνισαμένοις. Τρεῖς γὰρ οἶδα λέγειν τάξεις τῶ θανάτου. Μίαν, τοῖς καὶ τὸ κοινὸ ἰδίῳ θανάτῳ συνισαμένοις. Δευτέραν δὲ, ὡς τὴν Κορινθίων ποτὲ ἀναξίως κοινωνούντων, καὶ καὶ Θείαν ἀπειλὴν αὐτοῖς πεμπομένην, οἷα καὶ καὶ ἡ τῶν πρωτοτόκων Αἰγύπτου, ἢ καὶ φυσικὴν ἀκολουθίαν ἀέρων, ἢ στοιχείων γενομένην, ἀλλὰ καὶ θείαν ὁρμήν. Τρίτην δὲ, τοῖς καὶ ἄῤῥητον κρίμα τοῦ Θεοῦ κρινομένων, ἢ πνιγομένων, ἢ πατεχωνυμένων ἀδίκωντε καὶ δικαίων, ὡς ὅπερ τῇ τοῦ Γὼβ ἰῶν. Ὁμοίως καὶ ζωῆς, δύο εἶναι διαφορὰς ὁπισάμεθα. Μίαν μὲν, τοῖς καὶ κοινῶ φυσικῶς, ὡς πολλάκις εἶπον, προνοίᾳ Θεοῦ, διὰ τῆς τῇ στοιχείων δυνάτου καὶ δυνάτου διοικήσεως συνισαμένην. Δευτέραν δὲ, τοῖς Θεοδώρητον, λέγω δὴ τοῖς ὑπὸ Θεοῦ χαριζομένην, οἷα καὶ Ἐζεκίᾳ μὴ τοῖς νόσον ζωὴ τῇ δεκαπέντε χρόνων, καὶ Λαζάρῳ μὴ τοῖς αὐάστασιν, καὶ ἑτέρων τοιούτων. Δεῖ δὲ ἡμᾶς πρὸς τούτοις ὁπίσασθαι, ὅτι περ ὡς δεσπόζων ὁ Θεὸς τῇ ζωῶν, καὶ τῇ θανάτων, καὶ τῇ φύσεων, καὶ τῇ στοιχείων, καὶ πάντων, ὅπερ μὲν βούλεται προσίθησι ζωὴν, ὃ δὲ κελεύει, ἐπάγει καὶ ὅπερ δικαίοις θάνατον, ὡς φησὶ πρὸς Μωϋσέα. Ὅτι προσεύθητω Ἀαρὼν πρὸς τὸν Πατέρας αὐτῶ. καὶ πάλιν αὐτῇ τῇ Μωϋσῇ. Ἀνάβηθι εἰς τὸ ὄρος καὶ τελεύτα. Ἐμοὶ δοκεῖ, ὅτι ὥσπερ καὶ ὁ Ναβουχοδονόσορ, καὶ Δαβὶδ, καὶ ἄλλοι τινὲς πολλάκις πατέρες λαῶν, καὶ ἐθνῶν, καὶ Βασιλεῖς μεγάλοι πρὸς τοῖς τὸ λαὸ ἀξίωμα, καὶ προφήκας, καὶ ὑφαιρέσεις ἑαυτῶν ἐκ Θεοῦ νομίζονται. πολλάκις δὲ καὶ δικαίοις τισὶν, ὅπερ τὸ πλεῖον προνοήσαι διὰ τῆς προφήκης τὰ χρόνα μέλλουσι, προσίθησιν ὁ Θεὸς ὑπὲρ τοῖς φυσικοῖς ζωοῖς τὴν τὰ σώματος ζωήν. Ἀλλ' ἐπεὶ τούτων ἡμῖν νῦν τῇ ἀσαφέστερον ὑπὸ Θεοῦ οὔτισι προφητῶν, καὶ ὑφαιρέσεων ζωῆς καὶ θανάτου ὁ λόγος ἐστὶν, ἀλλὰ τῆς περὶ καὶ κοινὰ ὅλῳ τῷ γένει τῆς τῇ ἀνθρώπων φύσεως, ζωῆς τε, καὶ θανάτου τῇ ἡμετέρων σωμάτων. Πῶς οὔτισι χώραις ὑγιεινὰ ταῦτα καὶ πολυχρόνια γίνονται, ἐν ἄλλαις δὲ νοσερὰ καὶ ὀλιγοχρόνια; Καὶ πῶς τινες μὲν τόποι συχνῶς θανατικὰ ὑφίστανται, ἄλλαι δὲ χῶραι ἐθνῶν καὶ ἀσεβῶν ὅλως πείραν θανατικῆς γινώσκουσι; Καὶ πόθεν ἐν τῷ αὐτῷ πάλιν πολλάκις Ἑλλήνων, ἢ βαρβάρων, ἢ Πισῶν γένη, τινὲς μὲν αὐτῶν πολυτεκνοῦσι πονηροὶ ὄντες, ἄλλοι δὲ ἀτεκνοῦσιν ἀγαθοὶ τυγχάνοντες; Καὶ πάλιν τινὲς δισεβοῦντες ὀλιγοχρόνιοι γίνονται, ἕτεροι δὲ πονηροὶ πολυχρόνιοι τελευτῶσι; Καὶ τίνος χάριν, οἱ μὲν ἄφωνοι καὶ ἀδάμαστοι ἁρπάζονται καὶ θνήσκουσιν, ἄλλοι δὲ ὅπι χρόνου ἀθενοῦντες ἐ τελευτῶσι; Καὶ ὅπως σαφέστερα καὶ πιστότερα ἡ γνῶσις, καὶ ἡ ἀπόδειξις τῶν προκειμένων κειμάτων Θεὸ καὶ ἔτι γένηται, ὑποθώμεθα πόλιν τινα, ἢ χώραν ἀσεβῆ καὶ ἄνομον, τῷ Διαβόλῳ λαξεύσαν, καὶ ὅλως τί ἐστὶ Θεὸς μὴ γινώσκουσαν, ἀλλὰ λίθοις, καὶ ξύλοις, καὶ μυσαροῖς, καὶ μύαις καὶ πιθήκοις προσκυνοῦσαν καὶ δεδιδύσαν. Εἰπέμοι σὺ ὁ λέγων προορισμὸν τῆς ζωῆς ἑκάστῳ ἀνθρώπῳ προγεγραμμένον παρὰ Θεῷ πρὸς τὸ συμφέρον, πῶς, καὶ διατί τινὲς τῆς ἀσεβοῦς πόλεως ἐκείνης, οἱ μὲν ἑκατονταετεῖς τελευτῶσιν, οἱ δὲ πεντηκονταετεῖς; οἱ μὲν ἄτεκνοι, οἱ δὲ πολύτεκνοι; οἱ μὲν παῖδες ἀποπνέουσι, οἱ δὲ πολιοσοῦντες; Ἕτεροι ὅπι πέμπτῃ ἡμέρᾳ, ἢ καὶ δεκάτῃ πολλάκις ψυχορραγοῦντες, καὶ ταρταρόμυοι, ὅπου τὰ σώματος χωλίζονται; Ἄλλοι δὲ εἰρηναίως, καὶ γαληνῶς τῇ ψυχῇ παραδιδοῦσιν; Εἰπέμοι λοιπὸν σὺ, πάντων αὐτῶν ἀσεβῶν καὶ πονηρῶν ὄντων, πόθεν τινὲς αὐτῶν ὑγιεῖς τὸν ἅπαντα αὐτῶν χρόνον διῆξαν; οἱ δὲ νοσεροὶ καὶ πολυπαθεῖς; καὶ οἱ μὲν πολύτεκνοι, οἱ δὲ ἄτεκνοι; καὶ οἱ μὲν περιπαῖντες ἀπέθανον, οἱ δὲ ὅπι χρόνου νοσήσαντες; καὶ οἱ μὲν ἑκατονταετεῖς, οἱ δὲ ἑξακοσονταετεῖς; καὶ ἄλλοι νήπιοι, καὶ ἕτεροι θηλάζοντες ὑπεξῆλθον τὰ βίᾳ; Ὁ ἂν Προορισμὸν χρόνων ζωῆς δοξάζων, καὶ λέγων ἐπ' αὐτοῖς, προσκρούει τῷ Θεῷ. Εἰ γὰρ προγνώσης ἐστὶν, ὥσπερ ἔν καὶ ἔστι, τίνος χάριν τὸ μὲν τῷ εἰδωλολάτρῃ ἀνθρώπῳ πεντακόσια ἔτη ζωῆς προώρισεν ὡς λέγει, τὸ δὲ τῷ ἀνθρώπῳ ἑκατόν; τοῦτον δὲ, νήπιον καθαρὸν καὶ ἀθῷον τῆς παξικῆς αὐτῶ εἰδωλολατρείας, ἐπῆρεν ἐκ τοῦ βίου; Εἰ γὰρ καὶ προορισμὸν ταῦτα γέγονε, προσωπολήπτης δρεθήσεται ὁ Θεός. Ὡς τὸν μὲν καθαρὸν λαβὼν ἐκ τοῦ βίου, τὸν δὲ προορίσας πεντακοσίους χρόνους τῆς ζωῆς, προγινώσκων, ὅτι ἐν εἰδωλολατρείᾳ τοσούτους καταναλώσει χρόνους. Ἀλλ' ἐκ ἔστι ταῦτα, μὴ γένοιτο. ἀδέ ὅτι κακὸς αἴτιος ὁ Θεὸς, καὶ τοῖς τῆς Μανιχαίων μύθος. Ἐκεῖνοι γὰρ φασὶν, ὅτι τοῖς μὲν ἀγαθοῖς, καὶ δικαίοις, ὁ Ἀγαθὸς καὶ Δίκαιος Θεὸς προορίζει τῷ ζωῷ, τοῖς δὲ ἀσεβέσι, καὶ πονηροῖς ἀνθρώποις ὁ πονηρὸς θεὸς ποιεῖ καὶ τῷ γενέσιν, καὶ τῷ ζωῷ, καὶ τὸν θανάτου. Ὁ δὲ Ἱερὸς καὶ Ἀποστολικὸς διδάσκαλος Κλήμης ἐν τῇ περὶ Προνοίας καὶ Δικαιοκρισίας Θεοῦ πρώτῳ λόγῳ τοιοῦτόν τι λέγει. Ὅτι ὥσπερ δυνατὸς ὢν ὁ Θεὸς καὶ νῦν πλάττειν ἀνθρώπους καὶ τῷ πρότερον τὸν Ἀδὰμ

Πρὸς Κορ. ά. 11.
Ἔξοδ. 12.
Ἰώβ. 1.
Βασ. δ'. 20.
Ἰω. 11.
Ἀρι. 20.
Ἀρι. 27.

Γεν. 1.

δραπλασιν, ἀπ ἔτι τῶτο ποιεῖ, δρὰ τὸ ἅπαξ χαίσασθαι τῷ ἀνθρώπῳ τὸ θρυνᾶν ἀνθρώπες, εἰπὼν πρὸς τὸν φύσιν ἡμῶν· Αὐξάνεθε ἡ πληθυνεθε, ἡ πλιρώσατε τὸν γῶν, ἵτω τῇ παντεξυσίῳ ἡμὶ προνοητικῇ αὐτῦ δυνάμει, ἡμὶ τὸν τῆ σωμάτων δραλυσιν ἡ τελυτὸν, φυσικῇ τινι ἀπολυθίᾳ ἡ τάξει τῇ τῆ στοιχείων κράσει ἡ μεταβολῇ ὡπονόμησε θρύθαι, κ τὸν ὐσιώδη αὐτῦ θεογνωσίαν, ἡ καπάλιφιν. Ἤκυσας φωνῆς ἱερᾶς Παρὸς πατέρων διδασκάλης, ὅτι περ τῇ παναγάθῳ ἡ προνοητικῇ αὐτῦ δυνάμει ὁ Θεὸς ὐσιωδῶς ἐντέθεικε τῇ ἡμετέρᾳ φύσει ἡμὶ τὸν δρὰ σαρκὸς γένησιν, τὸν ἐκ τῆ στοιχείων δυνάμει Θεῦ συνισαμβίλω, ὁμοίως ἡ τὸν δραλυσιν, ἡ τὸν ὑποβίωσιν; Οὐκῦν ὁπλοίκα ἴδῃς τινὰς μὴ ἀνθρώπες ὑπάργηρῶντας, ἀσεβεῖς ὄντας, τινὰς δὲ Θεοσεβεῖς ὀλιγοχρονῦντας, μηδὲν ἀφελεῖς περὶ Θεῦ ἐννοήσῃς. μαθὼν, ὅτι τὸν τῆ στοιχείων ἡ ἀέρων φύσιν ἡ κράσιν, ὡπονόμησε ἡ τῦ Θεῦ πρόνοια διοικεῖν ἡ κυβερνᾶν, κ τὸν αὐτῦ τῦ Θεῦ βοπὸν, πᾶσαν τὸν ὁρωμένων κτιωῶντα, ἡ πετεινῶν, ἡ ἰχθύων, ἡ ἀνθρώπων φύσιν, ἡ γένησιν, ἡμὶ δραλυσιν, ἡμὶ σωμάτων θνῆσιν. Ὅθεν ὁρῶμεν, ὅτι περ ἰσχὺν στοιχεῖον ἡ φθορὰ γείνεται, θνήσκουσιν ἰχθύων αὐτομάτως πλήθη. Ὅτε δὲ πρὸς τὸ τῆς γῆς ξηρὸν, πίπτουσι τὰ κτιώνα. Ἐὰν δὲ τὸ τῦ ἀέρος ψυχρὸν πλεονάσῃ, φθείρει τὰ πετεινά. Εἰ δὲ τὸ τῦ πυρὸς ὑπερζέσῃ στοιχεῖον, σωπείδήσει τῦ Ποιητῦ, τελυτῶσιν ὑπὸ θανατικῦ οἱ ἄνθρωποι δι' αὐτῶν. Διὰ ταύτας ἐν τὰς τῆ στοιχείων προνοίᾳ Θεῦ κινήσεις, ἡμὶ πλημμύρας, ἡ ἐλαττώσεις, ἡμὶ κράσεις, ἡμὶ ποιότητας, τινὲς χῶραι ἀπείρασοι θανατικῶν τυγχάνουσι, ξηροτέρων πολλάκις, ἡ καθαρῶν ἡ ἀῤῥυπάρων, ἡ ὑγιοποιῶν ἀέρων ἡ ὑδάτων ὑπάρχεσαι. Καὶ μαρτυροῦσι τὰ Ἰεριχόντια ὅτι Ἐλισαιὲ ὕδατα, ἄγονα ἡ θανατηφόρα ὑπάρχοντα. Ὅθεν ἰώμενος αὐτὰ ὁ Προφήτης, ἔλεγε. Τάδε λέγει Κύριος, ἴαμαι τὰ ὕδατα ταῦτα, ἡ οὐκ ἔσαι ἐν αὐτοῖς θάνατος, ἢ ἀτεκνῦσα. Ἀκούεις ὁ τὰς προσεισμὰς ἡμῖν προβαλλόμενος Προφητικῆς ἡ Θείας φωνῆς, μαρτυρόσης καὶ ἐξ ὑδάτων γίνεθαι τοῖς ἀνθρώποις θανάτες ἡ ἀτεκνίας, καθὰ πάλιν ἡ τὰ Αἰγύπτια ὕδατα μαρτυροῦσι πολύγονα καὶ εὔτεκνα τυγχάνοντα; Εἰδὲ ἐξ ὑδάτων θνήσεις σωμάτων, σωπειδήσει Θεῦ γίνονται, πάντως ἂν ἡ ἐκ τῆ λοιπῶν στοιχείων, κατά τινας αὐτοῖς πλεονασμὰς, ἢ ἐλαττώσεις. Εἰδὲ μὴ ταῦτα ἔτως ἔχει, εἰπέ μοι τίνος χάριν ὁ Θεὸς τὸν ἰατρικὸν ὑπηρέτην τῦς ἀνθρώπες ἐσόφισε; ἡ τὰς βοτάνας καὶ τὰ εἴδη πάντα τὰ θεραπευτικὰ προηυξέπισεν; Ὅθεν καθάπερ ἔγωγε οἶμαι, ἡ σώζεσι πολλάκις Θεῦ προνοίᾳ οἱ ἰατροὶ ἐκ θανάτε ἀνθρώπον. Λοιπὸν οἱ τῆ παλαιῶν σωματεμπόρων ὑπηρέται ἐπωνθάνοντο τὰς Φιλοσόφες ἡμὶ Ἰατροσοφιστῶν τὰς ὑπηρέτας, εἰς ἀκρίβειαν ἀυτοῖς ἀγγέλλειν τὰς τῆ ἀέρων ἡ τῆ στοιχείων τῆ χωρῶν ποιότητας, ἡ ἐκ ποίας γῆς δεῖ ὠνεῖθαι τὰ εἰς Ἀνατολὴν ὀφείλοντα σωμάτια,

καὶ

ἡ μὴ ταχέως τελυτᾷν. ἐκ ποίας δὲ πάλιν τὰ εἰς Βορρᾶν. ἡ ἵτω καθ' ἑξῆς περὶ πασῶν διηρώτων τῆ χωρῶν, ὡς ἐκ πείρας μαθόντες εἶναι τινὰς ἀέρας ἡ χώρας, ἡ ὕδατα σωτόμως φθείροντα τὰ ἐξ ἑτέρων χωρῶν κομιζόμενα ἐκεῖσε σωμάτια. Καὶ γὰν πρὸ ὀλίγων χρόνων ὡδαμῶς εἰς τὸν νεκρὰν θάλασσαν, ὡδὰ τὰ μέρη Ζωόρων ἡ Τετραπυργίας, σῦθα χαλεποί τινες ἡ φθοροποιοὶ, ἡ δυσώδεις, ἡ σηπτικοὶ, καθ' ὁμοιότητα Κύπρε τυγχάνουσιν οἱ ἀέρες, εὗρον πάντας τὰς αἰχμαλώτας τῆ καπασπορῶν τῦ δημοσίε, Κυπρίας τυγχάνοντας. ἡμὶ θαυμάσαντος, ἡ τὸν αἰτίαν ἐρωτήσαντος, οἱ τὰ αὐτόθι διοικῦντες παύτῳ πρός με τὸν ὑπόκειμσιν ἔδωκαν. Ὅτι ἐ προσδέχονται οἱ ἐνταῦθα ἀέρες ἕτερα σώματα, εἰμὴ τὰ ἀπὸ Κύπρε. Καὶ γὰρ πολλάκις φησί, πολλοὶ ἀλλαχόθεν πεμφθέντες ὧδε ἐκ διαφόρων χωρῶν αἰχμάλωτοι ἐντὸς ὀλίγε χρόνε ἐφθάρησαν, ἡ ἀπέθανον. Οὐκῦν ἐντεῦθεν ἔσι σαφῶς διαγνῶναι, ὅτι πάντων Δημιεργὸς ἡ Ποιητὴς ὁ Θεός ἐσὶν, ὁ ἀπαρχῆς δὲς ἑκάσῃ φύσει τῆ κτισμάτων τὸν οἰκείαν ἐνέργειαν. Αὐτὸς δέδωκε ἡ τοῖς στοιχείοις κ τὸν αὐτῦ πρόνοιαν ἡμὶ γνῶσιν ἡ ῥοπὸν, διοικεῖν τὸν τῆ ἡμετέρων σωμάτων γένησίν τε ἡμὶ αὔξησιν, ἡ ζωὸν ἡ τὸν θάνατον. Καὶ διὰ τῆς αὐτῶν λέγω δὴ λοιπὸν τῆ τεσσάρων στοιχείων κινήσεως, ἢ ἐλλείψεως, ἢ αὐξήσεως, ἢ διαιρέσεως, ὁ τῦ σώματος γίνεται θάνατος. Καθ' ὃν γὰρ ὥραν ἡ ῥοπὸν ἡ θερμὴ ἡμὶ ζωογονητικὴ τῦ αἵματος ἐνέργεια ἔκτινος αἰτίας ἐκλείψῃ ἐκ τῦ σώματος, δι' ὅλε τελυτᾷ ὁ ἄνθρωπος, ὡς ἐκ στοιχείων τὸ σῶμα συγκείμενος, ἡμὶ ὑπὸ θείας δι' αὐτῶν δυνάμεως ζωοποιούμενος, ἡ λυόμενος. Λοιπὸν διὰ τῦτο ἡμὶ τινὲς νήπιοι ἀποθνήσκουσι, διὰ τῦτο καί τινα ἔμβρυα τελυτῶσι, κατά τινα φυσικὸν στοιχεῖε αἰτίαν ἡ αὐτιπάθειαν, ἀθυμησάσης ἡ ἐκλειψάσης τῆς ζωτικῆς ἡ θερμῆς τῦ αἵματος ἐνεργείας, ἡμὶ μὴ ἰσχυσάσης ὅπ πολὺ ζωογονῆσαι τὸ σῶμα. Ὡς δὴ ἡ ἤδη προεῖπον, οἵαν ὥραν ἐκλείψῃ ἢ ἐν τῷ σώματι θερμὴ ἡμὶ κινητικὴ ἐνέργεια, δι' ὅλε ἢ ζωὴ τῦ σώματος χωρίζεται. Διὰ τῦτο τινὲς ἐξαίφνης θνήσκουσι. διὰ τῦτο τινὲς ἐν ὁδῷ ἐξαίφνης πεσόντες ἀπέπνευσαν. διὰ τῦτο ἄλλοι ἐν τραπέζῃ τελυτῶσι. διὰ τῦτο τινὲς ἀσεβεῖς ὑπάργηρῶσι. διὰ τῦτο τινὲς δυσεβεῖς ὀλιγοχρονῦσι. διὰ τῦτο τινὲς ἀγαθοποιῆσαι σκεύεσιν ἐκ ἔφθασαν, ἀλλὰ προεφθάσθησαν. διὰ τῦτο ἡ τινὲς Ὅσιοι ἀθλήσαντες ὕπως ἀπέθανον. Δοκεῖ γάρ μοι, ὅτι πᾶσα χώρα πολυχρόνια φυλάττουσα τὰ βρώματα ἡμὶ τὰ σπέρματα, πάντως ὕπω ἡ τὰ ἀνθρώπινα σώματα, ὥσπερ ἡ τἀναντίον. Καὶ διὰ τῦτο τινὲς δυσεβεῖς τὰ τέκνα θάπτουσι σωτόμως. τινῶν δὲ ἀσεβῶν τὰ τέκνα πολυχρονῦσι. Διὰ τῦτο ἐν αὐτῇ μὲν τῇ πόλει θανατικὸ θρυλῶσιν, ἐν ἑτέρᾳ δὲ πόλει τέλειοι ἄνθρωποι. Καὶ πάλιν ἐν ἄλλῃ, αἱ γυναῖκες ἡ οἱ γέροντες. ἡ ποτὲ μὲν νόσῳ λοιμικῇ, ποτὲ δὲ πυρετικῇ. ἡ ἄλλοτε δὲ βρασμῷ, ἡ ἄλλοτε πλευριτι-

κῇ

καὶ διαθέσει οἱ ἄνθρωποι ἀποθνήσκουσιν ἐν τοῖς θανατικοῖς καὶ τῷ τὸ ἀέρος, καὶ τῷ τῶν στοιχείων κίνησιν, καὶ πλεονασμὸν καὶ ἔλλειψιν τῶν τόπων καὶ τῶν χωρῶν. Καὶ ἐκ ἐκτὸς μὲν γνώσεως τοῦ Θεοῦ, ἄπαγε. Ὅμως διὰ τῆς ἀρχεδότου παρ' αὐτοῦ τῶν στοιχείων κινήσεως, καὶ διοικήσεως καὶ ἐνεργείας. Διὰ ἧς πάλιν ὡς ἐμοὶ δοκεῖ πολλάκις καί τινες γυναῖκες δι' εὐσεβεῖς σεῖραι δύεισπονται, καθάπερ ἡ Σάῤῥα, καὶ ἡ Ῥεβέκκα, καὶ Ἄννα. τινὲς πάλιν ἀσεβεῖς πολύτεκνοι. Τάχα δὲ τολμῶ λέγειν, ὅτι κατά τινα τοιαύτην φυσικὴν καὶ Θεόκτιστον ἀκολουθίαν καὶ αἰτίαν τῶν σωμάτων. Πολλάκις γὰρ γυνὴ δέκα ἀνδράσι συζυγηθεῖσα, πάντας αὐτοὺς ἔθαψε καὶ προσβᾶσιν, δεινοπαθοῦσα τινὸς καὶ δρασμοῦ διρεθεῖσα χυμοῦ καὶ ἀσωρᾶς. Ὡσαύτως δὲ καὶ ἀνὴρ ἐκ τῆς αὐτῆς αἰτίας καὶ προσβασιν πολλάκις τοσαύτας ἐνωθεὶς γυναιξὶ, τὰς πάσας ἔθαψε. Φασὶ δέ τινες, ὅτι τῷ αὐτῷ τρόπῳ, τετέσι κράσει, καὶ αἰτίᾳ, καὶ διαφορᾷ τῶν στοιχείων, οἱ μὲν πολλάκις ὅπου πλείσας ὥρας καὶ ἡμέρας ψυχορραγοῦντες, Ὅσιοι ὄντες, ὅπου τοῦ ψυχοῦ τὰ σώματος ἀπορρήσσουσιν. οἱ δὲ πάλιν πονηροὶ ὄντες, εἰρηναίως πως καὶ ἀβιάστως τὰ σώματος χωρίζονται. Καὶ μαρτυρεῖ τοῦτο ὁ τῶν πλουσιτικῶν θανάτος. Οὕτοι γὰρ κἂν ἀσεβεῖς, κἂν θεοσεβεῖς ὦσιν, ἀβιάστως, ἐθίοντες καὶ πίνοντες καὶ λαλοῦντες τελευτῶσι. διὰ γὰρ τὸ πλουσιτικὸν καὶ ψυχικὸν στοιχεῖον ἡ πλουσιτικὴ νόσος συνίσαμβη, σωτηρίως τοῦ τὰ αἵματος θέρμου τοῦ ζωτικοῦ ἀνασέλεσα, ἀλυπώτερον αὐτῶν τὸν χωρισμὸν τῆς ψυχῆς ἐργάζεται. Ὅτι δὲ καὶ πλεονασμὸν ὡς ὅπου τὸ πλεῖον τοῦ αἵματος τὰ πολλὰ τῶν θανατικῶν σωίσαται, ἐρῶσοι καὶ ξίτου, καὶ τεταρτου θήσασιν. Πρῶτον μὲν, ὅτι ὡς θερμότερα ὄντα τὰ νήπια πολλάκις αὐτὰ τελευτῶσι. Δεύτερον, ὅτι τὸ Ἔαρος ἀρχομένου ὅπου τὸν τὸ Πάσχα καιρὸν, ὅτε ὁ τοῦ αἵματος πλεονασμὸς καὶ ἀφαιμάξεις γίνονται, τότε διαφόρως τὸ λοιμικὸν γίνεται τῆς θνήσεως. Τρίτον, ὅτι οἱ πολλοὶ τῶν τελευτώντων, κλίνοντος τοῦ Ἡλίου τῇ νυκτὶ ἀποθνήσκουσι, τῆς ψύξεως τῆς ὥρας ἐξωθούσης τοῦ ζωτικοῦ τοῦ αἵματος ἐνέργειαν, καὶ ἀποψυχούσης τὸν ἄνθρωπον. Ὅθεν καὶ εἰσὶν τὸν ἀποθανόντα ἄνθρωπον, τὰ μὲν ξία στοιχεῖα, τοῦ φλέγματος, τοῦ χυμοῦ, καὶ τῆς χολῆς, διρήσεις ἐν τῷ σώματι, αἵματος δὲ οὐχ διρήσεις εὑρεῖν. Ἀλλὰ μὴ καταδράμῃς τοῖς εἰρημένοις ὁ φθονερὸς ἀκροατὴς, νομίσας ἡμᾶς αὐτοματισμὸν καὶ εἱμαρμένην διὰ τῶν εἰρημένων παρεισάγειν. Πάρεσι γὰρ ὁ λέγων, ὅτι οὐδὲ οὐ τρισθίον πεσεῖται ὅπου τῆς γῆς, ἄνευ εἰδήσεως τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν Οὐρανοῖς. Ἐν γὰρ τῇ χειρὶ αὐτοῦ ψυχαὶ πάντων τῶν ζώντων, ὡς φησὶν Ἰὼβ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς Γῆς, καὶ ἐν πάσῃ τῇ γῇ τὰ κείματα αὐτοῦ, καὶ φέρει καὶ μεταφέρει πάντα τῷ ῥήματι, καὶ νεύματι τῆς δυνάμεως αὐτοῦ. Διττὸν τὸ ζῶον ἀπ' ἀρχῆς κατασκευάσας τὸν ἄνθρωπον, λέγω δὴ ἐκ ψυχῆς ἀθανάτου καὶ νοερᾶς, καὶ ἐκ σώματος συνθέτου, καὶ ὑλικοῦ, δύο αὐτῷ διοικήσεις φυσικὰς ὑσιωδῶς ἐντέθεικε. τῇ μὲν ψυχῇ κυβερνήτην δὲς τὸν αὐτεξούσιον προαίρεσιν, καθὼς αὐ βέλοιτο, εἴτ' ἐπ' ἀρετὴν, εἴτ' ὅπου κακίαν ἀπάγειν τὸν ψυχικὸν, ἀναιτίου ὄντος τοῦ Θεοῦ ἐν τούτῳ. τῷ δὲ σώματι πρὸς ζωὴν τὸν διὰ τῶν στοιχείων αὐτῷ σωὴ εἰδήσει Θεοῦ κυβέρνησίν τε καὶ διοίκησιν. Καὶ ὥσπερ δέδωκεν ὁ Θεὸς ἀνωθεν καὶ ἀπ' ἀρχῆς τῷ μὲν Ἡλίῳ τὸν θερμαντικὸν, καὶ καυσικὴν ἐνέργειαν, τῇ δὲ Σελήνῃ τὴν νυκτίφωτον δύναμιν, τῇ δὲ Γῇ τὴν ἀσπερμολογικὴν αὔξησιν, τοῖς δὲ φυτοῖς τὸν καρποφόρον τελείωσιν, τοῖς δὲ ζώοις τὸν διὰ σωσσίας σύστασιν, καὶ ἑκάστῳ ἁπλῶς φύσει τὸν οἰκείαν ἐνέργειαν, ὕπω δέδωκε καὶ τοῖς στοιχείοις τὸν τῷ σωμάτων, ὡς ἐμοὶ δοκεῖ, καὶ τὸν αὐτὸ γνῶσιν, πρὸς ζωὴν καὶ θανατον διοικησίν τε καὶ κυβέρνησιν. Τοῦτο δὲ πάνυ ἀναγκαῖον ἡμᾶς δεῖ ὁπίσαθαι, ἵν' ὁπλοίκα θεάσῃ ἀσεβεῖς μὲν πολυχρονεύντας, ἢ πάλιν τοῦτον μὲν ἄφνω τελευτῶντα, τοῦτον δ' ἐξαπίνης καὶ τὸν ὁμιλίαν πραπεσόντα, τοῦτο δὲ τὸ Ὅσίου νήπια πάντα τὰ τέκνα τελευτῶντα, τοῦτο δὲ τὸ δυσεβοῦς τοὺς υἱοὺς ὑπερηρῶντας, καὶ τοῦτον μὲν τὸν θεάρεστον ὅπου πολλὰς ἡμέρας ψυχορραγοῦντα, τοῦτον δὲ τὸν Ἕλλησα εἰρηνικῶς καὶ ἀπαράχως τελευτήσαντα, καὶ τούτῳ μὲν τὸν ἁγίαν γυναῖκα σεῖραν ἔσαν, τούτῳ δὲ τὸν Ἕλληνίδα πολύτεκνον, εἶτα ὀν αὐτῇ μὲν τῇ Θεοσεβεῖ χώρᾳ ἀδιάλειπτα θανατικὰ γινόμενα, ἐν ἐκείνῃ δὲ τῇ Ἑλληνικῇ ἐνοικίᾳ ἀδέποτε λοιμικὸν καταφθάνον, καὶ ἁπλῶς ἰδίκα ταῦτα, καὶ τὰ τοιαῦτα φοβερὰ καὶ παράδοξα θεάσῃ γινόμενα, μὴ θαμβηθῇς, μήτε μὲν ἀπρεπές τι, ἢ βλάσφημον περὶ Θεοῦ ἐννοήσῃς, μαθὼν ἀκριβῶς ἐκ τῶν προειρημένων, ὅτι πάντα ταῦτα καὶ τὰ τοιαῦτα οὐκ ἐκτὸς μὲν τῆς παντεπόπτου καὶ προνοητικῆς τοῦ Δημιουργοῦ διαπραττόντας γνώσεως. Ὅμως, οὐχ ἑτέρῳ τινὶ τρόπῳ, ἀλλὰ διὰ τῆς τῶν Θεοκτίστων στοιχείων ἀρχεδότου καὶ διατάκτου κυβερνήσεως καὶ τάξεως, καὶ φυσικῆς διοικήσεως. Πλὴν οὐχ δεισικῶς, ἀλλὰ γνωμικῶς, καὶ εἰκασικῶς εἰρήκαμεν, δυσωπῶντες τὰς γνωσικωτέρας, συγγνώμην διδόντας, ἀναπληροῦν τὰ ἡμῶν ὑστερήματα.

Ματθ. 10. Ψαλμ. 94.

Πρὸς Ε'βρ. ι.

Γεν. ι.

Ε'ΡΩΤΗΣΙΣ, ΡΖ'.

Τί ἐστὶν ἡ ὑπερηφανία;

Α'ΠΟΚΡΙΣΙΣ.

Τὸ ὅλως ἔχειν τὸν ἄνθρωπον ἐν ἑαυτῷ ὅ,τι πράττει ἀγαθὸν, μὴ νομίζειν τοῦ λέγοντος, ὅτι πᾶσα ἡ δικαιοσύνη ἡμῶν ἐνώπιον τοῦ Θεοῦ ἡμῶν ὡς ῥάκος ἀποκαθημένης ἐστίν. Ησ. 64.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ϙΗ'.

Ἆρα πάσης ἁμαρτίας ϗ πορνείας ἐσὶν αἴτιος ὁ διάβολος, ϗ αὐτὸν χρὴ καταμέμφεσθαι;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Ὁ Μὲν διάβολός τινα ϐ βιάζεται, ἀλλὰ μόνον ὑποπτεύει. ἡ δὲ κακὴ συνήθεια βιάζει τὸν ἄνθρωπον. (ὥσε ϗ τῷ διαβόλῳ πονηροτέρα ϗ ἰσχυροτέρα ὑπάρχει.) διὸ χρὴ ἑαυτὸς μέμφεσθαι. Ε'ρώτησις. Εἰ ἄρα καλὸν τὸν ἀπὸ κοίτης τῆς ἰδίας γυναικὸς ἰόντα, ἢ πάλιν ἀπὸ ἐνυπνιασμῶ, λύσασθαι ὕδατι, ϗ εἰς τὴν Ἐκκλησίαν εἰσέρχεσθαι; Α'πόκρισις. Τὸ μὲν ἀληθὲς τῷ Χριστιανῷ λυξὸν, τὸ δάκρυον αὐτῷ ὄξι. Δύο γάρ εἰσι ῥύσεις ἐνυπόσατοι ἐν τῷ σώματος, μία ἁγιάζουσα, ϗ μία μολύνουσα, τέτεσιν ἡ σπορὰ, ϗ τὸ δάκρυον. Καὶ ὥσπερ πᾶσα ἁμαρτία, διὰ σὺ ποιήσῃ ἄνθρωπος, ἐκτὸς τῷ σώματός ὄξι. ὁ δὲ πορνεύων, ὡς σὺ ἐκ τῆς οἰκείας σαρκὸς προσάγει θυσίαν τῷ διαβόλῳ τιὰ ἑαυτῷ σπορά. ὕτω ϗ ὅσα σὺ ἀγαθὰ ποιήσῃ ὁ ἄνθρωπος, ἐκτὸς τῷ σώματός ὄξι. τὸ δὲ δάκρυον ἐξ αὐτῆς τῆς ἁγίας ἡμῶν προσάγεται θυσία τῷ Θεῷ, καθάπερ ϗ τὸ τῶν Μαρτύρων αἷμα. Διὸ ὡς προεῖπον, τὸ πνευματικὸν λυξὸν τὸ δάκρυόν ὄξι. ὅμως ϗ τὰ ὕδατα χρὸς τὸ καθαίρειν τὸ σῶμα γεγόνασιν. Οἱ γὰν ἀπορῦντες ἀφ' τῷ πνεύματικῷ λυτρῷ τιὼ ψυχιὼ καθαρίζειν, ἀποπλύουσι τιὼ σάρκα κὰν τοῖς ὕδασι, ϗ εἶθ' ὕτως τῶν μυστηρίων μεταλαμβάνουσιν, ἵνα μὴ εἰς παντελῆ καταφρόνησιν ἔλθωσιν. Ε'ρώτησις. Εἰ ἄρα πρέπει τὸν ἐνυπνιαζόμενον μεταλαμβάνειν τῶν Θείων Μυστηρίων; Α'πόκρισις. Ὡς ὑπολαμβάνω, οἱ ἐν μέσῳ Κόσμῳ οἰκοῦντες ϐ κατακείνονται ἐκ τύτε. εἴγε ϗ τὰ λοιπὰ φυλάξουσιν.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ϙΘ'.

Τῶν ἐν τῷ νόμῳ πολλάκις ἐχόντων δύο γυναῖκας ἅμα, ϗ μὴ κατακεκλιθότων, ἆρα ἔξεσι Χριστιανοῖς τύτο;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Τοῦ Α'ποστόλε λέγοντος, ὅτι, ἡ γυνὴ τῦ ἰδίε αὐτῆς σώματος ϗκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνὴρ αὐτῆς· ὁμοίως πάλιν ϗ ὁ ἀνὴρ, φησὶ, τῦ ἰδίε σώματος ϗκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή· Εὔδηλον λοιπὸν, ὅτι ἐὰν ἐξὸν λαβεῖν τῷ ἀνδρὶ ἑτέραν σὺν αὐτῇ, ἔξεσιν ὁμοίως ϗ αὐτῇ λαβεῖν ἕτερον ἄνδρα σὺν αὐτῷ, ϗ ϗκ ἔτι ἔσονται οἱ δύο εἰς σάρκα μίαν, ἀλλ' ἢ

Πρὸς Κορ. α'. 7.

Γέν. 2.

τρεῖς,

τρεῖς, ἢ τέσσαρες. Οἱ δὲ βελόμενοι κατὰ τὸν ἐν τῷ νόμῳ ζῆν, τῆς Χριστε χάριτος ἐκπίπτουσιν. ἐκεῖνοι μὲν γὰρ, ἐπειδὴ ἄκροι ἀσεβεῖς ὑπῆρχον, τὰς υἱὰς αὐτῶν ϗ τὰς θυγατέρας θύοντες τοῖς δαιμονίοις, ὁδὸν πλέον ζητεῖ παρ' αὐτῶν ὁ Θεὸς, εἰ μὴ θεοσέβειαν, ϗ δικαιοπρεπείαν, ὡς ἔστι γνῶναι ἐξ ὅλων τῦ τε νόμε Γραφῶν. ἡμεῖς δὲ, οἱ τῷ Αἵματι τῦ Χριστῦ ἀγορασθέντες, χρεωστῦμεν πᾶσαν ἐνδείξασθαι σωφροσύνην ϗ φιλοσοφίαν. τύπος γὰρ πάσης τῆς ἀνθρωπότητος ὑπῆρχον ὁ Α'δὰμ, ϗ ἡ Εὔα. τὸ δὲ ἐπιθυμεῖν διαφόρων γυναικῶν, ἀπὸ ερίδος, ϗ ἀφοβίας Θεῦ γίνεται.

Ψαλμ. 105.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, Ρ'.

Ε'άν τις νιπτόμενος τὸ σόμα, ἢ ϗ ἐν βαλανείῳ τύχῃ ϗ παπαπίῃ ὕδωρ μὴ θέλων, ὀφείλει κοινωνῆσαι, ἢ ὄ;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Ναί. Ε'πεὶ δίρων ὁ Σατανᾶς ἀφορμὴν τῦ κωλύειν αὐτὸν τῆς κοινωνίας, ποιεῖ αὐτὸν συνεχῶς τὸ τῦτο παθεῖν. Διὰ τῦτον γὰ τὸν τρόπον ϗ οἱ Πατέρες ϗκ ἀποκόπτουσιν ὅλως τὸν ἐνυπνιαζόμενον μεταλαμβάνειν. (Ο'μως προσερχόμενοι τοῖς μυστηρίοις, ἐν φόβῳ προσέλθωμεν, ὡς ἡ αἱμορῤῥοῦσα τῷ Χριστῷ προσῆλθεν). Ε'ρώτησις. Ἆρα καλὸν τὸ κοινωνεῖν καθ' ἡμέραν, ἢ ἐκ παρασκευῶν, ἢ ϗ Κυριακιὼ ϗ μόνον; Α'πόκρισις. Τῦτο τὸ ἐρώτημα ϗκ ἔχει μίαν ἀπόκρισιν, εἰσὶ γάρ τινες, οἷς πρέπει τὸ καθ' ἡμέραν, ϗ εἰσὶν ἕτεροι, οἷς ϗχ ἁρμόζει τῦτο, ϗ ἄλλοι, οἷς ϗ πρέπει ὅλως κοινωνεῖν. Ζήτει ϗ εἰς Φυλ. 27. Ε'ρώτησις. Ἀμφιβάλλουσί τινες λέγοντες, ὅτι ϗκ ὠφελοῦνται οἱ νεκροὶ ἐκ τῶν γινομένων συναξέων ὑπὲρ αὐτῶν. Α'πόκρισις. Περὶ τύτε ἐρῶσοι λόγον, ϗκ ἐμὸν, ἀλλὰ τῦ Α'ποστολικῦ παῤῥησίε Διονυσίε τῦ Α'ρεοπαγίτε, ὃς ὕπω φησὶν ἐν τῷ μοναστηρίῳ τῶν κεκοιμημένων, ὅτι εἰ μὴ φιλαί τινα, ϗ διτελῆ τυγχάνωσι τὰ τῦ τελευτήσαντος ἁμαρτήματα, προσλαμβάνεταί τινα ὠφέλειαν ἐκ τῶν ὑπὲρ αὐτῶν τελουμένων συναξέων. εἰδὲ βαρέα ϗ χαλεπά εἰσι, συνέκλεισε τὰ κατ' αὐτὸς ὁ Θεός. Πλὴν ϐ δεῖ ἡμᾶς φροντίζειν μᾶλλον θανάτου. Ε'ρώτησις. Ε'άν τις συνεθισθεὶς τῇ σωματικῇ ἁμαρτίᾳ, ἐν αὐτῇ καταγινράσῃ, ϗ θεωρήσῃ ἐν αὐτῷ, ὅτι ὅτε νηστεῦσαι, ἢ ἀσκῆσαι, ἢ χαμευνίσαι δυνάται, πῶς ἂν λοιπὸν δυνάται σωθῆναι ἐν γήρᾳ ὑπάρχων; Α'πόκρισις. Τῷ Κυρίε λέγοντος, ὅτι ὁ ζυγός με χρηστὸς, ϗ τὸ φορτίον με ἐλαφρὸν ἐσὶν, εὔδηλον, ὅτι ὁ γέρων, ϗ ἀδυνάτως δυνάται φυλάξαι τὸν νόμον αὐτῦ. ὅτε παρθενίαν ἡμῖν ὤρισεν, ὅτε πάντων τῶν ἐν Κόσμῳ ἀναχωρῆσιν, ἀλλ' ὅτε ἀποχιὼ κρεῶν ἢ οἴνε. ἀλλ' ἀγαπᾶν τὸν Θεὸν, ϗ τὸν πλησίον, μὴ μνησικακεῖν, ταπεινοφρονεῖν, συμπαθεῖν τὸ κατ' δυνάμιν, ὑπομένειν τὰς

Ματθ. 11.

θλίψεις, πρᾶον εἶναι καὶ εἰρηνικόν. Ταῦτα ἐν καὶ ὁ ἀθανῶν, καὶ ὁ γέρων, καὶ ὁ ἐν Κόσμῳ γυναιξὶ σωφρονισθεὶς δύναται ποιῆσαι, καὶ ποιήσας πάντως σωθήσεται, ἐὰν ἐποίησε τὰς ἁμαρτίας τῷ Μανασσῆ ἐκείνῳ τῷ βασιλέως. Ζήτει καὶ εἰς Φύλλα 15.

ΕΡΩΤΗΣΙΣ, ΡΑ'.

Εἰ τις δύο τινὰς, ἢ καὶ πλείονας ἄνδρας φονεύσῃ, εἶτα κρατηθῇ, καὶ ἀποθανῇ, ἆρα σωφρονισθῇ, ἢ ὄχι;

ΑΠΟΚΡΙΣΙΣ.

Ε'ξ.21. ΤΟῦ νόμε, καὶ τῷ Θεῷ λέγοντος, Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ψυχὴν ἀντὶ ψυχῆς, ἐγὼ δὲ δύναμαι εἰπεῖν, ψυχὴν μίαν ἀντὶ ψυχῶν πολλῶν. Ε'στι γὰρ ἄνθρωπος διαφέρων μυρίων ἀνθρώπων. εἴτε διδάσκαλος, εἴτε πτωχοτρόφος. ὅντινα ὁ φονεύων, οὐχ ὅλον ἄνθρωπον ἐφόνευσεν, ἀλλὰ λαὸν, καὶ μυρίων φόνων ἐστὶν ὑπόδικος λοιπὸν, ὥσπερ Ἡρῴδης φονεύσας τὸν Πρόδρομον, καὶ οἱ λοιποὶ ἄνομοι τοὺς Ἀποστόλους ἀποκτείναντες. συνέφερε γὰρ Νέρωνα φονεῦσαι πᾶσαν Ῥώμην ἄπιστον ὖσαν, ἢ τὸν τῷ Κόσμῳ Διδάσκαλον, τὸν μακάριον Παῦλον.


Ματθ. 14. Μάρ. 6.

ΕΡΩΤΗΣΙΣ, ΡΒ'.

Δικταὶ εἰσὶν ἆρα τῷ Θεῷ τὰ ὑπὸ κλεμμάτων, καὶ ἀδικιῶν προσαγόμενα αὐτῷ χρήματα καὶ κτήματα;

ΑΠΟΚΡΙΣΙΣ.

Ε'στι κλέμμα, καὶ κλέμμα, καὶ ἀδικία, καὶ ἀδικία. Ἄλλο γάρ ἐστι τὸ ἁρπάσθαι ὑπὸ τῶν Ἱερέων, ἕτερον τὸ ἐκ προσοδιῶν γῆς, ἢ θαλάττης, ἀνδρῶν ἀπίστων. Καὶ ἄλλο τὸ ἀδικῆσαι ὑπόρους, γεωργοὺς, καὶ πτωχούς. καὶ ἕτερον τὸ ἁρπάσαι ὑπὸ δυνατῶν, καὶ φιλαργύρων. Πλὴν οὐ πάντα ζητεῖ ὁ Θεὸς, ἀλλὰ μόνον τὴν προθεσιν. Εἰδὲ ὅλως ἁρπάσαι τὸ ἀδικῆσαι οὐ δύνασαι, συμφέρει τὰ ὑπὸ κακῶν εἰς καλὰ δαπανηθῆναι. Μενοῦνγε τὰ ὑπὸ ἀδικίας πτωχῶν καὶ γεωργῶν ὑπάρχοντα, ἀφορόσδεκτα τῷ Θεῷ, καὶ καταραμένα ὑπάρχουσιν.



ΕΡΩΤΗΣΙΣ, ΡΓ.

Ἐπειδὴ συνεχῶς ἀκούομεν τὸν λόγον τοῦ Θεοῦ, καὶ πράττομεν δὲ τὰ ἔργα, ἆρα μὴ κατάκριμα ἡμῖν γένηται;

ΑΠΟΚΡΙΣΙΣ.

ΕΙ καὶ ποιοῦμεν, ἀλλ' ὅμως καλὸν, εἰμὴ μεμφώμεθα ἑαυτοὺς, ὅτι ἀκούομεν καὶ πράσσομεν. καὶ γὰρ τὸ μέμφεσθαι ἑαυτὸν μέρος σωτηρίας ἐστίν.

ΕΡΩΤΗΣΙΣ, ΡΔ'.

Πόσοι τρόποι εἰσὶ τῶν σωζομένων, καὶ συγχωρήσεις ἐκ Θεοῦ ἁμαρτιῶν κομιζομένων;

ΑΠΟΚΡΙΣΙΣ.

ΤΡεῖς. Ὁ πρῶτος, τὸ μηκέτι ἁμαρτῆσαι. Ὁ δεύτερος, τὸ ἀξίως μετανοῆσαι. Ε'στι καὶ τρίτος τοῖς ἁμαρτήσασι σωτηρίας τρόπος, διὰ πειρασμῶν, καὶ θλίψεων, καὶ ὑπομονῆς, περὶ τὸ εἰρημένον, ὅτι ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄξαις, τῶν μὴ ἐγγιζόντων πρός σε. Ὅπερ ἔπαθεν ὁ Ναβυχοδονόσορ. Ε'σι γὰρ ὅτε ὁ Θεὸς τὸν ἁμαρτάνοντα, καὶ μὴ μετανοοῦντα βάλλῃ εἰς πειρασμὸν, καὶ διὰ τῶν πειρασμῶν ἔρχεται εἰς ταπείνωσιν. καὶ διὰ τῆς ταπεινώσεως σώζεται χωρὶς ἀσκήσεως. ὡς ὁ Τελώνης καὶ ὁ Λῃστής. Ψαλ.31. Δαν. 4.

ΕΡΩΤΗΣΙΣ, ΡΕ'.

Τί ποιήσομεν, ὅτι πολλάκις ἰσάμενοι ἐν τῇ Ἐκκλησίᾳ ὀπτυμένῳ κλαῦσαι τὰς ἁμαρτίας ἡμῶν, καὶ οὐ δυνάμεθα;

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ Κλαυθμὸς ὁ διὰ Θεὸν, δῶρον Θεοῦ ὑπάρχει, διὰ τὸ Πνεύματος τὸ Ἅγιον διδόμενος τῷ ἀνθρώπῳ δεύτερον βάπτισμα, καὶ τολμῶ εἰπεῖν τὸ τῆς κολυμβήθρας Βαπτίσματος ἀναγκαιότερον. Τὸ πρῶτον μὲν Βάπτισμα πεδὸν πάντες αὐξάντες μολυνόμεν, διὰ δὲ τὸ δακρύειν πάλιν, ὥσπερ ἐξ ὕδατος καὶ πνεύματος, καθαιρόμεθα. Διόπερ καὶ ἐντεῦθεν πάλιν ἐλέγχομεν Γεδαίους, καὶ Ἄραβας, ὅτι οὐκ ἔχουσι Πνεῦμα Ἅγιον. οὐδεὶς γὰρ

γὰρ αὐτῶν ἐν τῇ προσευχῇ ποτὲ προχέει ὑπὲρ ἁμαρτιῶν δάκρυον. Εἰσὶ δὲ παρ' ἡμῖν φυσικῶς τινὲς καρδίαι σκληρότεραι καὶ ξηρότεραι, μάλιστα ὅσοι θυμώδεις, καὶ πικροὶ, καὶ μίσιας ὑπάρχουσι. Καὶ εἰσὶ πάλιν τινὲς καρδίαι ἁπαλώτεραι φυσικῶς, καὶ διακάνυκτοι. Ὁ ἐν ἐκ φύσεως σκληροκάρδιος, καὶ ἀκατάνυκτος ὑπάρχων, καὶ μήτε ὑπὲ νεκροῖς, μήτε ὑπὲ τοῖς ἰδίοις τέκνοις, μηδὲ ἐπ' ἄλλῃ συμφορᾷ δακρῦσαι δυνάμενος, ἢ συγνᾶσαι πρὸς τὸν Θεὸν, τὸ σῶθος τύφει, τὸν γέλωτα θερμύνει, τὰς ὀφθαλμὰς πεπεινώσει, καὶ ὅπως χαρίζεται αὐτῷ ὁ Θεὸς καὶ τὸ δάκρυον. Χρὴ δὲ ὑπισχνεῖσθαι, ὅτι πολὺ συμφέρει ἡ προσευχὴ ἡ ἐν τῷ ταμείῳ σὺ χωμένη, ὑπὲρ τὴν ἐν τῇ Ἐκκλησίᾳ ἐνώπιον πάντων ὑποτελουμένη. Ἐρώτησις.

Καλὸν ἄρα τὸ ἐξομολογεῖσθαι ἁμαρτίας; Ἀπόκρισις.

Καλὸν, καὶ πάνυ ὠφέλιμον. ἀλλὰ μὴ τοῖς πᾶσιν. ἐπεὶ ὅτεσοι τοῦτο ὠφελεῖ, ἀλλὰ καὶ τοὺς ἀκούοντας μολύνει. Ἐὰν ἓν εὕρῃς ἄνδρα πνευματικὸν, δυνάμενόν σε ἰατρεῦσαι, καὶ εὔξασθαι ὑπὲρ σοῦ, ἐκείνῳ μόνῳ ἐξομολόγησον. Ζήτει καὶ εἰς Φύλ. 19.

ΕΡΩΤΗΣΙΣ, ΡΖ'.

Πόθεν γινώσκει ὁ ἄνθρωπος, ὅτι συνεχώρησεν ὁ Θεὸς τὰς ἁμαρτίας αὐτοῦ, καὶ ὅτι δύνεται ἔλεος πάντως ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως;

ΑΠΟΚΡΙΣΙΣ.

Ἐκ τῆς ἰδίας συνειδήσεως, καὶ ἐκ τῆς παῤῥησίας, ἧς ἔχει ἡ ψυχὴ ἐν προσευχῇ πρὸς τὸν Θεόν. Ὅταν γὰρ ὁ ἄνθρωπος ὑπεύθυνος ἐστὶ κολάσεως, παρίσταται τῷ Θεῷ δίκην καταδίκου τινὸς παρισταμένου τῷ ἄρχοντι, μὴ ἔχοντος παντοίαν παῤῥησίαν, ὅτω καὶ ἡ ψυχὴ παρίσταται τῷ Θεῷ ἐν τῇ προσευχῇ, οὐκ ἔτι ὡς κατάδικος, ἀλλ' ὡς ἄνθρωπος χρεωστῶν, καὶ θρηνῶν συγχωρηθῆναι ὑπὸ ταύτης τῆς τάξεως, ἐὰν φροντίσῃ ἑαυτοῦ. Πάλιν παρίσταται ὡς δοῦλος φιλοδέσποτος, καὶ ὑπὸ τούτου προκόπτων συλλαλεῖ τῷ Θεῷ ὡς μίσθιος, μὴ ἔχων χρέος ἐπαίρειν αὐτοῦ. Καὶ λοιπὸν καὶ προσβασιν κυφιζομένη τῷ βάρει ἡ ψυχὴ, συλλαλεῖ, καὶ παρίσταται ὡς φίλος πρὸς φίλον, καὶ ὡς νύμφη τῷ ἰδίῳ νυμφίῳ, καὶ ὡς υἱὸς τῷ ἰδίῳ πατρί. Ὅπου οὖν ἔστι φόβος λοιπὸν, οὐδὲ χρέος, οὐδὲ ὄψοια οἵας δήποτε κολάσεως, ἀλλὰ πᾶσα ἀγάπη, καὶ χαρὰ δυνεκὴς, καὶ παῤῥησία ἄπαυστος, καὶ ψυχῆς εὐφροσύνη, καὶ σκιρτήματα, καὶ ἀγαλλίασις ἀκατάπαυστος, καθάπερ ἡμῖν δηγοῦνται οἱ τῇ χαριτι τοῦ Χριστοῦ εἰς τοιαῦτα καταντήσαντες μέτρα.

ΕΡΩ-

ΕΡΩΤΗΣΙΣ, ΡΖ'.

Ἐὰν θελήσω πρᾶξαι πρᾶγμα, ὡς νομίζω, πόθεν ὀφείλω μαθεῖν, εἰ ἀρέσκει τῷ Θεῷ, ἢ οὔ;

ΑΠΟΚΡΙΣΙΣ.

Τῶν τελείων καὶ πνευματικῶν ἀνδρῶν ἐστὶ τὸ πάντα ἀκριβῶς διακρίνειν, καθὼς φησὶν ὁ Ἀπόστολος. Τελείων δὲ ἐστὶν ἡ στερεὰ τροφὴ, τοῦτ' ἔστι τὴν ἕξιν τὰ αἰσθητήρια ἐχόντων γεγυμνασμένα πρὸς διάκρισιν καλοῦ καὶ κακοῦ. Ὅσα οὖν ποιήσῃ ἄνθρωπος διὰ Θεὸν, ἐν ἁπλῇ καρδίᾳ καὶ ἀγαθῷ σκοπῷ, οὐκ ἔχει κατάκριμα ἐξ αὐτῶν. Πρὸς Ἑβρ. 5.

ΕΡΩΤΗΣΙΣ, ΡΗ'.

Πρέπει ἄρα τὸν Χριστιανὸν ἀνοίγειν ἐν λαχνιστηρίῳ, ἤτε λαχμιτηρίῳ, ἢ οὔ;

ΑΠΟΚΡΙΣΙΣ.

Οὐδαμοῦ δύσκομαι ὑποτροπιὰ τοῦτο ποιεῖν. Ἀλλ' οἱ Πατέρες διὰ τὸ μὴ δύσκεσθαι πιστοὺς εἰς φαρμακεῖς καὶ μάντεις, ἐπενόησαν τὸ λαχνιστήριον. Ὁ οὖν βουλόμενος ἀνοῖξαι, πρῶτον δι' ὀλίγης παρακαλείτω τὸν Θεὸν, καὶ μετὰ τινὰ ὀλίγα, ἀνοίξει ἐρωτῶν τὸν Θεὸν, εἰ ἄρα καλεῖ αὐτὸν ἀνοῖξαι περὶ τοῦ πράγματος αὐτοῦ. καὶ ἐὰν ὑποτρέψῃσοι, ἄνοιξον, εἰ δὲ ὑποτρέφει σε, μὴ ἀνοίξῃς.

ΕΡΩΤΗΣΙΣ, ΡΘ'.

Ἐὰν ἔχω ἄνθρωπον πιστὸν θλίψαντά με, καὶ δύναμαι διαλλαγῆναι, ἢ ἀπάσασθαι αὐτὸν ἐξ ὅλης καρδίας, ἀλλὰ μόνον τῇ γλώττῃ, τί ποιήσω; διαλλαγῶ αὐτῷ, καὶ τῇ ὁδῷ, ἢ κόψωμαι ἑμαυτὸν ἐξ αὐτοῦ;

ΑΠΟΚΡΙΣΙΣ.

Διαλλάγηθι αὐτῷ καὶ τῷ σόματι. πολλάκις γὰρ ὑπὸ τούτου καὶ πρόσβασιν ἔχεται ἡ τελεία ἀγάπη. συμφέρει γάρ σοι ἡμίξηρον εἶναι, ἢ ὁλόξηρον. Ἐρώτησις. Κατὰ ποῖον τρόπον νοήσομεν, ὅτι ἐὰν δύο, ἢ τρεῖς ἐξ ὑμῶν συμφωνήσωσι περὶ παντὸς αἰτήματος, ὃ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς; Ἀπόκρισις. Ὁ Κύριος, τὸ πολυφώτατον, καὶ ὑπερφανον τοῦ ἀνθρώπου ὑποπάμπους, βούλεται μὴ πεποιθέναι ἡμᾶς ἐφ' ἑαυτοῖς, καὶ ἐναρέτου βίου καὶ ἁγιωσύνης κεκτήμεθα, ἀλλ' ὑπὸ τοῖς αἰτήμασιν ἡμῶν τοῖς πρὸς αὐτὸν ἀξίοις λογιζομένοις ἑαυτοὺς προσλαμβάνεσθαι, καὶ ἄλλως ὁμοψύχους ὑπὸ τοῦ συμφωνεῖσθαι καὶ συμφωνῆσαι ἡμῖν. Ὁ γὰρ μονὰς Ματθ. 18.

αὐτῶν

αἰτῶν καὶ λαμβάνων, πολλάκις εἰς τύφον ἐμπίπτει. πλειόνων δὲ δι' ὀχμέναν καὶ εἰσαπορμφῶν, ἐν παπεινότητι μένει. Τοῦτο οὖν πολλάκις μεθ' ἑτέρων ποιήσας ἐπέτυχον, καὶ ὑμῖν τὸ αὐτὸ νῦν συμβουλεύω ὑπὲρ τοῖς καὶ Θεὸν αἰτήμασιν. ὠφέλιμα γὰρ δύο, ἢ ἓξ εἰς ὁλοψύχως εὔχονται περὶ πράγματος, ἢ καὶ νηστεύσι πολλάκις ὑπὲρ δευτέραν καὶ τρίτην ἡμέραν, πάντως εἴτε δι' ὁράματος, εἴτε διὰ σημείου καὶ θαύματος ἡ καρδία τοῦ βουλομένου πρᾶξαι πληροφορεῖται.

ΕΡΩΤΗΣΙΣ, ΡΙ'.

Ἐὰν εἰσὶν οἱ ἄρχοντες ἡμῶν Ἰουδαῖοι, ἢ ἄπιστοι, ἢ αἱρετικοὶ, δεῖ εὔχεσθαι ὑπὲρ αὐτῶν ἐν τῇ Ἐκκλησίᾳ, ἢ ὄ;

ΑΠΟΚΡΙΣΙΣ.

Πρὸς Τιμ. α. 2.

ΝΑΙ. Οὕτε γὰρ ἔγραψεν ὁ Ἀπόστολος προσεύχεσθαι ὑπὲρ βασιλέων, καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, πάντες οἱ βασιλεῖς, καὶ οἱ ἄρχοντες τοῦ Κόσμου ἐλεεινοὶ ὑπῆρχον. Πλὴν ὅτι καὶ ἐν τῇ ἁγίᾳ προσκομιδῇ ὁ ἱερεὺς ὕπω δυσωπεῖ τὸν Θεὸν λέγων. Μνήσθητι Κύριε πάσης ψυχῆς, ὧν ἐμνήσθημεν, καὶ πάντας ἐλέησον, καὶ πάντας συγχώρησον.

ΕΡΩΤΗΣΙΣ, ΡΙΑ'.

Τί ἐν; Καὶ τοῖς Ἕλλησι τοῖς προτελευτήσασι πρὸ τῆς Χριστοῦ παρουσίας δεῖ εὔχεσθαι, καὶ μὴ ἀναθεματίζειν, ἢ ὄ;

ΑΠΟΚΡΙΣΙΣ.

Μὴδαμῶς ἀναθεματίσῃς ἄνθρωπον πρὸ τῆς ἐπιδημίας Χριστοῦ τελευτήσαντα, καὶ ἐν τῷ ᾅδῃ πρὸς ἅπαξ καὶ μόνον ἐγένετο τὸ Χριστοῦ κήρυγμα. Προλαβὼν γὰρ Ἰωάννης ὁ Πρόδρομος ἐκήρυξε κἀκεῖσε τὸν Χριστόν. Καὶ ἄκουσον τοῦ Ἁγίου Πέτρου λέγοντος περὶ Χριστοῦ. Ὅτι πορευθεὶς φησὶν ἐκήρυξε καὶ τοῖς ἐν φυλακῇ πνεύμασι, τοῖς ποτὲ ἀπειθήσασι. Καὶ νῦν φέρεται εἰς ἀρχαίας ἀναδόσεις, ὅτι τις σχολαστικὸς πολλὰ καπηράσατο τὸν Πλάτωνα τὸν φιλόσοφον. φαίνεται δὲ ἐν αὐτῷ καθ' ὕπνους ὁ Πλάτων λέγων. Ἄνθρωπε παῦσαι τοῦ καπηρᾶσθαί με, σεαυτὸν δὲ βλάπτεις. ὅτι μὲν ἄνθρωπος ἁμαρτωλὸς γέγονα, καὶ ἀρνοῦμαι. πλὴν καταβάντος τοῦ Χριστοῦ ἐν τῷ ᾅδῃ, οὕτως ἐδείσθησε πρὸ ἐμοῦ εἰς αὐτόν. Ταῦτα δὲ ἀκούων, μὴ νομίσῃς εἶναι παντοτε ἐν τῷ ᾅδῃ μετάνοια. ἅπαξ γὰρ καὶ μόνον τοῦτο γέγονεν, ὅτε Χριστὸς ἐν τοῖς καταχθονίοις κατελήλυθεν, τοὺς ἀπ' αἰῶνος κεκοιμημένους ἐπισκέψασθαι.

Πρὸς Πέτρ. α. 3.

ΕΡΩΤΗΣΙΣ, ΡΙΒ'.

Ἆρα ἀληθὲς, ὅτι τὸν Σαμουὴλ ἡ Ἐγγαστρίμυθος ἀνήγαγε διὰ τοῦ Σαοὺλ; Βασ. α. 28.

ΑΠΟΚΡΙΣΙΣ.

ΝΑΙ. Ὑπὸ τὴν χεῖρα τοῦ διαβόλου ὑπῆρχον πᾶσαι αἱ ψυχαὶ, τῶν ἁγίων καὶ τῶν ἁμαρτωλῶν, ἕως ὁ κατελθὼν ἐν τῷ ᾅδῃ ὁ Χριστὸς, εἶπε τοῖς ἐν δεσμοῖς, ἐξέλθετε, καὶ τοῖς κατεχομένοις, ἐλευθερώθητε. Καὶ ἄκουσον Παύλου λέγοντος. Ὅτι ἐβασίλευσεν ὁ θάνατος, τουτέστιν ὁ διάβολος, ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, ἦγουν τοῦ πληρώματος τοῦ νόμου, καὶ ὅτι τοὺς μὴ ἁμαρτήσαντας ἐν τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδὰμ, τουτέστι καὶ ὅτι τὰς τῶν Ἁγίων ψυχάς. Πρὸς Ρωμ. ε.

ΕΡΩΤΗΣΙΣ, ΡΙΓ'.

Καλὸν τὸ βασάζειν Κοινωνίαν ἁγίων ἐν συνοδοφοβίῳ, ἀπερχόμενον τινὰ ὅπου ξένοις; ἢ κοινωνεῖν ὅπου δ' ἂν καὶ εὕρωμεν κοινωνίαν;

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ μὲν παράγιον Σῶμα τοῦ Χριστοῦ ἀναθυβείζεται ἀπὸ τότε φερομένου καὶ φερομένου. Αὐτὸς γὰρ ὡς ὁ Χριστὸς φορὸς πάντας περιφερόμενος, καὶ ὡς εἶπον, ἀναθυβείζεται ἀπὸ τότε, εἰμὴ ἀπὸ ῥυπαρᾶς καρδίας. Ὅτι δὲ ἀ δεῖ κοινωνεῖν παντὶ ἐκτὸς τῆς Καθολικῆς Ἐκκλησίας, ὁ Θεῖος Ἀπόστολος ἡμᾶς διδάσκει λέγων. Εἷς Κύριος, τουτέστιν ὁ ἀληθὴς Κύριος, μία πίστις, τουτέστιν ἡ ὀρθοδόξος. αἱ γὰρ λοιπαὶ οὐκ εἰσὶ πίστεις, ἀλλὰ δυνήσεις. Ὥσπερ οὖν ἀποδημοῦντες τῆς ἰδίας γαμετῆς, ἐὰν συγγενώμεθα ἄλλῃ, οὐκ ἔστι γάμος, ἀλλὰ πορνεία. πολλῷ μᾶλλον φυλάξομεν τὴν σωφροσύνην ἡμῶν, καὶ τῆς ἁγίας ἡμῶν ἁμιάντου συζύγου τοῦ Χριστοῦ Ἐκκλησίας μὴ χωρισθῶμεν. Πρὸς Ἐφεσ. 4.

ΕΡΩΤΗΣΙΣ, ΡΙΔ'.

Ἐνδοξέτισι λέγειν, ἀδιάφορον ἐστὶ φεύγοντά τινα ἀπὸ θανατικοῦ τόπου εἰς ἕτερον τόπον σωθῆναι ἐκ θανάτου. πῶς γοῦν ἡμεῖς φρονῆσαι ἔχομεν περὶ τούτου;

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ τῶν θανατικῶν λόγος, καὶ τὸ τότε μυστήριον, βαθὺ καὶ δυσκατάληπτον, καὶ ὀλίγοις χωρούμενόν ὄντι. ἃ δὲ πάντως ὅσα χωρεῖ ὁ νοῦς τοῦ διδάσκοντος, δύναται χωρῆσαι καὶ ὁ νοῦς τοῦ διδασκομένου λαοῦ. Ὅμως ἔκρυψα πολλὰ ἀνθρώπων, καὶ μυστήρια, Θεοῦ καὶ παιδείαν τοῦ λαοῦ. Δεύτερος

τερος δὲ ἀπὸ φθορᾶς ἀέρων καὶ ἀτμῶν, καὶ ἀναθυμιάσεων τῆς γῆς, καὶ ὑδάτων καὶ θηνσιμαίων, καὶ πονηρῶν καὶ δυσωδίας, καὶ ῥύπε. Καὶ τὸ μὲν κατ' ἀπειλὴν Θεοῦ γινόμενον θανατικὸν, οὐδεὶς δύναται παραλαβέσθαι, ποίῳ καιρῷ γίνεται, καὶ μάλιστα ἐν ταῖς πολυανδρύσαις, καὶ ναθύγροις χώραις, καὶ καθαλμέσιν. ὅθεν ἐστὶν ἰδέσθαι πολλὰς ἐθνῶν ἀσεβῶν καὶ δυσεβῶν ἐρημικὰς, μηδέποτε πείραν θανατικῆς ἐχπύας. Τί ἐν; Ἆρα διὰ τὴν δικαιοσύνην αὐτῶν; Οὐδαμῶς. ἀλλὰ διὰ τὴν κρᾶσιν τῶν ξηροποιῶν, καὶ ὑγροποιῶν ἀέρων. Νομίζω ἐν, δυνατὸν πολλάκις βελήσει Θεὸς διαφυγεῖν ἐκ τόπε εἰς ἕτερας ὑγροποιὰς ἀέρας καὶ τόπους τὴν ἐκ φθορᾶς ἀέρων γινομένην θνῆσιν. Τὴν δὲ κατ' Θεοῦ ἀπειλὴν ὑπενερομένην, ἐὰν ἐν ἄρα καὶ εἰς θνήσκοντας κατεπάγη ὁ φόβος, ἀδύνατον αὐτὸν μὴ ἀποθανεῖν, ὅπε ἐὰν φύγῃ. εἰδὲ ἐκ ἀπεφαίθη θάνατος νῦν κατ' αὐτὸν, ἐκ ἀποθνήσκει. Μηδεὶς δὲ ἀπόστας ἡμῶν εἰρηκότων ὅτι ἀέρων γινομένην θνῆσιν, νομίσῃ χωρὶς Θεοῦ ταύτην γίνεσθαι. εἰρήκαμεν δὲ, ὅτι δύο, ὡς γέγραπται, στρθία ἀσαρία πωλεῖται, καὶ οὐ ἐξ αὐτῶν ἓν πεσεῖται ἐπὶ τῆς γῆς ἄνευ τοῦ Πατρός με τοῦ ἐν τοῖς ὐρανοῖς. Διόπερ καὶ ἅπερ οἱ ἀστέρες, καὶ ἡ κτίσις πᾶσα φυσικῶς ἐνεργεῖ, νεύματι Θεοῦ ἐπιτελεῖται.

Ματ. 10. Λεκ. 12.

ΕΡΩΤΗΣΙΣ, ΡΙΕ'.

Ἆρα ἀπαιτεῖται Χριστιανὸς τὴν ἡμέραν ἐκείνην, ἐν ᾗ μέλλει μεταλαβεῖν, φυλάξασθαι ἐκ τῆς ἰδίας γυναικὸς, καὶ μὴ προσεγγίσαι αὐτῇ;

ΑΠΟΚΡΙΣΙΣ.

Ὅτε ἔμελλεν ὁ Δαβὶδ, καὶ οἱ σὺν αὐτῷ ἐσθίειν τοὺς ἄρτους τῆς προθέσεως, οἵτινες ὑπῆρχον προτύπωσις τοῦ Σώματος τοῦ Χριστοῦ, τοῦτο δι' ὑμᾶς ἠρώτησεν Ἀβιμέλεχ ὁ Ἀρχιερεὺς τὸν Δαβὶδ λέγων. Εἰ καθαροί εἰσιν ἀπὸ κοίτης γυναικός; καὶ ὅτε ἔγνω, ὅτι ναὶ, τότε δέδωκεν αὐτοῖς τοὺς ἄρτους. Ὅμως ἐπειδὴ εἰς ἄκραν παλαιπωρίαν κατήγησαν τὰ καθ' ἡμᾶς, εἰ μὴ ἀπὸ ὁδοῦ τινος καὶ ξενίης ἐλήλυθεν, ἴσως συγγνώμης τινὸς ἑαυτὸν καταπείνων ἐπὶ τῷ σωφρονισμῷ, ἀξιωθήσεται ἐν τοῖς λοιποῖς ἑαυτὸν διορθέμενος.

Βασ. α'. 21.

ΕΡΩΤΗΣΙΣ, ΡΙϚ'.

Ἐὰν ἐρωτῶμαι περὶ πίστεως ὑπὸ αἱρετικῶν, καὶ ἐκ ὑπήκαμαι δογματίσαι, τί ποιήσω;

ΑΠΟΚΡΙΣΙΣ.

Οὐ μόνον σοι τῷ μὴ ὑπακούοντι κίνδυνος, ἀλλὰ καὶ τοῖς ὑπακούσι τὸ ἧττον πίστεως λαλεῖν. Εἰπὲ ἓν τῷ ἐρωτῶντί σε. Ἐγὼ ἄνθρωπος ἰδιώτης εἰμί. ἀλλὰ ἐὰν ἄρα καὶ ἐν ἀληθείᾳ τὴν ἀλήθειαν ὑπάρχῃς, ἐλθὲ πρὸς τὴν Ἐκκλησίαν, κἀκεῖ μαθήσεις τὴν ὑσέβειαν.

ΕΡΩΤΗΣΙΣ, ΡΙΖ'.

Εἶπα, ἐκ ἔστιν ὅλως μέθοδός τις, δι' ἧς δυνήσεται ἰδιώτης ἀντιπεῖν τῷ αἱρετικῷ;

ΑΠΟΚΡΙΣΙΣ.

Περὶ τούτε ἀνυσόν τινος διαλέξεως σωτόμε, ἐφυμνήσας ἐν Ἀλεξανδρείᾳ πρὸ ὀλίγε χρόνε. Συναθροισθέντες γὰρ οἱ ἀπὸ Σεβήρε, καὶ Γαϊανῆς καὶ Βαρσανηφίε πρός τινα ἰδιώτην μὲν τῷ λόγῳ, φρόνιμον δὲ ἐν Κυρίῳ, τὴν πίστιν τῆς Καθολικῆς Ἐκκλησίας κηρύττοντα, διεμάχοντο πρὸς αὐτόν. Ἠρώτησεν ἓν αὐτοὺς λέγων. Ἐὰν ἔχῃ ὁ βασιλεὺς παμεῖα καὶ οἰκους τιμίους, οὗθα διαπράττονται τὰ ἀναγκαῖα μυστήρια αὐτῷ, τίνι πιστεύει; αὐτοῖς τοῖς πιστοῖς ἀνθρώποις αὐτοῦ, ἢ τοῖς ἀπίστοις; Λέγουσι πρὸς αὐτὸν ἐκεῖνοι. Πρόδηλον, ὅτι τοῖς πιστοτέροις ὅλων τῶν ἀνθρώπων αὐτῷ πιστεύει τοὺς τοιούτους οἴκους ὁ βασιλεύς. Τότε ἀποκριθεὶς ὁ Ὀρθόδοξος εἶπε πρὸς αὐτούς. ὥστε μάθετε, ὅτι ἐκ ἔστιν ὅπε τῆς γῆς πίστις ὀρθόδοξος, εἰμὴ τῆς Καθολικῆς Ἐκκλησίας. καὶ διὰ τοῦτο ἐνεπίστευσεν ἡμῖν ὁ Θεὸς πάντας τοὺς ἁγίους καὶ ἀναγκαίους Οἴκους αὐτοῦ, ἐν οἷς ἐπιδημήσας τὰ Μυστήρια αὐτοῦ πεποίηκε. τουτέστι, τὴν Ναζαρὲτ, τὸ Θαβὼρ, τὴν Βηθλεέμ, τὸν Ἰορδάνην, τὴν Σιὼν, τὸν Γολγοθᾶ, τὴν Ἀνάστασιν, καὶ ὐ μόνον, ἀλλὰ καὶ τὸ Σινᾶ, καὶ ἁπλῶς πάντας τοὺς ἄλλους τόπους τῆς Καινῆς, καὶ τῆς Παλαιᾶς, οἱ τῆς καινῆς καὶ Καθολικῆς Ἐκκλησίας κατέχομεν. Ἐὰν ἓν κακόδοξοι ἐσμεν, ὑμεῖς ὀρθόδοξοι ὑπάρχετε, καὶ καλῶς ἐποίησεν ὁ Θεὸς ἡμῖν πιστεῦσαι τοὺς ἁγίους τόπους αὐτοῦ. κἂν εἴπητε, ὅτι χειρὶ βασιλικῇ καὶ τυραννικῇ τούτους κατέχομεν, ἐλέγχεσθε ψεύδομενοι. ἰδοὺ γὰρ βαρβάρων κρατούντων τὴν χώραν τῶν Ἁγίων Τόπων, ἐκ ἐπῆρεν αὐτοὺς ἐξ ἡμῶν ὁ Θεός. εἰδὲ καὶ, ὡς εἰκός, δόξετε λέγειν, ὅτι ἐκράτησαν ποτὲ οἱ Ἀρειανοὶ πρὸ ὀλίγων χρόνων τοὺς ἁγίους τόπους, ἰδοὺ ἀληθῶς ἐκεῖνοι διὰ χειρὸς βασιλικῆς καὶ τυραννίας ἥρπασαν τοὺς ἁγίους τόπους, ἀλλ' οὐδὲν ἴσχυσαν. διὰ θεοῦ γὰρ πάλιν ὁ Θεὸς ἡμῖν τοῖς Ὀρθοδόξοις παρέδωκεν αὐτούς, ἰδοὺ λοιπὸν ἑπτακόσιοι χρόνοι. Καὶ ταῦτα ἀκούσαντες οἱ αἱρετικοὶ, ἀναχωθέντες ἀνεχώρησαν.

ΕΡΩΤΗΣΙΣ, ΡΙΗ'.

Τίνος χάριν ὁ πεποίηκεν ὁ Σατανᾶς τοσαύτας αἱρέσεις, καὶ σχίσματα ἐν ἑτέρᾳ πίστει, εἰμὴ ἐν τῇ τῆς Χριστιανῶν;

ΑΠΟΚΡΙΣΙΣ.

Ὅτι πᾶσαι αἱ λοιπαὶ τῆς ἀβαπτίστων ἐθνῶν πίστεις ἀγαπηταὶ τῷ διαβόλῳ εἰσὶ, καὶ ἐδείς αὐτῷ λόγος πολεμῆσαι ἰσχύει αὐτὰς, εἰμὴ τῷ Πίστιν τὴν Χριστὴν, ὡς ἀντικειμένῳ καὶ πολεμήσαντι καὶ πολλάκις, καὶ καταρχήσαντι αὐτῆς. Καὶ ὅτι ἀληθῶς ἔστιν, ἐκεῖθεν δύνῃ μαθεῖν. Πρὸ τῆς ἐπιδημίας τοῦ Χριστοῦ οὐκ ἦν ἔθνος θεοσεβὲς, εἰμὴ τὸ τοῦ Ἰσραὴλ. οὐκ ἴσχυσεν ὁ Σατανᾶς ἄλλο ἔθνος πολεμῆσαι ποτὲ, εἰμὴ αὐτό. ὅθεν καὶ αἱ φυλαὶ διῃρέθησαν, καὶ ἡ βασιλεία αὐτῶν, καὶ πολλάκις ἑαυτὰς ἐπολέμησαν, καὶ μυρίας πίστεις, καὶ αἱρέσεις πέπτωκαν, καὶ ὅτε κατὰ τοῦ Θεοῦ ἐμάχοντο ἐν ταῖς αἱρέσεσι, καὶ ἐν τοῖς σχίσμασιν αὐτῶν, ἀλλὰ κατὰ εἰδώλων, καθὼς δύνῃ ἐκ τῆς Βασιλειῶν, καὶ ἐκ τῆς Προφητῶν μαθεῖν. Λέγει οὖν ὁ Ἱερεμίας. Ὅτι κατὰ τὸν ἀριθμὸν τῆς πόλεων Ἰσραὴλ ὑπῆρχον οἱ θεοὶ αὐτῶν, καὶ αἱ αἱρέσεις τῆς ματαίας πίστεως αὐτῶν, καὶ τῆς σχισμάτων αὐτῶν. Διὸ καθάπερ νῦν, ὅπω καὶ τότε ἑκάστῃ ἔθνος ἀσεβὲς μίαν πίστιν ἔχοντος, τὸ ἔθνος τὸ θεοσεβὲς τοῦ Ἰσραὴλ εἰς μυρίας πίστεις ὁ Σατανᾶς ἔσχισεν.

Ἱερ. 2. καὶ 11.

ΕΡΩΤΗΣΙΣ, ΡΙΘ'.

Διατί δὲ τὸν Σατανᾶν ὅλως πολεμεῖν τοῖς ἀνθρώποις ὁ Θεὸς συνεχώρησε, καὶ τοῦτον οὐκ ἐξήλειψεν;

ΑΠΟΚΡΙΣΙΣ.

Ἐχθρὰ μὴ φανομένη, ὅτε φανερῶνται οἱ δόκιμοι στρατιῶται, καὶ φίλοι τοῦ Βασιλέως. καὶ μάχης καὶ πάλης μὴ γενομένης, οὐδὲ νίκη γίνεται, οὐδὲ στέφανοι, οὐδὲ μισθοὶ γίνονται.

ΕΡΩΤΗΣΙΣ, ΡΚ'.

Πόθεν τὰ ἐνύπνια, καὶ πῶς πολλάκις γίνονται ἀληθινά;

ΑΠΟΚΡΙΣΙΣ.

Εἴρηται ἐν τῇ Σειρὰχ, ὅτι, Ἐνύπνια ἀνάπτερόσιν ἄφρονας. καὶ διὰ τοῦτο ἀποδοκιμάζομεθα μὴ πιστεύειν, μηδὲ παραδέχεσθαι αὐτὰ, ἵνα μὴ ἄδειαν ἐντεῦθεν οἱ δαίμονες λαβόντες, πλανήσουσι ἀπατήσωσιν ἡμᾶς, ὥσπερ τινὲς ὑπέμειναν. Ὁμοίως συμβαίνουσι τὰ ἐνύπνια πολλάκις

Ἐκκλ. 34.

κις ἐκ τῆς πράξεων, ἢ λογισμῶν, ὧν ἐν ἡμέρᾳ ἔχομεν. Γίνονται δὲ καὶ ἀπὸ δαιμόνων. Γίνονται δὲ καὶ ἀπὸ συμάχου φαντασίας. Γίνονται καὶ ἀπὸ Θεοῦ. πολλάκις γὰρ οἱ Ἄγγελοι διὰ ἐνυπνίων ὁδηγοῦσιν, ἢ ἐκφοβοῦσιν ἡμᾶς. Πολλὰ δὲ καὶ ἡ ψυχὴ ὡς λογικὴ καὶ νοερὰ προγινώσκει, καὶ προδείκνυσι τῷ ἀνθρώπῳ τινὰ, μάλισα ἡ τὸ Πνεῦμα τὸ Ἅγιον ἔχουσα. Φησὶ γὰρ ὁ Θεός. Ὅτι ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα πισὴν, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. Ὅσα οὖν ἐνύπνια ὄψῃ, ποιοῦντάσοι κατάνυξιν, διόρθωσιν, ἐπιστροφὴν, καὶ φόβον Θεοῦ, ταῦτα μόνον ἀγάπησον.

Ἰωήλ. 2. Πράξ. 2.

ΕΡΩΤΗΣΙΣ, ΡΚΑ'.

Τοῦ Ἀποστόλου λέγοντος, ὅτι ἡγίασται ὁ ἀνὴρ ὁ ἄπιστος, ἐὰν ᾖ ἡ γυνὴ αὐτοῦ πιστή· ὁμοίως καὶ ἡ γυνὴ ἡ ἄπιστος, ἐὰν ἐστὶν ὁ ἀνὴρ αὐτῆς πιστός· ἆρα λοιπὸν ἔξεστι τὸν Χριστιανὸν λαβεῖν γυναῖκα ἄπιστον, ἢ ἐθνικήν;

Πρὸς Κορ. α'. 7.

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ Θεῖος Ἀπόστολος περὶ ἀγάμων ταῦτα εἶπεν, ἀλλὰ περὶ τῆς ἤδη πρὸ τοῦ πιστεῦσαι τινὰ ἐκ τῶν δύο σωζευγμένων ἀλλήλοις, εἰ οὖς μέρος βαπτισθέντος, τὸ ἕτερον μέρος ἔτε βαπτισθῆναι, ἔτε χωρισθῆναι βέλεται, μὴ ἀναγκαζέτω δὲ, μηδὲ διωκέτω αὐτὸν ὁ πιστεύσας. ἐπεὶ μὴ τὸ βάπτισμα ὁ κολλώμενος τῇ πόρνῃ οὐ σῶμα γίνεται, ὁμοίως καὶ ὁ κολλώμενος τῷ ἀπίστῳ.

Πρὸς Κορ. α'. 6.

ΕΡΩΤΗΣΙΣ, ΡΚΒ'.

Ἆρα ἁμαρτάνει ὁ φεύγων ἐν καιρῷ διωγμοῦ;

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ Μὴ Κύριος εἶπεν. Ὅτε διώκουσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἄλλην. Εἰ μὲν ἦν εἰς ἀπώλειαν τῆς ψυχῆς σωτείνει ὁ διωγμὸς, ἐξουσίαν ἔχει ἕκαστος, φεύγειν ὁπόταν δοκιμάζεται, αὐτὸ ποιῆσαι. Εἰ δὲ περὶ σωματικὰς ζημίας ἐστὶν ὁ διωγμὸς ὑπὲρ Χριστοῦ, ὀφείλομεν μένειν.

Ματ. 10.

ΕΡΩΤΗΣΙΣ, ΡΚΓ'.

Ἐπειδὴ ὁρῶμεν τινὰς καὶ ἐν αἰχμαλωσίᾳ ὑπαρχόσας δόλας παρεξερχομένας, τί χρὴ περὶ αὐτῶν λέγειν;

ΑΠΟΚΡΙΣΙΣ.

Ἀγῶνι ἓν καθ' ἡδονὴν καὶ σπουδὴν παρεξερχόμενοι, μείζονι πείρατι ὑποπίπτουσιν. Αἱ δὲ ἀπὸ σκανώσεως, ἐλάττονι. Ὅπερ καὶ ἐπὶ τῶν κλεπτῶν. Ὅτι κεφοτέραν ἁμαρτίαν ἔχει ὁ ἀπὸ πείνης κλέπτων ξοφὰς ὑπὲρ τῶν μὴ δεομένων, καὶ συλώντων. Ἐφ' ἑκάστης δὲ ἁμαρτίας ἐστὶ κατανοῆσαι πολλὰς διαφοράς. Καὶ γὰρ ἄλλως συγγνώμην εἶχον αἱ καλλωπιζόμεναι, καὶ κοσμούμεναι γυναῖκες ἐν ἰδίᾳ χώρᾳ, ὑπὲρ τῶν νεῶν ἐν μέσῳ τῆς αἰχμαλωσίας τῶν ἀδελφῶν αὐτῶν σιδηροφορουσῶν, αὗται ἐνώπιον αὐτῶν χρυσοφορεῖσαι, καὶ μὴ αἰχμωμέναι. Καὶ πᾶσα δὲ ἄλλη ἁμαρτία, καὶ σκαπάλη, καὶ ζυφὴ, ἵνα ποιῶμεν ἐν μέσῳ τῆς αἰχμαλωτίας ὄντες, χαλεπωτέρα ἐστὶν ὑπὲρ τὰς ἀνομίας τῶν ἐν ἀνέσει ὄντων καὶ ἁμαρτανόντων.

ΕΡΩΤΗΣΙΣ, ΡΚΔ'.

Πόσαι μοιχεῖαι εἰσὶ σωματικαί;

ΑΠΟΚΡΙΣΙΣ.

Δύο. Ὁ μὲν ἄγαμος, ἐὰν εἰς ὕπανδρον ἁμάρτῃ, μοιχεία ἐστὶν, ὅτι τὸν πλησίον τῆς ἰδίας γυναικὸς ἐμοίχευσεν. Εἰδὲ ὁ μὴ ἔχων γυναῖκα, εἰς μὴ ἔχουσαν ἄνδρα ἁμαρτήσῃ, πορνεία, ἀ μοιχεία ἐστίν. Ὁ δὲ ὑπὸ ζυγὸν ὑπάρχων, ἐὰν πρὸς ὕπανδρον ἁμάρτῃ, δύο μοιχείας ποιεῖ.

ΕΡΩΤΗΣΙΣ, ΡΚΕ'.

Τῷ Θεῷ λέγοντος πρὸς τὸν Ἄδαμ, Ὁ ἄνθρωπος τηρήσει σε κεφαλὴν, τετέσι τὴν ἀρχὴν παντὸς λογισμοῦ, σὺ δὲ, τετέσιν ὁ πονηρὸς, τηρήσεις αὐτοῦ πτέρναν, λέγω δὴ τὰ ἔσχατα τοῦ βίου αὐτοῦ. Πόθεν γινώσκει ὁ Σατανᾶς τὰ ἔσχατα τοῦ ἀνθρώπου; Καὶ γὰρ πολλοὺς ἑωράκαμεν, ὅλον μὲν τὸν χρόνον αὐτῶν καλῶς διαφρέψαντας, εἰς αὐτὰ δὲ τὰ τέλη τῆς ζωῆς ἀδοκήτως σπάντας. ἐξ ὧν εἷς ὑπάρχει Ἰουλιανὸς ἐκεῖνος ὁ ἀποστάτης. Γεν. 3.

ΑΠΟΚΡΙΣΙΣ.

Τινὲς μὲν γραώδεις μύθους λαλοῦντες, λέγουσιν, ὅτι εἰς τὸν ἀέρα διαβίβων ὁ διάβολος, προσαπροᾶται τὰς ἀδοκήτους γνωμοβίας καὶ ἀνθρώπων ὑποφάσεις. ἀδιάφορον δὲ τοῦτο. ἐ γὰρ κραυγητικῇ φωνῇ, ἀλλ' ἀφθέγκτῳ καὶ ἀῤῥήτῳ βουλῇ τὰ πάντα ποιεῖ ὁ Θεός. Οὐκοῦν ἐμοὶ δοκεῖ, ὅτι πνεῦμα λεπτὸν, καὶ ἀσώματον ὑπάρχων ὁ Σατανᾶς, δύναται καὶ διερευνᾷ ὑπὲρ πᾶσαν ἰατρικὴν ὀπτικὴν ἀνθρώπων, τὰς δυνάμεις καὶ ἐνεργείας, καὶ τὰς πλεονασμοὺς, καὶ τὰς ἐλλείψεις τῆς ζωτικῆς τοῦ σώματος διὰ τοῦ αἵματος ὑπάρξεως. Καὶ εἶθεν λοιπὸν σοφιστικῶς, ἀλλ' ἐκ ἀκριβῶς τεκμαίρεται τὴν τελευτὴν τοῦ ἀνθρώπου. Τὸ αὐτὸ δὲ ἐστὶν εἰπεῖν, καὶ ὅτι τῶν μαντέων, καὶ ἐγγαστριμύθων. Ὅτι πνεύματα λεπτὰ τυγχάνοντες οἱ δαίμονες, θεωροῦσι, τίς ὁ κλέψας τὸν δεῖνα ἄνθρωπον, καὶ ποῦ τὰ κλαπέντα παρέθετο. καὶ δύναται ταῦτα εἰπεῖν. Ὥσπερ πολλάκις θεωρήσαντες πολυομβρίαν ἐν τῇ Ἰνδικῇ χώρᾳ γενομένην, προλέγουσί τισιν ἐν Αἰγύπτῳ μεγάλην ἔσεσθαι τὴν τοῦ Νείλου ἀνάβασιν. Εἰδέ τις ἐρωτήσει πόθεν τὸν πυκνισμὸν καὶ τὰς δακτύλους τῆς ἀναβάσεως, ἐλεγχόμενοι ἀποροῦσι, μηδὲν τῶν μελλόντων ὀπτάμενοι.

ΕΡΩΤΗΣΙΣ, ΡΚς'.

Θέλουσιν εἰπεῖν τινὲς, ὅτι διὰ τὸ μὴ προσκυνῆσαι τὸν Ἀδὰμ ἐξέπεσον ὁ Σατανᾶς. τί ἔν; ἐστὶ τοῦτο ἀληθές;

ΑΠΟΚΡΙΣΙΣ.

Ἑλλήνων καὶ Ἀράβων εἰσὶν οἱ τοιοῦτοι μῦθοι. Καθὼς καὶ ἐν τῷ Προφητῶν ὄρει μαθεῖν, καὶ μάλιστα διὰ τὸ μεγάλως Ἰεζεκιὴλ, διὰ τὴν περιφανίαν αὐτοῦ ἐξερρίφη ὁ Σατανᾶς πρὸ τοῦ γράψαι τὸν Ἀδάμ. Δημιουργοῦντος γὰρ τοῦ Θεοῦ ταύτην τὴν οἰκουμένην κτίσιν, ἐνόμιζον ὁ Διάβολος ὅτι αὐτὸν καθίσῃσι βασιλέα αὐτῆς. Ὅτε δὲ εἶδον, ὅτι ἐποίησεν ὁ Θεὸς τὸν

Ψαλ. 8. τὸν Ἀδὰμ, καὶ κατέστησεν αὐτὸν ὅπι τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, καὶ πάντα ὑπέταξεν ὑποκάτω τῶν ποδῶν αὐτοῦ, τότε ὡπλίθη κατ' αὐτοῦ, καὶ ἠπάτησεν αὐτόν.

ΕΡΩΤΗΣΙΣ, ΡΚΖ.

Εἶπας ἐν τῇ προλαβούσῃ περὶ τῶν στοιχείων φυσιολογίᾳ, ὅτι πολλάκις ἐκ φυσικῆς τινὸς ἀκολουθίας καὶ χυμαιτίας γίνονταί τινες μὲν γυναῖκες ἄτεκνοι, τινὲς δὲ εὔτεκνοι, ἄλλαι δὲ πάλιν ὀλιγότεκνοι. τὸν δὲ τρόπον τῆς αἰτίας οὐκ ἐσήμανας. εἰπὲ γὰρ περὶ τούτου ἡμῖν.

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ παῦτα καὶ τὰ τοιαῦτα βελόμενοι λεπτολογεῖν, ἀνάγκη ἔσαι εἰς ἰατρικὰς τινὰς ἔρχεσθαι φυσιολογίας, μὴ πάνυ ἁρμοζόσας τῇ κοινῇ Ἐκκλησίᾳ καὶ ἀκροάσει. Ὅμως ἀμυδρῶς πως τὸ εἰρημένον σαφηνῖσαι πειράσομαι. Ἐν πολλοῖς τόποις τῆς Ἱερᾶς Γραφῆς δείσκομεν προσαγορευομένου τοῦ ἀνθρωπίνου σάρκα. Ὥσπερ ἔν δέξι γῆ καρποφόρος συμπέφυτον ποτίζομένη, ἔτω πολλάκις γίνεται καὶ ὅπι τῆς μήτρας, καὶ τῆς γονῆς. αἱ μὲν καταρρυπώμεναι τῇ ἀσωτίᾳ καὶ τῷ πολλῷ σωρευασμῷ ἀποῤῥίπτουσι τοῦ γονοῦ, ὥσπερ καὶ ὅπι τῆς ἑταιρείδων γίνεται. δυσχερῶς γὸ ἐκεῖναι συλλαμβάνονται. Διὰ τοῦτο ἐν διαφόροις τόποις τινὲς πλέσιοι, καὶ ἀφροδίσιοι ὑποτιθέασι τέκνων, καὶ ἐ τυγχάνουσιν. οἱ δὲ πένητες πολλάκις πολύτεκνοι γίνονται. Ἀναξηραινομένη γὰρ ἡ φύσις ὑπὸ τῆς ἐνδείας, ὥσπερ γῆ διψῶσα, δ' ἡδέως δράσεται τῆς ὑγρότητος τῆς καταβαλλομένης γονῆς, καθὰ πάσχει καὶ ἔτοι, οἱ παρ' ἡμῖν πανάποροι, καὶ πτωχοὶ, ἐρημῖται, καὶ Ἄραβες, ἅτε μὲν ἡδέως μὴ δ' ποροῦντες, πλῆθος δὲ τέκνων καθ' ὑπερβολὴν ἔχοντες. Καὶ γὰρ, ὥς φασι καὶ οἱ τὰς ἰατρικὰς ὑποσήμας εἰς ἄκρον ἐξησκημένοι, καὶ γάλα πολλάκις δ' είσκεται κακοῦ χυμοῦ καὶ κράσεως, διαφθεῖρον τὸ νήπιον. Εἰ δὲ λέγεις μοι ὁ δι' ἐναντίων, τί ἔν; Ἔσιν ἐκτὸς Θεοῦ πολυτεκνῆσαι, ἢ ζῆσαι, ἢ ἀποθανεῖν ἄνθρωπον; Ἐρῶσοι κἀγὼ, ὅτι καὶ τὰ διὰ τῶν κτισμάτων, καὶ στοιχείων, καὶ ἀέρων, καὶ κράσεων, καὶ ὑδάτων, καὶ γάλακτος φυσικῶς γινόμενα, ἐ χωρὶς Θεοῦ λέγεται γίνεσθαι. Παρ' αὐτοῦ γὰρ ἔλαβον ἀπ' ἀρχῆς πάντα τὰ κτίσματα αὐτοῦ, καὶ τῷ αὐτοῦ βέλησιν καὶ προνοίαν, καὶ τὰς ἐσιώδεις αὐτῶν καὶ φυσικὰς ἐνεργείας. Ἐπεὶ, πόθεν, εἰπέμοι, προσεσι τῷ βασιλίσκῳ ἡ αἱρετικὴ δυνάμις; ἢ καὶ τῇ ἐχίδνῃ ὁ θανατηφόρος ἰὸς, ἄλλων δὲ ζωῦφίων ἡ ἰαματικὴ τοῦ θανατηφόρου ἐνέργεια; Βοτάναι θανατηφόροι, ἕτεραι δὲ καθαρτικαὶ, καὶ ἀβλαβεῖς, καὶ ἰαματικαί; Ὅθεν ταῦτα καὶ τὰ τοιαῦτα καλῶς καὶ θεοδέκτως ἀναφη-

λαφήσαντες, ἐπ' αὐτοτε εἶδόν τινες τῶν προκειμένων αὐτοῖς γονέων τὸ πρῶτον καὶ δεύτερον καὶ τρίτον τέκνον θηλάσασαν τελεσθῆσαι, σωφεβούλευσον μηκέτι αὐτοῦ θηλάζειν τὰ παρ' αὐτῆς τικτόμενα. Ὅμως ὅπι πᾶσι καλὸν τὸ λέγειν. Ὡς ἐμεγαλώθη τὰ ἔργα σου Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. Ὅμως καὶ ἑτέραν τινὰ πρὸς ταῖς εἰρημέναις, ἐνυπόστατον καὶ ἀφελῆ προσάγω προφάσιν, πείθουσαν καὶ τὸν λίαν φιλόνεικον, ὅτι διὰ τῶν στοιχείων φανερόμησεν ὁ Θεὸς διοικεῖσθαι καὶ ζωογονεῖσθαι, ἢ καὶ τελειοῦσθαι τὸ ἡμέτερον σῶμα. τάχα δὲ, ὁ τὸ σῶμα μόνον, ἀλλὰ καὶ αὐτὰς ἡμᾶς, τὰς ἀσωμάτους ψυχὰς τὰς νοήσεις, καὶ τὰς ἐνεργείας. Ὅρα γάρ. Ἀρχομένης μὲν τῆς ἡμέρας, ἐπειδὴ δ' ἥθεως ἡ κίνησις τῆς χολῆς πρωΐας εἰώθει γίνεσθαι, πικρότεροι καὶ ὀξύτεροι αἴθρωποι τὰς πρωΐας ὑπάρχομεν. εἶτα χρομένης δορᾶς, καὶ οἴνε συμμέτρε μεταλήψεως, ἀγαθωτέραν καὶ ἡμερωτέραν τὴν ψυχὴν ἔχομεν. Πάλιν τε ὁδοιπορῦντες, καὶ πεπιῶντες ὅπι πολὺ, δ' ἥθεως ἐξατονᾶσαν τὴν ψυχὴν καὶ χαυνομένην ἔχομεν. καὶ ποτὲ μὲν νύκτωρ ἡσυχάζοντα καὶ νήφοντα τὸν νοῦν ἡ ἡσυχία τὸν θόρυβον ἐργάζεται. ποτὲ δὲ ὑπὸ θορύβων, ἢ καύσωνός τινος συμπερχομένου τῷ σώματος, διαχεῖσθαι καὶ ὡς ἀσώματος ὁ νοῦς ἡμῶν πέφυκεν. Ἀμέλει γοῦν νηπίᾳ καὶ ἀτελοῦς ὄντος τοῦ σώματος, νήπιος καὶ ἀτελὴς ἡμῶν καὶ ἄφρων ὁ νοῦς καθέσηκε, μηδὲν σχεδὸν διακρίνειν δυνάμενος. Προκοπτόντων δὲ τῶν μελῶν, καὶ αὐξομένων, ἔτω καὶ πρόσβασιν καὶ ὁ νοῦς σωναύξει καὶ φωτίζεται. Εἰ δ' ἔν καὶ αὖτη ἡ ἀσώματος, καὶ ἄϋλος τῆς ψυχῆς ἡμῶν καὶ τοῦ νοὸς δύναμις, ὑπὸ τῆς συγκράσεως τῶν στοιχείων καὶ τοῦ σώματος κυβερνᾶται, καὶ αὔξεται, καὶ ἀκολουθεῖ, καὶ κατακρίνεται, εἰ καταυγιδίεται κελδίσει Θεοῦ, μηκέτι μοι ἀμφιβάλῃς, λοιπὰ ἀκόσμῳ καὶ τῷ τοῦ σώματος τοῦ ὑλικοῦ γοήσει καὶ αὔξησιν, καὶ σύγκρασιν καὶ διάλυσιν, προνοίᾳ Θεοῦ διὰ τῆς τῶν στοιχείων κυβερνήσεως γινομένων. Ἀμέλει γοῦν καὶ αὐτὰ τὰ ἄψυχα πρὸς τὸ τῶν στοιχείων καὶ ἀέρων εἰωθε στοιχεῖν ἀκολουθίαν. καὶ διὰ τοῦτο σύμμετρος μὲν ἡ χώρα ὑ ζωογονεῖ Φοίνικας, αὔτη δὲ ὑ ποιεῖ Ἐλαιῶνας. ἐκείνη δὲ πάλιν ὑ καρποφορεῖ Ἀμπελῶνας, καὶ ἄλλη ὑ κέκτηται Βάλανον. Ὅθεν καὶ θέλουσι λέγειν οἱ ἀκριβεῖς τῆς Οἰκουμένης Κοσμογράφοι, ὅτι ἀνατολικώτερος πάσης τῆς Οἰκουμένης, ὥσπερ θυσιαστήριον αὐτῆς τυγχάνει ὁ Παράδεισος. Ἐφύτευσε γὰρ, φησὶν, ὁ Θεὸς Παράδεισον καὶ ἀνατολὰς ἐν Ἐδέμ. καὶ τότε χάριν πλησιάζει αὐτῷ ἡ τῶν Ἰνδῶν χώρα. Καὶ πάντες χεδὸν οἱ καρποὶ τῶν δωδεκάπων ἀρωμάτων εἰσὶ διὰ τῆς αὔρας τῶν ἀνέμων μεταπομιζομένης, καὶ μεταδιδομένης αὐτοῖς τῆς δώσιας ἐκ τῶν τοῦ Παραδείσου δωδεκάπων φυτῶν, καθ' ὁμοιότητα τῶν ἀλλήλοις διὰ τῶν ἀνέμων ἐκ τῶν ἀῤῥένων τὸ σπερμόγονον ἄνθος μεταδιδόντων. Πᾶσα δὲ δώσια, καὶ μάλισα ἡ διὰ τῶν Ἰνδικῶν ἀρωμάτων, χωρὶς ὑγρᾶς τινος ἐλαίου, ἢ ἄλλων τῶν τοιούτων συνδαζομένη, ὑγιοποιὸς καὶ συγκρατικὴ τοῦ ἀνθρωπείου σώματός ἐξιν, ὥσπερ πάλιν ἡ δυσωδία φθοροποιός. Ὅθεν φασκειτις τῶν φιλοσοφισῶν, εἰ καταλάβοι τὸν

Ψαλμ. 103. Γεν. 2.

ἀποθνήσκοντα πρὸ τῆ ἀπολέσαι τὸν νοῦν, δυώατω ἀφ' ἑτέρου κατασκοπῆς ἁμαρτάτων, ὅτι ἡμιώριον αὐτῆ πρῆσαι νηφάλιον τὸν λογισμὸν, ὅπως καὶ τὰ καθ' ἑαυτὸν ἀφελέσθαι δυνήσηται.

ΕΡΩΤΗΣΙΣ, ΡΚΗ'.

Ματθ. 25. Τί ἐστὶ τὸ τάλαντον, ὅπερ λέγει αἴρειν ὁ Κύριος ἐκ τῆ πονηρῆ δούλε, καὶ παρέχειν αὐτὸ τῷ καλῶς ἐργασαμένῳ τὰ πέντε τάλαντα;

ΑΠΟΚΡΙΣΙΣ.

Ο Γ' μὲν λέγουσι τὸ Πνεῦμα τὸ Ἅγιον, ὅπερ ἔλαβον ἐν τῷ βαπτίσματι. πρὸς ὃς ἀντιλέγω, ὅτι ὁ τὰ πέντε τάλαντα λαβὼν εἶχε καὶ αὐτὸς τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ ἐκ ἐδεῖτο ἑτέρε Πνεύματος. ὅθεν ἐντεῦθεν μανθάνομεν, ὅτι καὶ ἀλλοπίοις πολλάκις παρέχει ὁ Θεὸς χαρίσματα. ὅπως αἰδεσθέντες τὸν δεδωκότα, πρὸς ἀρετὴν ἔλθωσιν. ἀλλὰ τοῦτό τινες ἀγνοήσαντες πονηροὶ ὄντες, ἐνόμισαν ἑαυτὸς δικαίους εἶναι, καὶ διὰ τὸ ἔχειν τὸ χάρισμα, τυφωθέντες ἔν ὁμῆ καὶ τυφλωθέντες, ἐκεῖ τότε ξερέμβοι ἐν γεέννῃ ἀπέρχονται. Τῆ Ἁγίᾳ Βασιλείᾳ.

Λογίζομαι τὴν ἀβαβολὴν τῆ παλαίπων πρὸς πᾶσαν Θεῆ δωρεὰν εἰρῆσθαι, ἵνα ἕκασος καταμάθῃ ὧν ἔχει χάριν παρὰ Θεῆ, καὶ παύτην πολυπλασιάσῃ εἰς ἐργασίαν, καὶ ὠφέλειαν πλειόνων. Οὐδεὶς γὰρ ἐστὶν ἀμέτοχος τῆς τῆ Θεῆ δωρεᾶς καὶ χάριτος. Διόπερ, ὁ οἱανδήποτε χάριν Θεῆ παραπαταχὼν εἰς ὀκόλαυσιν ἑαυτῆ, καὶ μὴ ἄλλως ἐργατῶν, ὡς ὁ κρύψας τὸ τάλαντον καπηλεύσηται.

Τῆ αὐτῆ ἐκ τῆ περὶ τῆ Ἁγίε Πνεύματος. Κεφ. 16.

Πρὸς Κορ. α'. 15. Ματθ. 25. Πρὸς Ἐφ. 4. Ματθ. 24. ΕΝ γὰρ ταῖς λαμπρότησι τῆ Ἁγίων πολλαὶ μοναὶ εἰσὶ παρὰ τῷ Πατρὶ, τουτέστιν ἀξιωμάτων διαφοραί. Ὡς γὰρ ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ, οὕτω καὶ ἡ ἀνάστασις τῆ νεκρῶν. Οἱ τοίνυν σφραγισθέντες τῷ Ἁγίῳ Πνεύματι εἰς ἡμέραν ἀπολυτρώσεως, καὶ ὧν ἔλαβον ἀπαρχὴν τῆ Ἁγίε Πνεύματος ἀκεραίαν καὶ ἀμώμητον διασώσαντες, ἀκέσονται· Εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ὅτι ὀλίγα ἦς πιστὸς, ὅτι πολλῶν σὲ καταστήσω. Ὁμοίως καὶ οἱ λυπήσαντες τὸ Ἅγιον Πνεῦμα τῇ πονηρίᾳ τῆ ἐπιτηδευμάτων· ἢ οἱ μὴ ἐπεργασάμενοι τῷ δοθέντι, ἀφαιρεθήσονται ὃ εἰλήφασιν, εἰς ἑτέρας μεταθεμένης τῆς χάριτος· ἢ κατά τινα τῶν Εὐαγγελιστῶν, καὶ διχοτομηθήσονται, τουτέστιν ἀπαλλοτριωθήσονται παντελῶς ὑπὸ τῆ Πνεύματος τῆ Ἁγίε. Ναὶ μὴν γὰρ εἰ καὶ μὴ ἀνακέκραται τοῖς ἀναξίοις, ἀλλ' ἐν παρεῖναι δοκεῖ πως τοῖς ἅπαξ ἐσφραγισμένοις, τὴν ἐκ τῆς ὑπερορᾶς σωτηρίαν αὐτῶν ἀναμένων. Τότε δὲ ὅλε τῆς βεβηλωσάσης αὐτῆ τὴν χάριν τῆς ψυχῆς ἀποτμηθήσεται.

ΕΡΩΤΗΣΙΣ, ΡΚΘ'.

Τίς ἐστὶν ὁ Μαμμωνᾶς τῆς ἀδικίας, ὃν εἶπεν ὁ Κύριος; Λουκ. 16.

ΑΠΟΚΡΙΣΙΣ.

Ο Γ' καθὰ νομίζουσί τινες, ἐκ τῷ ἀπὸ ἀδικίας συναγομένων ἐπιτρέπει ἡμῖν ὁ Κύριος ποιεῖν φίλους πένητας, ἵνα δέξωνται ἡμᾶς ἐκεῖ εἰς τὰς αἰωνίους σκηνάς. ἀλλ' ὅλον τὸν ἐκπεσόντα τῆς ἡμῶν χρείας ἀποκείμενον πλοῦτον, μαμμωνᾶν ἀδικίας ἐκάλεσεν. Ο' δὲ διπορῶν θρέψαι, ἢ σῶσαι τὸν ἀπολιμῶ, ἢ χρέος, ἢ αἰχμαλωσίας ἀπολύμενον, καὶ μὴ σώζων, ἴσος ὡς ἄδικος καὶ φονεὺς δικαίως κατακεκριθήσεται. Ο'ρα καὶ εἰς Φόλ. 55.

ΕΡΩΤΗΣΙΣ, ΡΛ'.

Ποῖα εἰσὶ τὰ ἐν γνώσει, καὶ ποῖα εἰσὶ τὰ ἐν ἀγνοίᾳ ἁμαρτήματα, καὶ ποῖα ποίων εἰσὶ βαρύτερα;

ΑΠΟΚΡΙΣΙΣ.

Τ Α' μὲν ἐν γνώσει εἰσὶν, ὅσα τὸ ἴδιον συνειδὸς ἐλέγχει σε, ὅτι καλῶς πράττεις. Τὰ δὲ ἐν ἀγνοίᾳ, ὅσα νομίζεις, ὅτι καλῶς πράττεις, πονηρὰ ὄντα. Γινώσκειν δὲ προσήκει, ὅτι πολλά εἰσι καὶ ἄγνοιαι ὑπιτελούμενα, καθ' ὑπερβολὴν μειζόνων κειμάτων. πᾶσαι γὰρ αἱ αἱρέσεις δοκοῦσιν, ὅτι καλῶς πισεύουσι. καὶ οἱ Ἕλληνες, οἱ τὰς Μάρτυρας κολάσαντες, ἐνόμιζον, ὅτι καλῶς διαπράττονται. καὶ οἱ τὰς Ἐκκλησίας καίοντες, ἐνόμιζον τοῦτο εἰς θυσίαν Θεῆ. καὶ οἱ Χριστὸν σταυρώσαντες, ἐκ οἴδασι τί ἐποίευν. καὶ Ἡρῴδης δὲ διορκίαν, ὡς νομίζει, καλῶς τὸν Γωάννην ἐφόνευσεν. καὶ ἀδελφὴ Μωϋσέως ἡ λεπρωθεῖσα, ἐδόκει, ὅτι νομίμως τὸν Μωϋσῆν ἐλοιδόρει. Ταῦτα ἀναγκαῖον ὑπισαθαι, ἵνα μὴ νομίσωμεν, αὐθιώτες ἑαυτὸς εἶναι ὑπὲρ τοῖς ἐν ἀγνοίᾳ ἁμαρτήμασιν.

Λουκ. 23. Μαρ. 6. Ἀρι. 12.

ΕΡΩΤΗΣΙΣ, ΡΛΑ'.

Τοῦ Θεοῦ λέγοντος ἐν τῇ Γραφῇ, ὅτι, Ῥῦσαι ἀπαγομένους εἰς θάνατον, τί ἐστιν; Καλὸν ἢ τὸ, λῃσὰς ἢ αἱροφόνους ῥύσασθαι;

ΑΠΟΚΡΙΣΙΣ.

Ἀειθ. 35. ΟΥ' λέγω. Οὐδεὶς γὰρ τοῦ Θεοῦ φιλανθρωπότερος, αἷμα ἐκχυθῆναι αὐτὶ αἵματος κελεύσαντος. Ἀλλ' ἑαυτὸς διὰ Πίστιν, ἢ διὰ τοιαύτας ἑτέρας αἰτίας μέλλει εἰς θάνατον ἀπάγεσθαι, καλὸν τοῦτον ῥύσασθαι. Πλεῖστοι εἰσὶ τινες ἢ παιδίσκους θανάτου σώσαντες, ἢ ἐν Μοναστηρίοις αὐτοὺς μετανοεῖν ἐδασκάλασαντες, καλῶς ποιήσαντες.

ΕΡΩΤΗΣΙΣ, ΡΛΒ'.

Ἐὰν ὑποκείμαι εἰς δυλείαν, ἢ αἰχμαλωσίαν, ἢ δύναμαι ὡς θέλω εἰσελθεῖν, ἢ ὅτε θέλω σχολάσαι τῇ Ἐκκλησίᾳ, ἢ νηστεῦσαι, ἢ ἀγρυπνῆσαι. πῶς δύναμαι σωθῆναι, ἢ ἄφεσιν ἁμαρτιῶν δύρεῖν;

ΑΠΟΚΡΙΣΙΣ.

ΕΙ' μὴ μὴ δυνήσησαν τῷ Θεῷ καθ' ἑκάστην ψυχὴν τοιοῦτοι ἄνδρες, λέγω δὴ ἐν κόσμῳ, ἢ ἐξουσίᾳ, ἢ ἀπολαύσει ὑπάρχοντες, τάχα ἂν εἶχον ἀπολογίαν τινὰ, οἱ τὰς τοιαύτας προφάσεις προφασιζόμενοι ἐν ταῖς ἁμαρτίαις αὐτῶν. Νῦν δὲ ὁρῶμεν ἐν ταῖς θείαις Γραφαῖς πάντας χεδὸν τοὺς τῷ Θεῷ προσφιλεῖς, ἢ ἐν πλούτῳ, ἢ ἐν κόσμῳ, καὶ ἐν τέκνοις τῷ Θεῷ διαρεσήσαντας. λέγω δὴ τοὺς περὶ Ἀβραὰμ, ἢ Γωσὴφ, ἢ τοὺς κατ' αὐτοὺς, ἢ Μωϋσέα, ἢ Δανιὴλ, ἢ ἄλλους μυρίους. ἀλλὰ ἢ αὕτη μία τῶν τεχνῶν τοῦ διαβόλου ἐστὶ, τὸ ὑποβάλλειν τῷ ἀνθρώπῳ, Ὅτι ἀδυνάτον σε σωθῆναι, εἰμὴ τοῦ βίου ἀποτάξῃ, ἢ μονάσῃς, ἢ ἐν ταῖς ἐρήμοις ἀπέλθῃς. Πολλοὺς γὰρ τῶν ἀνθρώπων ταῖς τοιαύταις ἐννοίαις δελεάσας καὶ ἀπατήσας, εἰς μακρὰς προσδοκίας ἐλπίδας ἔχοντας ἀποτάξασθαι τοῦ βίου, καὶ διὰ ταύτης τῆς ἐννοίας ἀδίκως λοιπὸν ἁμαρτάνοντες, ἢ ἀποτάξασθαι μὴ δυνηθέντες, πυρὶ αἰωνίῳ παρεπέμφθησαν.

ΕΡΩΤΗΣΙΣ, ΡΛΓ'.

Τίς, εἰπέ μοι, πονηρότερος τοῦ Μανασσῆ γέγονεν; πεντήκοντα πέντε χρόνους ποιήσαντος αὐτοῦ ὅλον τὸν Ἰσραὴλ προσκυνῆσαι τοῖς εἰδώλοις, ἢ μετανοήσας ἐδέχθη διὰ τῷ Θεῷ δι' ἐξομολογήσεως. Βασ. δ'. 21.

ΑΠΟΚΡΙΣΙΣ.

ΕΠειδὴ αἰχμάλωτος γεγονὼς, ἐκ ηὐπόρει διὰ χρημάτων ἢ ἐλεημοσύνης ἐξιλιώσασθαι τῷ Θεῷ. Ἐπὶ δὲ τῷ ἄλλων πονηρῶν ἦν Ναβυχοδονόσορ, ὡς δύνασθαι διὰ τῆς ἐλεημοσύνης σώζεσθαι, ὁ Δανιὴλ ἐφάνη λέγων αὐτῷ. Βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι. τὰς ἁμαρτίας σου ἐλεημοσύναις λύτρωσαι, ἢ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πτωχῶν. Ποίαν δὲ ὑπολογίαν ἔχομεν ἐν ἡμέρᾳ κρίσεως, ἢ μάλιστα ἡ παροῦσα ὥρα, ἐν τοιαύτῃ ἀνάγκῃ ἢ θλίψει ὁρῶντες τοὺς ἀδελφούς, καὶ ὁμοπίστους ἐν γυμνότητι, καὶ καμάτῳ ἢ πόνῳ; Ἠχμαλωτίσθη μὲν γάρ ποτε ἢ Ἰσραὴλ, ἀλλ' ἐκ εἰς ἐρήμους κατεδικάσθη, ἀλλ' ἐν πόλεσι ἢ λαοῖς. Ὅμως ἐὰν μὴ δύπορήσας, αὐτοῖς λέγω δὴ τοῖς ἀδελφοῖς διὰ χρημάτων συμπαθῆσαι, συμβουλίαν, πᾶσιν ἀνθρώποις ὄντως δύπορός τε καὶ ἄπορος σωτήριον. Τίς δέ ἐστιν αὕτη; Ἵν' ὁπόταν ὑπὸ τῆς σῆς τραπέζης ἀνακλιθεὶς, ἢ τὴν δαψίλειαν τῶν διαφόρων ἐδεσμάτων σε θεασάμενον θεάσῃ, σπεύξῃς, καὶ ἑαυτὸν κατακρίνων εἴπῃς. Ὁ Θεὸς ἀκατάκριτόν με ποίησον τὸν ἁμαρτωλὸν ὅτι τοῖς τοσούτοις ἀγαθοῖς. πόσοι ἄρτι ἀδελφοὶ ἡμῶν μικρᾶ πλάσματος ὑπθυμοῦσι; πόσοι ἐν ἐρήμοις ἄρτι ἐπ' αὐτὸ τὸ ὕδωρ εἰς πλησμονὴν ἔχουσιν, ἀλλ' οὐδὲ τὸ Ἡλίου συγκαίονται; Ὁμοίως ἢ ὅτι τῆς σῆς κλίνης ὅτε καθεύδῃς, τοὺς αὐτοὺς ἀνακύλισον λόγους. ὡσαύτως ἢ ἐν βαλανείῳ, ἢ ἐν ἀγορᾷ, ἢ ἐν Ἐκκλησίᾳ παλαιίζων ἢ κατακρίνων ἑαυτόν. Καὶ ἐγὼ πιστεύω, ὅτι πᾶς ὁ μετὰ τῶν τοιούτων λογισμῶν ἐξομολογούμενος ἢ κατακρίνων ἑαυτὸν, εὑρίσκει μέρος ἐλέους παρὰ τῷ Θεῷ. Οἱ δὲ λέγοντες, ὅτι διὰ τοῦτό μοι ἔδωκεν ὁ Θεὸς, ἵνα φάγω ἢ πίω, ἢ ἀπολαύσω, ἢ εἰ ἐβούλετο, ἢ παύτως ἂν ὅτι ἢ πτωχῶ, ὡς ἐμοὶ, παρεῖχον ἐσθίειν, καὶ πίνειν, καὶ ἀπολαύειν, ἑαυτοῖς τὴν θύραν τῆς Βασιλείας ἀπέκλεισαν.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΡΛΔ'.

Πόθεν ὁρῶμεν τινὰς πολλάκις νεῦ προθύμως ἑαυτὰς προδιδόντας εἰς θάνατον ὑπὲρ τῆς Ὀρθοδόξου Πίστεως, καὶ ἐρχομένους εἰς αὐτὸ τὸ ἀποθανεῖν, εἴτε ἀπὸ φιλανθρωπίας ἀνθρώπων, εἴτε καὶ αὐτοὶ οἱ τύραννοι μεταβαλλόμενοι ἀπολύσιν αὐτὰς, πόθεν χρὴ λογίζεσθαι εἶναι τὴν τοιαύτην ἀπόλυσιν, ἐκ Θεοῦ, ἢ ἐξ ἀνθρώπων;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Πολλοὶ καὶ διάφοροί εἰσιν οἱ τρόποι καὶ τὰ κρίματα τοῦ Θεοῦ, δι' ὧν ἀπολύονται οἱ ἄνθρωποι ἐκ τῶν τοιούτων θανάτων. Τοὺς μὲν γὰρ πολλάκις ὁ Θεὸς λυτροῦται, ἴσως διδασκάλους, ἢ πτωχοτρόφους τυγχάνοντας. Καὶ τὴν μὲν προθεσιν αὐτῶν ἀπεδέξατο, πρὸς δὲ τὴν σωτηρίαν ἄλλων τούτους ἐλυτρώσατο. Ἄλλως πάλιν λυτροῦται, ἐπειδὴ ἴσως οὐκ ἔχει τοιοῦτον μισθὸν τὸ πρᾶγμα, δι' ὃ ἀποθνήσκουσιν, οἷον αὐτοὶ νομίζουσι. πολλάκις δὲ καὶ ὁ διάβολος ἀντικοτεῖ, ἵνα μὴ στεφανωθῇ ὁ ἄνθρωπος. Καὶ ἄλλοι δὲ πλείστοι τρόποι εἰσὶν, οὓς οὐκ ἀνάγκη λέγειν διὰ τοὺς μὴ χωροῦντας.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΡΛΕ'.

Τί ἐστὶν ἡ ἀληθινὴ ταπείνωσις, καὶ πῶς αὐτῇ σὺν Θεῷ κατορθῶσαι δυνάμεθα;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Ὅτι ἔστιν, ὡς τινες νομίζουσι, τὸ ἁμαρτάνειν, καὶ ἔχειν ἑαυτὸν ἁμαρτωλὸν καὶ ἄξιον κολάσεως. Ταύτῃ γὰρ τῇ ἐννοίᾳ πᾶς ἄνθρωπος ἁμαρτωλὸς ἔχει, τάχα δὲ καὶ οἱ δαίμονες. διὸ καὶ ἔλεγον τῷ Χριστῷ. Ὅτι ἦλθες πρὸ καιροῦ ὀλέσαι ἡμᾶς. εἰπόντες δὲ τὸ, Πρὸ καιροῦ, ἐσήμαναν, ὅτι γινώσκουσι καὶ ἐλπίζουσιν, ὡς ἐν γενεᾷ ἐκεῖ κατακριθήσονται. διὸ ὥσφησιν ἡ Γραφὴ, ὅτι, Σὺ πιστεύεις, ὅτι εἷς ἐστὶν ὁ Θεός; καλῶς τὰ δαιμόνια πιστεύουσι καὶ φρίττουσιν. ἐκεῖν ταπεινοφροσύνη ἀληθής ἐστι τὸ πράττειν τὰ ἀγαθὰ, λογίζεσθαι δὲ ἑαυτὸν ἀπάθαρτον καὶ ἀνάξιον τοῦ Θεοῦ, διὰ μόνην τὴν φιλανθρωπίαν αὐτοῦ σωθῆναι νομίζοντα. Ὅσα γὰρ ἀγαθὰ ἐὰν ποιήσωμεν, ἐκ ὀφειλόμενα τῷ Θεῷ ὑπὲρ μόνης αὐτοῦ τῆς ἀέρος τῆς ἀναπνεομένης. Ὅταν δὲ καὶ πάντα, ὅσα ἔχομεν προσενέγκωμεν αὐτῷ, ἐ χρεωστεῖ ἡμῖν μισθόν. αὐτὸς γάρ ἐστι τὰ σύμπαντα. Οὐδεὶς δὲ τὰ ἴδια λαμβάνων, χρεωστεῖ μισθὸν δοῦναι τοῖς προσφέρουσιν αὐτῷ αὐτά. Λοιπὸν τί ἀνταποδώσω

Ματ. 8.

Ἰάκ. 2.

μεν

μεν τῷ Κυρίῳ ὑπὲρ αὐτῆς τῆς χρεώσεως ἡμῶν; ὑπὲρ τῶν ἀγαθῶν, ὧν ἀξίως ἐχαρίσατο ἡμῖν; ὑπὲρ τέκνων, ὑπὲρ πλούτου, ὑπὲρ κινδύνων, ἐξ ὧν πολλάκις ἐρρύσατο ἡμᾶς; ὑπὲρ τοῦ Αἵματος, ὃ ἐξέχεεν ὑπὲρ ἡμῶν; καὶ μὴν ταῦτα πάλιν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν; καὶ τότε ὑπὲρ τῆς Βασιλείας τῶν Οὐρανῶν, ἧς ὑπέσχετο ἡμῖν; Εἰ ἐν τοσαύτῃ χρεωστοῦντες, καὶ μηδὲν ἀποδιδόντες, ἐν ποίᾳ ταπεινώσει καὶ συντριβῇ καρδίας ὀφείλομεν εἶναι διὰ παντός; μηδενὸς κατεπαιρόμενοι, μηδενὶ παρακείνοντες, μηδενὶ λοιδοροῦντες, μηδενὶ μνησικακοῦντες, πάντας ἀγαπῶντες, πᾶσι συμπαθοῦντες. Ποθήσωμεν τὸν Δεσπότην, κἂν ὡς ποθοῦμεν τὰς ἑταιρίδας. πολλάκις γάρ τις ποθήσας γυναῖκα, πᾶσαν αὐτῇ τὴν ὕπαρξιν ἐδαπάνησεν, ἵνα τῆς ῥυπαρίας αὐτῆς ἐπιτύχῃ. Διὸ βοηθῶμεν τὸν Θεὸν, κἂν ὡς τοὺς πτωχοὺς, ἢ τοὺς κωφούς. Κλέπται γὰρ πολλάκις ἀπερχόμενοι, καὶ φωνῆς κωφείων ἐν τῷ τόπῳ ἀκούσαντες, εὐθέως ὑποστρέφαντες, μὴ φοβηθέντες τὸν Θεὸν, ἀλλὰ τοὺς κωφούς. Διὸ φοβηθῶμεν αὐτόν. χρώμεθα τῇ ψυχῇ ὥσπερ οἱ παῖδες, οἱ ὄντες ἐν ταῖς φυλακαῖς, πάντοτε μεριμνῶντες, πότε ἔρχεται ὁ ἐξετασὴς, καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ὁ γὰρ ὕπνος μεριμνῶν, ἔρχεται εἰς ἀληθινὴν ταπείνωσιν.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΡΛς'.

Τί ἐστὶ τὸ λεγόμενον, ὅτι, Ἐὰν φωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθῇ, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι; Πῶς φωμίζει τις πάντα τὰ ὑπάρχοντα αὐτοῦ χωρὶς ἀγάπης;

Πρὸς Κορ. α. 13.

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Εἰσί τινες τῶν ἀνθρώπων, δοκοῦντες μὲν ποιεῖν πολλὰς ἐλεημοσύνας, ὑπάρχουσι δὲ μισάδελφοι, λοίδοροι, ὑπερήφανοι, ἄδικοι, μνησίκακοι, φθονεροὶ, καὶ διὰ τῶν τοιούτων παθῶν ἀόντως λοιπὸν γίνεται ἡ ἐλεημοσύνη αὐτῶν. Ἐμοὶ γὰρ δοκεῖ, ὅτι διὰ τῶν τοιούτων παθῶν ἐσβέσθησαν αἱ λαμπάδες τῶν πέντε παρθένων, λείψασαι τὸ τοιοῦτο πνευματικὸν ἔλαιον.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΡΛΖ'.

Ἔχει ὅρον χρονικὸν ἡ σωτηρία τοῦ Κόσμου, ἢ οὔ;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Ὁ μὲν Θεὸς προγινώσκει τὰ πάντα πρὸ γενέσεως αὐτῶν. Ὅμως φασὶν οἱ Ἅγιοι Πατέρες, (ὅτι ὅταν πληρωθῇ ὁ ἄνω Κόσμος, τότε γίνεται ἡ σωτηρία.) ὅτι ὅταν πληρωθῇ ὁ ἀριθμὸς τῶν δικαίων ἀνδρῶν καὶ ἀριθμὸν τῶν ἐκπεσόντων Ἀγγέλων, ὅπως ἂν πληρωθῇ ὁ

ἄνω

αἰῶ Κόσμος, τότε γίνεται ἡ σωτέλεια. Πληρωθῶσι δεῖ τὸν αἰῶ Κόσμον, ὡς φησὶ Γρηγόριος βοᾷ. τὸ δὲ τὸ Ἀποστόλε ῥητὸν τὸ λέγον· Εἴτινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται, οὕτω δὲ, ὡς διὰ πυρός· τοῦτο λέγει. ὅτι ἡ μὲν ἁμαρτία ἀπόλλυται ἐκεῖ, καὶ οὐκ ἔσαι. ὁ δὲ πράξας ἄφθαρτος ὑπάρχων ἐν τῇ ἀνασάσει, σώζεται ἐν τῷ πυρὶ, τουτέστι, διαμένει, καὶ οὐ φθείρεται ἐν αὐτῷ.

Πρὸς Κορ. α'. 3.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΡΛΗ'.

Βαρέως τινὲς ἀκούσι τὸ Ἀποστολικὸν λόγιον τὸ φάσκον, ὅτι ἐν τῇ ἀνασάσει τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ Πατρὶ, τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα.

Πρὸς Κορ. α'. 15.

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Ἀρειανῶν καὶ Νεστοριανῶν ὑπάρχει τὸ τοιοῦτον πρόβλημα, βουλομένων ἐλάττονα καὶ δοῦλον δεῖξαι καὶ κτιστὸν τὸν Θεόν. Ἐρωτητέον τοίνυν αὐτοὺς, πῶς ὑποταγήσεται ὁ Υἱὸς τῷ Πατρὶ ἐν τῇ ἀνασάσει, ὡς νῦν ἀνυπότακτος; καταισχύνει αὐτοὺς ὁ αὐτὸς Ἀπόστολος, λέγων τὸν Χριστὸν ὑπήκοον, καὶ ὑποτεταγμένον τῷ αὐτῷ Πατρὶ μέχρι θανάτε, θανάτε δὲ Σταυροῦ. Ὁ ὢν ἕως θανάτε ὑπακούσας τῷ ἑαυτοῦ Πατρὶ, μέχρι θανάτε, θανάτε δὲ Σταυροῦ, τί πλέον ἐν τῇ ἀνασάσει δώσαται αὐτῷ ὑποταγῆναι; Οὐκοῦν τὸ σῶμα Χριστοῦ, ἥτις ἐστὶν Ἐκκλησία τῶν σῳζομένων, ὡς καὶ Παῦλος μαρτυρεῖ, αὐτῷ ὑποταγήσεται διὰ Χριστοῦ, καὶ σὺν Χριστῷ προσκυνοῦσα τῷ Πατρὶ ἐν τῇ ἀνασάσει, λέγοντος τοῦ Υἱοῦ τῷ Θεῷ καὶ Πατρί. Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅμοι ἔδωκεν ὁ Θεός, ὁ πρόσμε τὸν Υἱόν σε εἰπών. Αἴτησαι παρ' ἐμοῦ ὡς γνήσιος, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σε, καὶ τὴν κατάχεσίν σε τὰ πέρατα τῆς γῆς, ποιμανεῖς αὐτοὺς ἐν δυνάμει κραταιᾷ.

Ψαλ. 2.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΡΛΘ'.

Ἐρωτῶσι πολλοὶ τῶν ἀπίστων, οὐ μόνον δὲ ἀλλὰ καί τινες τῶν πιστῶν προσκείμενοι τῇ πολυγαμίᾳ τῇ νομίμῳ, προφέροντες ἡμῖν τὸ τοῦ Κυρίε λόγιον, τὸ φάσκον. Ὅτι οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι. τί οὖν χρὴ ἡμᾶς πρὸς αὐτοὺς περὶ τούτε ἀποκρίνεσθαι;

Ματ. 5.

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Ἐν πολλοῖς καὶ διαφόροις τόποις ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ φαίνεται, τῷ καταπαυσιν τοῦ νόμε ἡμᾶς διδάσκων. Ὅτι ὁ νόμος, καὶ οἱ Προφῆται ἕως Ἰωάννε. Καὶ πάλιν φησὶ πρὸς Ἰουδαίους. Ὅτι ἀρθήσεται ἀφ' ὑμῶν ὁ ἀμπελὼν, τουτέστιν, ἡ νομικὴ γεωργία καὶ λατρεία,

Λουκ. 16. Ματθ. 21.

καὶ

καὶ δοθήσεται ἔθνει ποιοῦντι τὸν καρπὸν αὐτοῦ. καὶ, Ἑλεύσονται οἱ Ρωμαῖοι, καὶ ἀροῦσιν ὑμῶν τὴν πόλιν, καὶ τὸ Βασίλειον. καὶ, Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. Καὶ πάλιν, ὅτε λέγει τοῖς Μαθηταῖς. Τοῦτό με ἐστὶ τὸ Αἷμα τὸ τῆς καινῆς Διαθήκης, εὔδηλον, ὅτι ἀπεβάλετο τὴν παλαιὰν θυσίαν. Ὅτε δὲ λέγει πρὸς Ἰουδαίους. ὅτι, Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, εἴπερ ὑπεδύσατε εἰς ἐμὲ διὰ τὸ νόμε καὶ τῶν Προφητῶν προκηρυχθέντα. Ἐπειδὴ δὲ ἐμὲ τὸν νομοθέτην θανάτῳ κατεκρίνατε, ὑμεῖς λοιπὸν κατελύσατε τὸν νόμον καὶ τὰς Προφήτας. Πλὴν ὅτι καὶ πρὸ τῆς ὑποδημίας τὸ Χριστὸ φαίνεται ὁ Θεὸς τὴν καταπαυσιν τῆς νομικῆς λατρείας δηλώσας, διὰ πάντων μὲν τῶν Προφητῶν, μάλισα δὲ διὰ Ἱερεμίε ἐναργῶς εἰπών. Ἰδοὺ ὤμοσα τῷ ὀνόματί με τῷ μεγάλῳ, λέγει Κύριος Παντοκράτωρ, εἰ ἔσαι τὸ λοιπὸν ὀνομαζόμενον τὸ Ὄνομά με ἐν παντὶ στόματι Ἰουδα. Εἰδὲ τὸ Ὄνομα αὐτοῦ εἶπε θέλειν ὑπὸ Ἰουδαίων, εὔδηλον λοιπὸν, ὅτι καὶ τὸν νόμον.

Ἰω. 11. Λουκ. 13. Ματθ. 26. Ματ. 5. Ἱερ. 44. Ματθ. 15.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΡΜ'.

Ε'άν τις ἐν ἐρήμῳ, ἢ αἰχμαλωσίᾳ ὑπάρχων, ὑπὸ σονώσεως καὶ λιμοῦ γένηται χρεῶν καμάτε, ἢ ὄνε ἀχρείε, ἢ ἄλλε τῶν τοιούτων, νέμα ἑαυτῷ λογίζεται, ἢ ὄ;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Ἐγὼ, ὡς νομίζω, ἐάν τις φυλάξῃ τὴν Πίσιν τοῦ Χριστοῦ καλῶς, καὶ τὰς λοιπὰς ἐντολὰς αὐτοῦ, ἃ κατακρίνεται ἐν ἡμέρᾳ κρίσεως περὶ τοιούτε κεφαλαίε. Τῷ δὲ ἀντιλέγοντι ἀπολογεῖται ὁ εἰπὼν, ὅτι, Οὐ τὰ εἰσερχόμενα διὰ τοῦ σόματος κοινοῖ τὸν ἄνθρωπον. μάλισα τοῖς ἐν ἀνάγκαις καὶ σονώσει διάγουσιν. ὧν τὴν βίαν, καὶ τὸν κλαυθμὸν, (καὶ τὴν πείσασιν καὶ τὸν σκοτισμὸν) μόνος ὁ ἀκοίμητος τοῦ Θεοῦ ὀφθαλμὸς ὁρᾷ καὶ ἐπίσαται, ὁ καὶ πλάσας, καὶ παιδεύσας καὶ διδαξὰς αὐτὸς, καὶ ἐν τάχει ἐπισκέψεται ἀνατολὴ ἐξ ὕψες, ἐπιφανῶσαι τοῖς ἐν σκότει, καὶ σκιᾷ θανάτε καθημένοις, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίε ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΡΜΑ'.

Ε'άν τις ἐρίζῃ παρ' ἑαυτῷ ὅπερ νομίζει καλὸν ὂν, ἢ ἀπέχεσθαι οἴνου, ἢ κρέατος, ἢ γυναικὸς ἰδίας πρὸς χρόνον, ἢ ἄλλοτι ποιῶν, εἶτα μὴ ἰσχύσῃ πληρῶσαι τὴν ἰδίαν συντυχήν, ἀλλ' ὀλιγωρήσῃ, τί ὀφείλει ποιῆσαι;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Πρῶτον μὲν καταγνῶναι τῆς ἰδίας ἀσθενείας, καὶ παλαιπωρίας, ὡς ὑπερισχυσάσης, καὶ μὴ πληρωσάσης. ἔπειτα καὶ ἔστιν δίκη εἰς αὐτὸ τοῦτο ἐν τῇ Εὐχολογίῳ, λύσασα διὰ τοῦ Ἱερέως τὸν δεσμήσαντα ἑαυτόν. οἱ γὰρ Ἱερεῖς ἔχουσι παρὰ Θεοῦ ἐξουσίαν, καὶ δῆσαι καὶ λῦσαι ἐν Οὐρανῷ, καὶ ὧδε τῆς γῆς. Ω'σαύτως καὶ πάλιν, ἐὰν κακόν τί ποτε παρὰ τὴν ἐντολὴν τοῦ Θεοῦ ὁμώσῃ ἄνθρωπος ποιῆσαι, λύεται παρὰ τῆς ἑαυτοῦ μετανοίας, καὶ παρὰ τῆς δίκης τοῦ Ἱερέως. Ο' ἐν Πέτρος ὁμόσας, ὡς ἐνόμιζε καλῶς, ὅτι ἐ μὴ νίψεις τοὺς πόδας μου, ὁ Χριστὸς ἔπιγνους, ὅτι κακῶς ὤμοσεν, ἀθέως τὸν ὅρον ἔλυσεν. ὁ δὲ Ἡρῴδης ὀμόσας ὅτι κακῷ, καὶ ὁμώσας ὅτι τῆς Ἡρωδιάδος, σήσας τὸν ἴδιον ὅρκον εἰς ἀπώλειαν γέγονε. Διὰ τοῦτο καλὸν, μήτε εἰς ἀγαθὸν μήτε εἰς πονηρὸν δεσμεῖν ἑαυτόν. ὅπου γὰρ δεσμὸς, ἐκεῖ καὶ παράβασις, οἷον καὶ ὅτι τοῦ Ἀδὰμ γέγονεν.

Ιω. 13.
Ματ. 14. Μάρ. 6.
Γεν. 3.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΡΜΒ'.

Πῶς φησὶν ὁ Ἀπόστολος ποτὲ μὲν, Μὴ γίνεσθε ἄφρονες, ποτὲ δὲ, Μὴ γίνεσθε φρόνιμοι παθ' ἑαυτούς;

Πρὸς Ε'φ. 5.
Πρὸς Ρ'ωμ. 12.

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Ε'Καστον πρόσαγμα ἴδιον ἔχει τὸν ὅρον. Τὸ μὲν, Μὴ γίνεσθε ἄφρονες, ὑπαφέρει· ἀλλὰ σωφρόνητε, τί τὸ θέλημα τοῦ Θεοῦ. καὶ τὸ, Μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ, φοβοῦ δὲ τὸν Κύριον, ἔκκλινον ἀπὸ παντὸς κακοῦ. Ω'σε ἄφρων μέν ἐστιν, ὁ μὴ σωιῶν τὸ θέλημα τοῦ Θεοῦ, φρόνιμος δὲ παρ' ἑαυτῷ πᾶς ὁ λογισμοῖς ἰδίοις χρώμενος, καὶ μὴ κατὰ πίστιν στοιχῶν τοῖς ῥήμασι τοῦ Κυρίου, καὶ αἰχμαλωτίζων πᾶν νόημα εἰς τὴν ὑπακοὴν αὐτοῦ.

Πρὸς Κορ. β'. 10.

Ε'ΡΩ'-

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΡΜΓ'.

Τοῦ Ἀποστόλου λέγοντος· Ω'σπερ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται· Διατί ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκοντες παραχρῆμα δίκην, ἐν δὲ τῷ Χριστῷ ζωοποιηθεὶς ὁ ἐμὸς πατὴρ τῆς ἰδίας πλημμελείας, οὐ μετέδωκέ μοι τῆς καθαρότητος;

Πρὸς Κορ. α. 15.

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Ε'ξεπᾶσαι χρὴ, πῶς εἰς ἡμᾶς ὁ Προπάτωρ παρέπεμψε τὸν ἐπονεχθεῖσαν αὐτῷ διὰ τὴν παράβασιν δίκην. Η'κουσον, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. καὶ φθαρτὸς ἐξ ἀφθάρτου γέγονε, καὶ ὑπωφείλετο τοῖς τοῦ θανάτου δεσμοῖς. Ε'πειδὴ δὲ εἰς τοῦτο πεσὼν ἐπαιδοποίησεν, οἱ ἐξ αὐτοῦ γεγονότες ὡς ἀπὸ φθαρτοῦ φθαρτοὶ γεγόναμεν. Οὕτω γεγόναμεν τῆς ἐν Ἀδὰμ κατάρας κληρονόμοι. Οὐ γὰρ πάντως ὡς σὺ ἐκείνῳ παρακούσαντες τῆς θείας ἐκείνης ἐντολῆς τετιμωρήμεθα. Ἀλλ' ὅτι, ὡς ἔφην, θνητοὶ γεγονότες, εἰς τὸ ἐξ αὐτοῦ σπέρμα παρέπεμψε τὸν ἁμαρτίαν. θνητοὶ γὰρ γεγόναμεν ἐκ θνητοῦ. Ο' δὲ γε Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, χρηματίσας δεύτερος Ἀδὰμ, καὶ ἀρχὴ τοῦ γένους ἡμῶν, ἀνεμόρφωσεν ἡμᾶς εἰς ἀφθαρτίαν, καὶ λέλυται τῆς ἀρχαίας ἀρᾶς ἡ δύναμις ἐν αὐτῷ. ὅθεν φησίν. Ω'σπερ διὰ ἀνθρώπου ὁ θάνατος, οὕτω καὶ διὰ ἀνθρώπου ἀνάστασις ζωῆς. Οὐκοῦν ἡ καθόλου καὶ χρικωτάτη δίκη διὰ τῆς ἐν Ἀδὰμ παραβάσεως, φθορὰ καὶ ὁ θανάτου ὄξυς. ὁμοίως (καὶ ἐν τῷ Χριστῷ) ἡ καὶ πάντων καὶ χρικωτάτη λύσις τελεῖται. ἀπεδύσατο γὰρ ἐν αὐτῷ ἡ ἀνθρώπου φύσις τὸν ἐπιρριφέντα αὐτῇ θάνατον, διὰ τὸ χρεὼν εἶναι ἐκ φθορᾶς ἄνθρωπον τὸν πρῶτον ἄνθρωπον. Ο' δὲ ἕκαστος ἡμῶν πατὴρ κἂν ἁγιασθῇ διὰ τοῦ Ἁγίου Πνεύματος, καὶ κομίσηται τὴν πλημμελημάτων τὴν ἄφεσιν, οὐ παραπέμψει εἰς ἡμᾶς τὸ δῶρον. Εἷς γάρ ἐστιν ὁ πάντας ἁγιάζων ἡμᾶς εἰς ἀφθαρσίαν, ὁ Κύριος ἡμῶν, καὶ εἰς πάντας ἐν ἴσῳ δι' αὐτοῦ τὸ δῶρον ἔρχεται. Ε'τερον δὲ ἐστὶν ἁμαρτίας ἄφεσις, καὶ ἕτερον θανάτου λύσις. καὶ ἕκαστος μὲν τῶν ἰδίων πλημμελημάτων κερδαίνει τὴν ἄφεσιν ἐν Χριστῷ, διὰ τοῦ Ἁγίου Πνεύματος. Κοινῇ δὲ ἅπαντες ἀπαλλαττόμεθα τῆς ἀρχαίας φθορᾶς καὶ δίκης. ἐβασίλευσε γὰρ ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως. μέχρι νόμου κεκράτηκεν ἡ τοῦ θανάτου δίκη.

Γεν. 3.

Πρὸς Ρ'ωμ. 5.

Συνοδικὸν Κεφάλαιον τῆς ἐν Καρθαγένῃ ρϞ'. καὶ ρί.

Ο'Μοίως ἤρεσεν, ἵνα ὅστις τὰ μικρὰ καὶ νεογέννητα βαπτιζόμενα ἀρνεῖται, ἢ λέγει, μὴ βαπτίζεσθαι αὐτὰ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ κάθαρσιν τῆς προγονικῆς ἁμαρτίας, ἀνάθεμα ἔστω. Ε'πεὶ καὶ ἄλλως δὴ νοῆσαι τὸ, Δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν Κόσμον, καὶ διὰ

Πρὸς Κορ. α. 15.

Πρὸς Ρ'ωμ. 5.

τῆς ἁμαρτίας ὁ θάνατος, καὶ ὅπως εἰς πάντας ἀνθρώπους εἰσῆλθεν, ἐν ᾧ πάντες ἥμαρτον, εἰμὴ ὃν ξόπον ἡ Καθολικὴ Ἐκκλησία ἐνόησε. Διὰ τοῦτο γὰρ καὶ οἱ μικροὶ οἱ μηδὲν ἁμαρτήσαντες εἰς ἑαυτὸς ἔτι πλημμελεῖν δυνάμενοι, εἰς ἄφεσιν ἁμαρτιῶν ἀληθῶς βαπτίζονται, ἵνα καθαρθῇ ἐν αὐτοῖς, διὰ τῆς παλιγγενεσίας, ὅπερ εἴλκυσαν διὰ τῆς ἀρχαιογονίας.

ΕΡΩΤΗΣΙΣ, ΡΜΔ.

Τί δήποτε ἔτε πλείονα, ἔτε ἐλάττονα εἰσὶ τὸν ἀριθμὸν τὰ Εὐαγγέλια, εἰμὴ τέσσαρα;

ΑΠΟΚΡΙΣΙΣ.

Ἐπειδὴ γὰρ τέσσαρα εἰσὶ κλίματα τοῦ Κόσμου, ἐν ᾧ ἐσμὲν, καὶ τέσσαρα καθολικὰ πνεύματα, κατέσπαρται δὲ ἡ Ἐκκλησία ὅλῃ πάσης τῆς Γῆς, σύλος δὲ καὶ στήριγμα Ἐκκλησίας τὸ Εὐαγγέλιον, καὶ Πνεῦμα ζωῆς, εἰκότως τέσσαρας ἔχειν αὐτὸ σύλας, πανταχόθεν πνέοντας τὴν ἀφθαρσίαν, καὶ ἀναζωπυροῦντας τοὺς ἀνθρώπους ἔδει. Ἐξ ὧν φανερὸν, ὅτι ὁ τῶν ἁπάντων Τεχνίτης Λόγος, ὁ καθήμενος ὅπι τῶν Χερουβὶμ, καὶ συνέχων τὰ πάντα, φανερωθεὶς τοῖς ἀνθρώποις, ἔδωκεν ἡμῖν τετράμορφον τὸ Εὐαγγέλιον, σὺ δὲ πνεύματι συνεχόμενον, καθὼς ὁ Δαβὶδ αἰνίττεται αὐτὸ τὴν παρουσίαν φησίν. Ὁ καθήμενος ὅπι τῶν Χερουβὶμ ἐμφάνηθι. Καὶ τὰ Χερουβὶμ τετράπροσωπα, καὶ τὰ πρόσωπα αὐτῶν εἰκόνες τῆς ὡραιότητος τοῦ Υἱοῦ τοῦ Θεοῦ. Τὸ μὲν γὰρ πρῶτον φησὶ ζῶον, ὅμοιον Λέοντι, τὸ ἔμψυχον αὐτοῦ καὶ ἡγεμονικὸν, καὶ Βασιλικὸν χαρακτηρίζον. Τὸ δεύτερον ὅμοιον Μόσχῳ, τὴν Ἱερουργικὴν, καὶ Ἱερατικὴν Τάξιν ἐμφαῖνον. Τὸ δὲ τρίτον ἔχον πρόσωπον Ἀνθρώπου, τὴν καὶ ἀνθρωπον αὐτοῦ παρουσίαν φανερώτατα διαχαράττον. Τὸ δὲ τέταρτον, ὅμοιον Ἀετῷ πετωμένῳ, τὴν τοῦ Πνεύματος ὅπι τὴν Ἐκκλησίαν ἐφιπταμένην δόσιν σαφηνίζον. Καὶ τὰ Εὐαγγέλια ἐν τούτοις σύμμορφα, ἐν οἷς ἐγκαθέζεται Χριστός. Τὸ μὲν γὰρ κατὰ Ἰωάννην, τὴν ὁπὸ τοῦ Πατρὸς ἡγεμονικὴν αὐτοῦ, καὶ ἔνδοξον Γενεὰν ἐνδιηγεῖται λέγων· Ἐν ἀρχῇ ἦν ὁ Λόγος. Τὸ δὲ κατὰ Λουκᾶν, ἅτε Ἱερατικὸν χαρακτῆρος ὑπάρχον, ἀπὸ Ζαχαρίου τοῦ Ἱερέως θυμιῶντος τῷ Θεῷ ἤρξατο. Ἤδει γὰρ, ὅτι σιτδυτὸς ἑτοιμάζεται Μόσχος, ὑπὲρ τῆς αἱρέσεως τοῦ νεωτέρου παιδὸς μέλλων θύεσθαι. Τὸ δὲ κατὰ Ματθαῖον, τὴν καὶ ἄνθρωπον αὐτοῦ Γένεσιν κηρύττει λέγων· Βίβλος Γενέσεως Ἰησοῦ Χριστοῦ, Υἱοῦ Δαβὶδ, Υἱοῦ Ἀβραάμ. Τὸ δὲ κατὰ Μάρκον, ἀπὸ τοῦ Προφητικοῦ Πνεύματος τοῦ ἐξ ὕψους ὄντος τοῖς ἀνθρώποις τὴν ἀρχὴν ἐποιήσατο, λέγων. Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ, ὡς γέγραπται ἐν Ἡσαΐᾳ τῷ Προφήτῃ. Καὶ αὐτὸς δὲ ὁ Λόγος τοῦ Θεοῦ,

Ψαλμ. 79.

Ἰεζ. 1.

Ἰωάν. 1.

Λουκ. 1.

Ματ. 1.

Μάρ. 1.

τοῖς

τοῖς μὲν πρὸ Μωϋσέως Πατριάρχαις καὶ τὸ Θεϊκὸν καὶ ἔνδοξον ὡμίλει, τοῖς δὲ ἐν τῷ Νόμῳ Ἱερατικῷ Τάξιν ἀπέστειλε. Μετὰ δὲ ταῦτα Ἄνθρωπος γενόμενος, τὸν Δωρεὰν τοῦ Ἁγίου Πνεύματος εἰς πᾶσαν ἐξέπεμψε τὴν Γῆν, σκεπάζων ἡμᾶς ταῖς αὐτοῦ πτέρυξιν. Οἷα ἂν ἡ τετραμερεία τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοιαύτη καὶ τῶν ζώων ἡ μορφή. καὶ ὁποία ἡ τῶν ζώων μορφὴ, τοιοῦτος καὶ ὁ χαρακτὴρ τοῦ Εὐαγγελίου. Τετράμορφα γὰρ τὰ ζῶα, τετράμορφον καὶ τὸ Εὐαγγέλιον, καὶ ἡ τετραμερεία τοῦ Κυρίου. Καὶ διὰ τοῦτο τέσσαρες ἐδόθησαν καθολικαὶ Διαθῆκαι τῇ ἀνθρωπότητι. Μία μὲν τοῦ Κατακλυσμοῦ τοῦ Νῶε ὅπι τοῦ Τόξου. Δευτέρα δὲ τοῦ Ἀβραὰμ ὅπι τὸ σημεῖον τῆς Περιτομῆς. Τρίτη δὲ ἡ τῆς Νομοθεσίας διὰ Μωϋσέως. Τετάρτη δὲ ἡ τοῦ Εὐαγγελίου, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Τύπων δὲ ὄντως ἐχόντων, μάταιοι πάντες καὶ ἀμαθεῖς, προσέτι δὲ καὶ τολμηροὶ, ἀθετοῦντες τὴν ἰδέαν τοῦ Εὐαγγελίου. Καὶ εἴτε πλείονα, εἴτε ἐλάττονα τῶν εἰρημένων παρεισφέροντες Εὐαγγελίων πρόσωπα, οἱ μὲν ἵνα πλείονα δόξωσι τῆς ἀληθείας ἐξευρηκέναι, οἱ δὲ ἵνα τὰς Οἰκονομίας τοῦ Χριστοῦ ἀθετήσωσι.

ΕΡΩΤΗΣΙΣ, ΡΜΕ.

Τί γέγονεν ἡ προτυπωθεῖσα τοῦ Κυρίου ἀπροβυσία;

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ πάπυσαν καὶ ἡμῖν οἱ τῶν ἀθύλων καὶ ἀγεάφων, καὶ σεσιωπημένων περιεργαζόμενοι, τίνος εἵνεκα ἐφ' ὑψηλοῦ τοῦ ἰκρίου θύεται Χριστὸς, καὶ οὐχ ὑποστέγου; ἢ πάντως ἵνα τοῦ ἀέρος τὴν φύσιν καθάρῃ; Καὶ ὥσπερ τὸ ἄχραντον αὐτοῦ Αἷμα μετὰ τοῦ ὕδατος ἐν τῷ καιρῷ τοῦ Πάθους ἐκάθηρε τὴν Γῆν σάρξαν ἐν αὐτῇ, οὕτω καὶ ἡ προτυπωθεῖσα ἀπροβυσία καπυρωθεῖσα, παύτην ὑγίασε. Πάντως δὴ καὶ οἷς οἷδε λόγοις ὁ ἐνσάρκως προτυπωθεὶς ἐφύλαξε τὸ προτυπωθὲν, ὅπως καὶ τὸν καιρὸν τῆς ἀνασάσεως αὐτοῦ, καὶ καὶ τοῦτο ἀνελλιπῶς ἔχων αὐτὸ ἀνασῇ, πλήρης ὑπάρχων καὶ ἄφθαρτος ὅλος τῷ Σώματι. καὶ γὰρ καὶ ἡμεῖς ἐν τῇ ἀνασάσει τὸ ἡμέτερον σῶμα πλήρες ἀπολυφόμεθα.

ΕΡΩΤΗΣΙΣ, ΡΜς.

Τίνες ὑπῆρχον, ὧν τὸ αἷμα μετὰ τῶν θυσιῶν ἔμιξεν ὁ Πιλάτος; Λουκ. 13.

ΑΠΟΚΡΙΣΙΣ.

Οἱ Γαλιλαῖοι, οἳ καὶ τοῖς δόγμασιν ἐξακολουθήσαντες Ἰούδα τοῦ Γαλιλαίου, ὃς καὶ Λευπᾶς ἐν ταῖς πράξεσι τῶν Ἀποσόλων μέμνηται. Ἦν δὲ δόγμα τοῦ Ἰούδα, ὡς καὶ Ἰώσηπος ἐν τοῖς τελευταίοις τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας ἔδειξε, φαντασίαν ἐξαγγέλλον πολλῷ προφάσει δῆθεν εὐσεβείας,

βείας, Κύριον δὲ μηδὲ μέχρι σώματος ἔφασκε δεῖν τινα λέγειν, μήτε κῆ τιμὴν, μήτε κῆ φιλοσωφροσύνην. Καὶ πολλοίγε αὐτῶν ἕως τοῦ μὴ εἰπεῖν Καίσαρα Κύριον, χαλεπωτάτας αἰτίας ὑπέμειναν, οἱ κῆ ἐδίδασκον, μηδὲ ἕως τὰς ἑλληνομυθίας ἐν τῷ Μωϋσέως νόμῳ θυσίας ἀναφέρεσθαι τῷ Θεῷ. ὅθεν κῆ ἐκώλυον τὰς ὑπὸ τῆς γερουσίας τοῦ λαοῦ ἕως δεδεδομένας γίνεσθαι περὶ τῆς σωτηρίας τοῦ βασιλέως, καὶ τῶν Ῥωμαίων ἔθνους θυσίας. Εἰκότως οὖν ὅπου τοίνυν ἀγανακτοῦντα πρὸς Γαλιλαίους τὸν Πιλάτον, κελεύσαντα ἕως τὰς θυσίας, αἷς ἐδόκουν κῆ τὸν νόμον ἀναφέρειν, ἀναιρεθῆναι, ὥστε ἀναμιχθῆναι ταῖς προσφερομέναις θυσίαις τὸ αἷμα τῶν προσφερόντων.

ΕΡΩΤΗΣΙΣ, ΡΜΖ'.

Πῶς πᾶσα βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, ἡ δὲ τοῦ Πνεύματος οὐκ ἀφεθήσεται;

ΑΠΟΚΡΙΣΙΣ.

ΠΟλλὰ γάρφησι, κατ' ἐμοῦ εἰρήκατε. ὅτι πλάνος εἰμί, καὶ ἀντίθεος. ταῦτα οὖν φημὶ ὑμῖν, οὐκ ἀπαιτῶν δίκην ὑμᾶς. Ἔσω γάρ. Ἐμοὶ ἕως παίετε διὰ τοῦ σάρκα, ὃν ἔλαβον. Διατί καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον ἁμαρτάνετε; Μὴ γάρ κῆ ἐμὲ ἔχετέ τι εἰπεῖν, ὅτι ἀγνοοῦμεν αὐτό; ἀλλ' ἵνα τοῦτο κολασθήσεσθε, κῆ ἐκεῖ. Ὅσα μὲν οὖν ἐβλασφημήσατε κατ' ἐμοῦ φησι, πρὸ τοῦ Πάθους, ἀφίημι ὑμῖν, καὶ αὐτὸ δὲ τὸ Σταυρὸν τὸ τόλμημα. ὅσα δὲ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον ἁμαρτάνετε, ἐὰν μὴ μετανοήσητε, κῆ ὧδε κολασθήσεσθε, κῆ ἐκεῖ. Καὶ γὰρ οἱ μὲν ἀνθρώπων, κῆ ἐνταῦθα κολάζονται, κῆ ἐκεῖ, ὡς οἱ Σοδομῖται, κῆ ἕτεροι αὐτοί. Καὶ γὰρ κῆ ἐνταῦθα ἔδωκαν δίκην, ἡνίκα ἔπαθον τὰ αἰνέσχατα ἐκεῖνα τῆς πόλεως αὐτῶν ἁλώσης, κῆ ἐκεῖ χαλεπωτάτην ὑπομένουσιν. Οἱ δὲ, ἐκεῖ μόνον, ὡς ὁ πλάσιος. Οἱ δὲ, ἐνταῦθα μόνον, ὡς ὁ πεπορδυκὼς ἕως Κορινθίους. Οἱ δὲ, ἔτε ἐνταῦθα, ἔτε ἐκεῖ, ὥστινες Προφῆται, κῆ Ἀπόστολοι.

Λεκ. 16. Πρὸς Κορ. α'. 5.

Βασιλείου ἐκ τῆς Ἀσκητικῶν.

ΕΚεῖνος βλασφημεῖ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, ὁ τὰς ἐνεργείας κῆ τὰς χάριτας τοῦ Ἁγίου Πνεύματος τὸ ἐναντίον ὀνομάζων· ὅπερ πάσχομεν οἱ πολλοί· τὸν μὲν ἀσεβῆ πολλάκις ῥιψοκινδύνως κενόδοξον καὶ νόθον ἀποκαλοῦντες· τὸν δὲ ζῆλον ἀγαθὸν ὀπαδὸν ἀκαίρως ὀργίλον. καὶ πολλὰ τοιαῦτα ἐν ὑπονοίαις καταψευδόμεθα.

ΕΡΩΤΗΣΙΣ, ΡΜΗ'.

Πῶς νοητέον ὃ εἶπεν ὁ Κύριος· Ἐὰν μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται· ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς; Ἰωά. 16.

ΑΠΟΚΡΙΣΙΣ.

ΔΙὰ μὲν τοῦ ἐμφυσήματος ἐξουσίαν, καὶ χάριν πνευματικὴν παρέχει αὐτοῖς πρὸς τὸ ἀφιέναι ἁμαρτήματα. ἐπάγει γάρ. Ἀντινῶν ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται, ἀντινῶν κρατῆτε, κεκράτηνται. Διὰ δὲ τῆς ἐπιφοιτήσεως τῆς ἐν τῇ Πεντηκοστῇ, τὴν τοῦ βαπτίσματος αὐτοῖς χάριν, καὶ τὴν τῶν σημείων ἐνέργειαν παρεῖχε. διόφησιν. Ἡμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ, καὶ λήψεσθε δύναμιν ἐπελθόντος ἐφ' ὑμᾶς. Πρὸ μὲν τοῦ πάθους, Πνεύματι Ἁγίῳ τὰς ἰάσεις ἐποίουν οἱ Ἀπόστολοι, ἀλλὰ τῇ παρὰ Χριστοῦ ἐξουσίᾳ, καὶ προσάξει. Οὔπω γάρφησιν, ἦν Πνεῦμα Ἅγιον, ὅτι Ἰησοῦς ἐδόξασθη, δεδόξασται δὲ, ἐγηγερμένος ἐκ νεκρῶν. Ἰωά. 7.

Εὐσεβίου ἐκ τῆς πρὸς Μαρῖνον.

ΤΟ' μὲν ὑπὸ τοῦ Χριστοῦ ἐμπνευσθὲν Πνεῦμα ἅγιον τοῖς Ἀποστόλοις, λυτικὸν καὶ συγχωρητικὸν ἦν πάσης ἁμαρτίας. τὸ δὲ ἐπαγγελτὸν, τὸ βαπτίζεσθαι αὐτοὺς ἁγίῳ Πνεύματι, καὶ μεταχεῖν δυνάμεως ἐνεργημάτων, ἐνεργητικῶς μὲν τῶν μελλόντων δι' αὐτῶν ἀποτελεῖσθαι θαυμάτων, ἐνστατικῶς δὲ καὶ μαρτυρικῶς τῶν μελλόντων αὐτοῖς ἐπαίρεσθαι κινδύνων. Πρὸ γὰρ ταύτης τῆς δυνάμεως κηρύττειν αὐτοὺς τοῖς ἔθνεσιν οὐκ ἐβούλετο, ἀλλ' ἐνδέχεσθαι καὶ φέρειν αὐτοὺς ἐξ ὕβρεως μεταχεῖν. Τοῦτο δὲ καὶ ὁ Ἀπόστολος τὸ χάρισμα ἰδίως ἀφορίζων τῶν λοιπῶν ἐνεργειῶν τοῦ ἁγίου Πνεύματος, ἐδίδασκε λέγων. Ἄλλῳ δὲ ἐνεργήματα ἐνεργητικῆς δυνάμεως. καὶ ἡ προφητεία φησί. Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. Ἧς δυνάμεως ὅτε μήπω μετεῖχον, ἡρνήσαντο αὐτὸν πάντες, καὶ ἐσκανδαλίσθησαν κῆ τὸν καιρὸν τοῦ Πάθους. Οὗτε δὲ μετέχον αὐτῆς, πάντες ἐπέστρεψαν τῶν ὑπὲρ αὐτοῦ μαρτυρίαις τε καὶ ὁμολογίαις. ἀνακαινίζων γὰρ τὸ ἀνθρώπινον ὁ Κύριος, καὶ ἵν' ἀπώλεσε χάριν ἐν τῷ Θεῷ, ταύτην πάλιν ἀποδιδοὺς, ἐνεφύσησεν εἰς τὰ πρόσωπα αὐτῶν τῶν Μαθητῶν λέγων· Λάβετε Πνεῦμα Ἅγιον. Πρὸς Κορ. α'. 12. Ψαλ. 67. Ἰω. 20.

ΕΡΩΤΗΣΙΣ, ΡΜΘ'.

Τίς ἐστὶν ὁ κριτὴς τῆς ἀδικίας;

ΑΠΟΚΡΙΣΙΣ.

Ψαλ.7. Ψαλμ. 74. Ψαλμ. 86. Προς Ἑβ.12. Λκ.18. ΛΕγέτω Δαβίδ. Ὁ Θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρὸς, καὶ μακρόθυμος, καὶ ὅτι, ἔστε ἀπὸ ἐξόδων, ἔστε ἀπὸ δυσμῶν, ἔστε ἀπὸ ἐρήμων ὀρέων, ὅτι ὁ Θεὸς Κριτὴς ἐστί. Κριτίστις ἰῶ σὺτινι πόλει. ποίᾳ πόλει, ἢ τῇ Ἐκκλησίᾳ τῦ Θεῦ; ἄυτη ἡ πόλις μίμημά ἐζι. Δεδοξασμένα ἐλαλήθη περὶ σᾶ ἡ πόλις τῦ Θεῦ. ἄυτη ἡ πόλις μίμημά ἐζι τῆς ἐρημίᾳ Πόλεως, ἧς φησιν ὁ Ἀπόσολος. Ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, Θεῦ ζῶντος Ἱερσαλὴμ ἐπερανίῳ. Κριτίστις ἰῶ, μήτε τὸν Θεὸν φοβέμενος, μήτε ἄνθρωπον ἐντρεπόμενος. Ὁ γὰρ Θεὸς ἔτε Θεὸν ἔχει, ὃν φοβηθήσεται, ἔτε ἄνθρωπον, ὃν ἐντραπήσεται. προσωπολημψία γὰρ παρ' ἄυτῳ ἐκ ἔστι. Χήρα δέ τις ἰῶ ἐν τῇ πόλει ἐκείνῃ. Πᾶσα γὰρ ψυχὴ Ἐκκλησιαστικὴ, ποτὲ μὲν τὸν διάβολον ἄνδρα ἔχουσα, καὶ αὐτὸν ἀποῤῥίψασα, καὶ Χριστὸν ἐνδεδυσαμένη, χήρα τυγχάνει. καὶ δεῖται καθ' ἑκάστην ἡμέραν καὶ νύκτα τῦ Κριτῦ, λέγουσα, ἐκδίκησόν με ἀπὸ τῦ ἀντιδίκε μου. Τίς δέ ἐζιν ὁ ἀντίδικος, καθ' ὃ ἐντυγχάνομεν πάντοτε; λέγετω Πέτρος. Τεκνία, γρηγορεῖτε, ὅτι ὁ ἀντίδικος ἡμῶν διάβολος, ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τίνα καταπιεῖν. ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει. Τί δὲ εἶπεν ὁ Κριτής; Εἰ καὶ τὸν Θεὸν ἐ φοβᾶμαι, ἔτε ἄνθρωπον ἐντρέπομαι, ἀλλ' ἔνεκε κόπε κάσας ἐκδικήσω αὐτὸν, ἵνα μὴ ἐρχομένη ὑπωπιάζῃ με. καὶ ὑπέφερεν ὁ Κύριος λέγων. Ἀκέετε, τί λέγει ὁ κριτὴς τῆς ἀδικίας, καὶ ἐ δικαιοσύνης; Κριτής ἐζιν ἀδίκων. Δικαίῳ γὰρ νόμος ἐ κεῖται.

Πέτ.ά. 5.

ΕΡΩΤΗΣΙΣ, ΡΝ'.

Πῶς νοητόν, Ὁ ἔχων ἱμάτιον πωλησάτω αὐτὸ, καὶ ἀγορασάτω μάχαιραν;

Λκ.22.

ΑΠΟΚΡΙΣΙΣ.

ΤΗν κατ' αὐτῦ ἔφοδον τῷ Ἰεδαίων γνωρίσαι τοῖς Ἀποσόλοις ὁ Κύριος βελόμενος, δι' αἰνίγματος τῆς μαχαίρας ἐδήλωσεν. εἰπὼν γὰρ, Ἀγορασάτω μάχαιραν, ἐπήγαγεν. Ὅτι δεῖ τὰ γεγραμμένα περὶ ἐμῦ τελεσθῆναι, ὅτι καὶ μετὰ ἀνόμων ἐλογίσθη. Οὔτε ἂν τελείως παρεσιώπησεν, ἵνα μὴ τῇ ἀθρόᾳ ἐφόδῳ παραχθῶσιν, ἔτε πάλιν τελείως ἐγνώρισεν, ἵνα μὴ δειλίᾳ τινὶ καταχεθῶσιν. Εἰπόντων δὲ τῶν Μαθητῶν· Ἰδὲ ὧδε μάχαιραι δύο, καὶ τὸ λεχθὲν μὴ σωνιέντων, αὐτός φησιν. ἱκανόν ἐζι. καί τοι ἂν ἰῶ ἱκανόν. Εἰ μὲν γὰρ ἀνθρωπίνη βοηθεία κεχρῆσθαι αὐτὸς ἐβέλετο, ἀδὲ εἰ ἑκατὸν ἦσαν μάχαιραι, ἱκανὸν ἰῶ. εἰ δὲ μὴ τῦτο, καὶ αἱ δύο περιττοί. Καὶ ὅμως, ἂν ἐξήλειψε τὸ αἴνιγμα. Καὶ γὰρ πολλαχῦ φαίνεται τῦτο ποιῶν. ἐπειδὰν δὲ μὴ νοήσωσι τὸ λεχθὲν, διαβρέχει τῦτο, καὶ ἀφίησι τῇ τῦ γραμμάτων ἐκβάσει τὸ μυστήριον, τῷ καταπόντισιν τῦ εἰρημένων ὑπερέπειν λοιπὸν, ὥσπερ καὶ ὅτε εἶπε· Λύσατε τὸν ναὸν τῦτον τῦ Θεῦ. Ἰωά.2.

ΕΡΩΤΗΣΙΣ, ΡΝΑ'.

Πῶς ὁ φιλῶν τὴν ψυχὴν αὐτῦ ἀπολέσει αὐτήν; Ἰω.12.

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ Μισῶν φιλῶν τὴν ψυχὴν αὐτῦ ἐστὶν, ὁ πᾶς ἀπόπλες ὑπὲρ θυμίας αὐτῆς ποιῶν. ὁ δὲ μισῶν αὐτὴν ἐστὶν, ὁ μὴ ἕπων αὐτῇ τι βλάπτοντα κελεύσῃ. ὁ δὲ θέλων σῶσαι αὐτὴν ἐστὶν, ὁ τὴν ψυχὴν τὸ δέον σωτηρίαν τὴν ἐκ τῶν κινδύνων διαφυγεῖν ἐφιέμενος, ἔτος ἀπολέσει αὐτήν. ὥσπερ αὐτῦ τὴν ἐν τοῖς κινδύνοις γινομένην ἀπώλειαν σωτηρίαν ὠνόμασεν. ἔτος γὰρ, φησὶν, ἀρήσει αὐτὴν εἰς ζωὴν αἰώνιον.

ΕΡΩΤΗΣΙΣ, ΡΝΒ'.

Πῶς νοητέον τὸ τῦ Κυρίε τριήμερον Ταφὴν, καὶ Ἀνάσασιν;

ΑΠΟΚΡΙΣΙΣ.

Σεβήρε Ἀντιοχείας.

ΕΚάσην ἡμέραν ἀφ' ἑσπέρας ἀριθμεῖν εἰώθαμεν, καὶ μετὰ τῆς προλαβέσης νυκτὸς εἰς σὺ σῶμα σωάπτειν. Οὕτω γὰρ καὶ ἐν τῇ Ἐξόδῳ, τὸ Πάσχα, καὶ τὴν τῶν Ἀζύμων ἑορτὴν διατεταγμένος ὁ Μωσῆς ἔφησεν. Ἀρχομένης τῆς τεσσαρες καὶ δεκάτης τῦ πρώτε μηνὸς, ἀφ' ἑσπέρας ἔδεσθε ἄζυμα. Καὶ τὴν ἀρχὴν τῆς ἑξῆς ἡμέρας ἀπὸ τῆς προλαβέσης ἠριθμησεν ἑσπέρας, καὶ τὸ Σαββάτε δὲ τὴν ἀργίαν ἕπω παρέδωκεν. Ὥστε τὴν προλαβέσαν νύκτα, καὶ τὴν ἐφ' ἑξῆς ἡμέραν σχολὴν ἄγειν. Καὶ δηλόσιν οἱ Ἰεδαῖοι μέχρι καὶ σήμερον τῦτο φυλάτοντες. καὶ ὁ τὴν μετὰ τὸ Σάββατον, ἀλλὰ τὴν πρὸ τῦ Σαββάτε νύκτα τῇ ἀργίᾳ καὶ τῇ σχολῇ τιμῶντες. Καὶ ἡμεῖς δὲ τὴν κυριακὴν ἡμέραν, τὴν προλαβέσαν νύκτα τιμῶμεν, ὡς τῇ ἡμέρᾳ τῇ μιᾷ σωαπτομένην, καὶ ὁ τὴν ἑφεξῆς νύκτα. Ἕκασον γὰρ νυχθήμερον εἰ ὡς αὔτις εἴπῃ σῶμα ἐσί. Καὶ ὅπερ αὔτις ποιήσῃ ἐν μιᾷ τῶν εἰκοσιτεσσάρων ὡρῶν, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ πάσῃ λέγεται πεπραχέναι τὸ πρᾶγμα. Οἷον, ὅταν Ἐξοδ. 12.

τις μακρὰν ἀποδημίαν ποιησάμενος, ὡς εἰς τὴν ἰδίαν ἐπιστρέψει παῤῥησίᾳ καὶ πόλιν, ἢ ἐν τῇ δευτέρᾳ, ἢ ἐν τῇ τρίτῃ τῆς Ἑβδομάδος ἡμέρᾳ, ἢ ὥρᾳ, πάντες λέγουσιν, ὡς ὁ δεῖνα τῇ δευτέρᾳ παρεγένετο, ἦγεν τῇ τρίτῃ, καὶ τὴν πᾶσαν ἡμέραν, ἥτις ἐστὶ μία μετὰ τὴν προλαβοῦσης νυκτὸς, τῇ ἐπιδημίᾳ αὐτοῦ προσλογίζονται. Χρὴ οὖν ἐξ ἐκείνου τὸν καιρὸν ἡμᾶς σκοπεῖν τῆς τεσσαρεσκαιδεκαήμερου Ταφῆς τῆς εἰς τὸν Ἅιδου καταβάσεως τοῦ Σαρκωθέντος Θεοῦ Λόγου, ἐξ ὃ καὶ ἀληθείαν γέγονεν ἐν τῇ καρδίᾳ τῆς Γῆς. Γέγονε δὲ μετὰ τὴν ἔκπνευσιν, καταβὰς εἰς τὰ κατώτερα μέρη τῆς Γῆς, ὡς φησὶν ὁ Ἀπόστολος. Ἀπὸ τῆς ἐκπνεύσεως τοίνυν ἀριθμητέον τὰ τρία νυχθήμερα. Γέγονε δὲ ἡ ἔκπνευσις ἐν τῇ ἐννάτῃ ὥρᾳ τῆς Παρασκευῆς, λειπομένων τῶν τριῶν ὡρῶν τῆς ἡμέρας. Ἐπεὶ οὖν ἡ Παρασκευὴ τῇ προλαβούσῃ νυκτὶ συνάπτεται, καὶ τὴν ἐν τῇ Γραφῇ ὡραδεδομένην σωτήριαν, πᾶσαν τὴν τῆς Παρασκευῆς ἡμέραν καὶ νύκτα λογιζόμεθα τὸν Κύριον ἐν τῇ καρδίᾳ τῆς Γῆς πεποιηκέναι. Λοιπὸν δὲ μετὰ τὸ Ἡλίου δύσιν ἀρχὴν λαμβάνει τὸ Σάββατον, καὶ ἡ αὐτοῦ νύξ, ὃν καὶ οἱ Ἰουδαῖοι τῇ ἀργίᾳ τιμῶσι. Ταύτην οὖν ὁ Κύριος πᾶσαν μετὰ τὴν ἐξῆς συμπεμφθεῖσαν ἡμέραν ἐν τοῖς καταχθονίοις πεποίηκε. Τὸ δὲ Σαββάτου ὡραθέντος, καὶ τῇ τοῦ Ἡλίου δύσει περαιωθέντος, ἤρξατο λοιπὸν ἡ νὺξ τῆς Κυριακῆς. Τῇ δὲ νυκτὶ πάλιν καὶ ἡ ἑφεξῆς ἡμέρα, καθ' ὃν καὶ αἱ τῆς Γραφῆς, ἀκολούθως προσλογίζεται, καὶ διαρεθήσεται ὁ Κύριος ἐν τῷ πιστῷ τρίτῳ νυχθημέρῳ τῆς Κυριακῆς ἀναστὰς ἐκ νεκρῶν. Καὶ γὰρ ὁ τοῦ ἀρχοῦ τὸ νυχθήμερον ποιήσας ἐν τῇ καρδίᾳ τῆς Γῆς, τὸ πᾶν πεποιηκέναι ἐκεῖ νυχθήμερον λογισθήσεται. Ἀπὸ μέρους γὰρ τὸ ὅλον γνωρίζεται. Διὰ τοῦτο τοῦ μὲν Παρασκευοῦ ἐκ τοῦ τελευταίου μέρους τοῦ νυχθημέρου πεποίηκεν ἐν τοῖς καταχθονίοις ὁ Κύριος, τοῦ δὲ Κυριακοῦ ἐκ τοῦ μέρους τοῦ πρώτου, τὸ δὲ Σάββατον ὅλον δι' ὅλης τῆς εἰκοσιτεσσάρων ὡρῶν, πεύθους ἀποτελῶν ἡμέραν τοῦ Ἰουδαϊκοῦ ἑορτοῦ.

Πρὸς Ἐφεσ. 4.

ΕΡΩΤΗΣΙΣ, ΡΝΓ.

Εἰ συμφωνοῦσιν οἱ τέσσαρες Εὐαγγελισταὶ περὶ τῆς Χριστοῦ Ἀναστάσεως, ἢ οὔ;

ΑΠΟΚΡΙΣΙΣ.

Τεσσάρων ὄντων τῶν καιρῶν καὶ ὡρῶν καὶ τοσούτων ἀφίξεων, καθ' ἃς καὶ αἱ Γυναῖκες ὅτε τὸ μνῆμα ἦλθον, ἕκαστον Εὐαγγελιστὴν οἷα καιρὸν ὠκονόμησε γράψαι τὸ Πνεῦμα τὸ Ἅγιον. Καὶ ὁ μὲν Ματθαῖος τὰς ὀψὲ Σαββάτων ὡραϊζομένας ὅτε τὸ μνῆμα ἐσόρησε. καὶ Ἄγγελον σὺν κατα-

Ματ. 28.

βεβη-

βεβηκότα ἐξ Οὐρανοῦ, καὶ τὸν λίθον ἀποκυλίσαντα. Ὁ δὲ Ἰωάννης Μαρίαν τὴν Μαγδαληνὴν ἐν τῷ σκότει πρὸ τοῦ ἓω ἐληλυθέναι μόνην συγγέγραφε. καὶ δύο Ἀγγέλους εἶδον τὸ πρῶι θεάσασθαι. Λουκᾶς δὲ ἄλλας κατ' αὐτὸν τὸν ὄρθρον. Μάρκος δὲ ἑτέρας ἀνιχνοῦντας τὸ Ἥλιου, σωναναμεμιγμένων τινῶν καὶ τῇ ἤδη ὡραϊζομένων. Καὶ τὰς μὲν, δύο ἄνδρας ἑπεσθαι αὐταῖς, τὰς δὲ, καθήμενον ἐν τοῖς δεξιοῖς νεανίσκον ἰδεῖν, στολαῖς δὲ ἀπάσας ἠμφιεσμένους λευκαῖς. Ὥστε δυνασθαί τινα κατά τινι τῇ καιρῶν τάξει τὰ παρ' ἑκάστῳ γεγραμμένα, συνιστᾶν μίαν ἁρμονίαν, καὶ σῶμα πάσης τῆς ἱστορίας ἐργάσασθαι, καθάπερ σῶός τὸ παῦ γεγενημένος, καὶ ὑπὸ πολλῶν. Εἰ μὲν γὰρ μιᾶς ἀφίξεως τῆς Γυναικῶν σὺν καιρῷ γεγενημένης οἱ τέσσαρες ἐμνημόνευσαν, καὶ τὰς αὐτὰς εἶπον Ἀγγέλους ἐπιφανῆναι, ἢ μίαν καὶ τὴν αὐτὴν ἐπιφάνειαν, ἦγεν ἀπασίαν, ἅπαντες εἰπόντες, ταύτην ἔφασαν ἐν διαφόροις καιροῖς γεγενῆσθαι, οὐκ σῶός μνημονεύσαντες ἅπαντες χρόνου, διαφωνίας εἶχε μέμψιν ὁ λόγος. Εἰ δὲ καὶ οἱ καιροὶ διάφοροι, καὶ τὰ πρόσωπα, καὶ αἱ τῆς ἐπιφανούσης ὄψεις οὐκ αἱ αὐταὶ, τοῦ Θεοῦ βεληθέντος διὰ πολλῶν τρόπων πιστωθῆναι τὸ θαῦμα τῆς Ἀναστάσεως, καὶ τὸ διὰ τῆς ἄλλων μὴ λεχθὲν ἐσόρησεν ἄλλος Εὐαγγελιστὴς, πῶς οὐκ ἔστιν ἡ διήγησις ὅλη καθαρὰ, καὶ πάσης μέμψεως ἐλευθέρα; Ἐπειδὴ δὲ πολλῶν Μαριῶν ἐν τοῖς Εὐαγγελίοις φέρεται μνήμη, ἕξεις εἶναι τὰς πάσας γινώσκειν ὀφείλομεν. ἃς Ἰωάννης συλλήβδην ἠρίθμησεν, εἰπών. Εἱστήκεισαν δὲ παρὰ τῷ Σταυρῷ τοῦ Ἰησοῦ ἡ Μήτηρ αὐτοῦ, καὶ ἡ Ἀδελφὴ τῆς Μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. Μαρίαν γὰρ τὴν Ἰακώβου, καὶ Ἰωσῆ Μητέρα παρὰ τοῖς ἄλλοις Εὐαγγελισταῖς ὠνομασμένην, τὴν Θεοτόκον εἶναι μεμαθήκαμεν. Ὥσπερ γὰρ διὰ τὴν Οἰκονομίαν καὶ τὸ ὑποσυσκιασθῆναι τὸν Θεῖον Τόκον, καὶ μὴ φανερωθῆναι τοῖς μιαιφόνοις Ἰουδαίοις, ὡς ἄνδρα χρηματίσαι τῆς Παρθένου τὸν Ἰωσὴφ, ἀναγέγραπται, καὶ πατέρα τοῦ Ἰησοῦ, ὄντως τοῦ Ἰωσῆ, καὶ τοῦ Ἰακώβου, παίδων ὄντων τοῦ τέκτονος Ἰωσὴφ, ἐκ προτετελευτηκυίας γυναικὸς, Μήτηρ ἡ Θεοτόκος προσηγορεύετό τε καὶ ὠνομάζετο. Ταύτην τοίνυν καὶ βλασφημοῦντες καθ' ὑμῶν ἔλεγον οἱ Ἰουδαῖοι, Οὐχ' ὅτος ἐστὶν ὁ τοῦ τέκτονος Υἱός; οὐχ ἡ Μήτηρ αὐτοῦ λέγεται Μαρία, καὶ οἱ Ἀδελφοὶ αὐτοῦ Ἰάκωβος, καὶ Ἰωσῆ, καὶ Σίμων, καὶ Ἰούδας; Καὶ διὰ τοῦτο ὁ μὲν Ἰωάννης τοῦ παρὰ τῷ Σταυρῷ ἐσῶσαν, οἷα δὴ μετὰ παῤῥησίας θεολογῶν, Μητέρα τοῦ Ἰησοῦ προσηγόρευσεν. Οἱ δὲ λοιποὶ τῶν Εὐαγγελιστῶν τὰ πολλὰ περὶ τοῦ οἰκονομίαν ἀσχοληθέντες, οἰκονομικῶς αὐτοῦ Μητέρα Ἰακώβου καὶ Ἰωσῆ ἐπωνόμασαν. Αὐτοὶ γὰρ ἦσαν οἱ πρῶτοι καὶ ὀπτιμοι παῖδες τοῦ Ἰωσὴφ. Εἴσι δὲ τοῖς Εὐαγγελισταῖς αὐτοῦ καὶ ἐκ τοῦ σῶός μόνου τῶν παίδων τοῦ Ἰωσὴφ ὀνομαζομένου, δίρειν Μαρίαν τοῦ Ἰακώβου, καὶ Μαρίαν τοῦ Ἰωσῆ. Ὁ δὲ Μάρκος, Ἰακώβου Μητρὸς, καὶ Ἰωσῆ Μητέρα εἶπεν αὐτοῦ, ἐπείπερ καὶ ἄλλος Ἰάκωβος ὁ Ἀλφαίου ἐν τῷ δώδεκα.

Ἰω. 20. Λουκ. 24. Μαρ. 16. Ἰω. 19. Ματθ. 27. Μαρ. 15.

Τῆ Α'γίᾳ Ε'πιφανίᾳ ἐκ τῆ Παναρίων.

Ο' Γωσὴφ ἀδελφὸς ἰῶ τῆ Κλωπᾶ. ἀμφότεροι γὰρ ἀπὸ Γαλιλαίας τῆ ὀπίσω Πώθηρος ἐμνηθεύτες. Ε"χε δὲ ὁ Γωσὴφ γυναῖκα Σαλώμην, ἐκ Φυλῆς Γάδα, ἐξ ἧς ἐτέχθησαν αὐτῷ παῖδες ἕξ. τέσσαρες μὲν ἄῤῥενες, καὶ δύο θήλειαι. καὶ ἰῶ πρωτότοκος Γάκωβος, ὁ ὀπίσω ἐπικληθεὶς Δίκαιος. εἶτα Γωσὴφ ὁ καλούμενος. ἔπειτα Συμεών. μεθ' ὃν, ὁ Γούδας. καὶ εἶθ' ἕτω, ἡ Μαρία καὶ ἡ Σαλώμη. ἡ δὲ Μαρία λαβοῦσα τὸν Κλωπᾶν ἄνδρα, ὡς ἀδελφὴ ἐχρημάτιζετο τῆς Θεοτόκυ Μαρίας. Ο"θεν φησὶν ὁ Γωάννης. Εἰσήκεισαν δὲ πρὸς τῷ Σταυρῷ τῆ Γησῦ ἡ Μήτηρ αὐτῆ, καὶ ἡ Α'δελφὴ τῆς Μητρὸς αὐτῆ, Μαρία ἡ τῆ Κλωπᾶ.

Ιω. 19.

Εὐσεβίυ ἐκ τῆ πρὸς Μαρῖνον.

Τρεῖς γὰρ Μαρίας τὰς πάσας τῷ πάθει τῆ Χριςῆ μὴ τῆ ἄλλων γυναικῶν ὁρίσομεν. Πρώτην μὲν τὴν Θεοτόκον, δευτέραν δὲ τὴν ἀδελφὴν αὐτῆς Μαρίαν τὴν τῆ Κλωπᾶ, καὶ τρίτην τὴν Μαγδαληνήν. Τινὲς δέ φασι δύο ἐξ αὐτῶν εἶναι Μαγδαληνάς. μίαν μὲν τὴν ὀφθεῖσαν πρωῒ τῆ Σαββάτου τῷ Ματθαίῳ. ἑτέραν δὲ τὴν ὀφθεῖσαν τῷ Γωάννῃ πρωῒ ὅτι τὸ μνημεῖον ἐλήλυθεσαν. ταύτην δὲ εἶναι τὴν καὶ Μάρκῳ δηλωθεῖσαν, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. ὡς δὲ ἄσης καὶ ἑτέρας φησὶν, ἦ τοιαύτης Μαγδαληνῆς, ἐπήνεσεν ὁ Μάρκος τῆτο εἰπών. Α'ναστὰς δὲ πρωῒ τῆ μιᾷ τῆ Σαββάτου ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. καὶ ταύτην ἴσως εἶναι τὴν ἀναστᾶσαν· Μή μυ ἅπτυ· ἀλλ' ὑπὸ τῷ Ματθαίῳ. εἰ γὰρ καὶ τὰ μάλιστα κἀκείνη ἀπὸ τῆς Μαγδαληνῆς ὥρμᾶτο, ἀλλ' ὑπὸ τὰ ὅμοια καὶ αὐταῖς ἡ Θεία παρηγορεῖ Γραφή. Εἰδὲ καὶ μίαν καὶ τὴν αὐτὴν εἶναι Μαγδαληνὴν φήσειεν τις, καὶ ὅπως ἀληθεύσειε τὰ Γερὰ Εὐαγγέλια, κατ' ἰδίαν λόγον διαφωνοῦντα, καὶ τὴν αὐτὴν δὲ Μαρίαν τὴν Μαγδαληνὴν εἰσάγοντα, μὴ ἅπτωμαι πρότερον τῆ Κυρίυ, ὅτε ἔκλαιε καὶ ἐπίστευε, καὶ ἅπτωμαι αὐτῆ, ὅτε χαίρειν μὴ τῆς ἄλλης Μαρίας ὑπ' αὐτῆ κελεύεται. ἐπειδὴ γὰρ ὡς Θεὸν αὐτὸν προσεκύνησεν ἔφατον, καὶ οὐχ' ὡς ἄνθρωπον, ὡς τὸ πρότερον, ὅτε ἔκλαιε καὶ ἐπίστευε. Περὶ δὲ τῆ ἐπαπορεῖν πάλιν, πῶς ὑπὸ μὲν τῷ Ματθαίῳ εἰς τὴν Γαλιλαίαν ὤφθαι τὸν Κύριον τοῖς Μαθηταῖς ἐν τῷ ὄρει, ὑπὸ δὲ τῷ Γωάννῃ ὑπὸ τὴν Θάλασσαν τῆς Τιβεριάδος, ἐρῶμεν, ὅτι ἅ μόνον ἅπαξ, καὶ δὶς, ἀλλὰ καὶ πολλάκις ὤφθαι αὐτόν. Διὸ καὶ πάρτην ὑπάρχειν ἀπιστίαν οὐκ ἂν ἁμάρτοις τὴν ὑπὸ τῷ Ματθαίῳ ὠφθεῖσαν εἶναι, ἢ ἅ ὑπὸ τὴν Θάλασσαν τῆς Γαλιλαίας, ἢδὲ τοῖς ὀπτανομένοις, ἀλλ' ἐν τῷ Ο"ρει τῆς Γαλιλαίας τοῖς ἕνδεκα πεποιῆσθαι ἀνέγραψεν ὁ Ματθαῖος εἰπών. Οἱ δὲ ἕνδεκα Μαθηταὶ ἐπορεύθησαν εἰς τὸ ὄρος, ὃ ἐτάξατο αὐτοῖς ὁ Γησῦς. καὶ ἰδόντες αὐτὸν προσεκύνησαν αὐτόν. οἱ δὲ ἐδίστασαν. Καὶ μὴ τῆτο οὐκ ἀν σφαλείης εἰπών, ὁμῦ καὶ ταύτην συνηγμένοις αὐτοῖς τοῖς ἕνδεκα Μαθηταῖς, καὶ τοῖς Ε'βδομήκοντα ὤφθαι αὐ-

Ματθ. 28.

Ματθ. 28.

Ιω. 21.

αὐτον. Ο' δὲ Α'πόστολος καὶ ἔτι πάντων πλείοσιν ἑωρᾶθαι τὸν Κύριον μὴ τὴν ἀνάστασιν ἱστορεῖ λέγων· Ο"τι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ, καὶ τὰς Γραφὰς, καὶ ὤφθη Κηφᾶ, ἔπειτα τοῖς δώδεκα, ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις Α'δελφοῖς ἐφάπαξ. Ο'ρᾷς ὁσάκις καὶ ὅσοις ὤφθη μὴ τὴν Α'νάστασιν; ἔτω καὶ τοῖς ἐν Γερσαλὴμ κρυπτομένοις διὰ τὸν φόβον τῆ Γουδαίων, καὶ πρόγε πάντων ἀνδρῶν Σίμωνι τῷ Πέτρῳ, γυναικῶν δὲ ταῖς ἀμφὶ τὴν Μαγδαληνήν. Ο"θεν καὶ ὁ Λυκᾶς φησὶ, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος, καὶ συναυλιζόμενος αὐτοῖς, τὰ περὶ τῆς Βασιλείας τῆ Θεῆ παρεδίδυ μαθήματα.

Πρὸς Κορ. α. 15.

Λυκ. 24.

Πράξ. 1.

Ε' Ρ Ω' Τ Η Σ Ι Σ, ΡΝΔ'.

Τίνος εἰκόνα καὶ τύπον ἔχει ἡ Καθολικὴ Ε'κκλησία;

Α' Π Ο' Κ Ρ Ι Σ Ι Σ.

Μαξίμυ Μοναχῆ.

Η' Τῆ Χριςῆ Καθολικὴ Ε'κκλησία, τύπος ἐςὶ τῆτε νοητῆ Κόσμυ, καὶ τῆ αἰσθητῆ, καὶ τῆ ἀνθρώπυ. Καὶ τῆ μὲν νοητῆ Κόσμυ σύμβολον ἐςὶ τὸ Γερατεῖον, τῆ δὲ αἰσθητῆ ὁ Ναός. Τῆ δὲ ἀνθρώπυ εἰκὼν ἐςὶ τὸ Γερατεῖον μὲν τῆς ψυχῆς, ὁ δὲ ναὸς τῆ σώματος. Τῆς δὲ τελεμένης ἐν αὐτῇ Α'γίας Σωτήρεως, ἡ μὲν πρώτη Εἴσοδος τῆ Γερέως δηλοῖ μὲν τὴν Πρώτην τῆ Χριςῆ Παρεσίαν, τὰ δὲ γινόμενα ἐν αὐτῇ ἀναγνώσματα τὰ Θεῖα Θελήματα, καθὰ χρὴ τὰς παίτας παιδεύεσθαί τε καὶ πολιτεύεσθαι, σημαίνει. Τὸ δὲ Α"γιον Εὐαγγέλιον, σύμβολον ἐςὶ τῆς σωτηρίας τῆ αἰῶνος τάξεως, σημαῖνον τὸν παντελῆ τῆς ἀρχαίας πλάνης ἀφανισμόν. Η' δὲ τῆ Α'ρχιερέως ἀπὸ τῆ θρόνυ κατάβασις, καὶ τῆ κατηχυμένων ἐκβολὴ, μιμεῖται τὴν ὑπ' Οὐρανῶν Δευτέραν Παρεσίαν Χριςῆ, καὶ τὸν ἀπὸ τῆ Α'γίων ἁπάντων ἀφορισμὸν τῆ ἁμαρτωλῶν, καὶ τὴν δικαίαν πρὸς τὴν ἑκάςυ ἀξίαν ἀμοιβήν. Η' δὲ τῆ θυρῶν κλεῖσις, καὶ ἡ τῆ Α'γίων Μυςηρίων Εἴσοδος, καὶ ὁ Θεῖος Α'σασμὸς, καὶ ἡ τῆ Συμβόλυ τῆς Πίςεως ἐκφώνησις, δηλοῖ τὴν τῆ αἰθητῶν πάροδον, καὶ τὴν τῆ νοητῶν φανέρωσιν, καὶ τὴν παιδὴν τῆ περὶ ἡμᾶς Θείυ Μυςηρίυ διδαχὴν, καὶ τὴν πρὸς πάντας πάντων ἑαυτῆς τε καὶ τὴν πρὸς Θεῆ γενομένην ὁμόνοιαν, καὶ ὁμογνωμοσύνην, καὶ ἀγάπην, καὶ ταυτότητα, καὶ τὴν ἐφ' οἷς ἐσώθημεν ἔκπομπὴν δι' ἁχαριςίαν. Η' δὲ τῆ Τρισαγίυ, τὴν ἄπαυςον ὑμνῳδίαν τῆ Α'γγέλων ἁγιαςικὴν δοξολογίαν ἐμφαίνει, καὶ τὴν χρησμῳδίαν κατὰ τὸν μέλλοντα αἰῶνα τῆ Οὐρανίων καὶ ἐπιγείων δυνάμεων εἰς μίαν πολιτείαν καὶ ἀγωγὴν καὶ συμφωνίαν τῆς δοξολογίας. Η' δὲ μακαρία τῆ Θεῆ καὶ Πατρὸς ὁμολογία, καὶ ἡ τῆ, Εἷς Α"γιος, καὶ τὰ ἑξῆς ἐκφώνησις, καὶ ἡ τῆ Α'γίων ἐπίκλησις,

Μυσηρίων μεταλήψις, τῶν ὅτι πᾶσι, καὶ ὅτι παύτων ἀξίων ἐσομβόλων ὑφεσίαν, καὶ οἰκειότητα δηλοῖ.

Ἰσιδώρου ἐκ τῆς 122. Ἐπιστολῆς.

Βιβλ. ά. Ἐπις. 122. Εἰρηύων ὁ Ἱερεὺς ἀπὸ τοῦ ὕψους τῆς καθέδρας τῇ Ἐκκλησίᾳ ὑποφθέγγεται, τὸν Κύριον τῆς καθέδρας ἀπὸ καθέδρας μιμούμενος ἀναλαμβανόμενον, εἰρηύων τῶν οἰκείαν καὶ ἀφικύτα, καὶ διδόντα. Τὸ δὲ, καὶ τῷ πνεύματί σου, φθέγγεται τὸν λαὸν ἀποκενούμενον, τύτο δηλοῖ. Εἰρηύων μὲν ἡμῖν παρέχες Κύριε, τῶν ἐν ἀλλήλοις ὁμόνοιαν, εἰρηύων δὲ δὸς ἡμῖν, τῶν πρὸς σὲ ἀδιαίρετον σύωσιν, ἵνα τῷ πνεύματί σου εἰρηυεύοντες, ὃ ἡμῖν ἐν ἀρχῇ τῆς δημιυργίας ἐνέθηκας, ἀχώριστοι τῆς σῆς ἀγάπης τυγχάνωμεν. Ἡ δὲ καθαρὰ σινδών, ἡ ὑφαπλυμένη τῇ τῶν θείων Δώρων δεκανίᾳ, ἐστὶν Γνωσικὴ λειτυργία. Ὡς γὰρ ἐκεῖνος τὸ τοῦ Κυρίου Σῶμα σινδόνι ἐνειλήσας τῷ τάφῳ παρέπεμψεν, ὅπω καὶ ἡμεῖς δηλ σινδόνος τὸν Ἄρτον τῆς προθέσεως ἀγιάζοντες, Σῶμα Χριστοῦ ἀδιστάκτως δείκνυμεν. Ἡ δὲ Ὀθόνη, μεθ' ἧς λειτυργοῦσιν ἐν τοῖς Ἁγίοις οἱ Πρεσβύτεροι καὶ Διάκονοι, τῶν τοῦ Χριστοῦ ἀναμιμνήσκει ταπεινώσεως, νίψαντος τὰς πόδας τῶν Μαθητῶν καὶ ἐκμάξαντος.

Βιβλ. ά. Ἐπις. 123.

Λευ. 23.

Βιβλ. ά. Ἐπις. 136. Τὸ δὲ τοῦ Ἐπισκόπου Ὠμοφόριον ἐξ ἐρέας ὂν, ἀλλ' ἐ λίνου, τῶν τοῦ προβάτου δορὰν σημαίνει, ὅπερ πλανηθὸν ζητήσας ὁ Κύριος δηλ τὸν ὦμον ἀνέλαβεν. Ὁ γὰρ Ἐπίσκοπος εἰς τύπον ὢν τοῦ Χριστοῦ, τὸ ἔργον ἐκείνυ πληροῖ, καὶ δείκνυσι πᾶσι διὰ τοῦ ἱματίου, ὅτι μιμητὴς ἐστὶ τοῦ ἀγαθοῦ καὶ Μεγάλυ Ποιμένος, ὁ πὰς ἀθυνείας πάντων φέρειν προβεβλημένος.

Βασιλείυ, ἐκ τοῦ περὶ τοῦ Ἁγίυ Πνεύματος λόγυ.

Τῶν ἐν τῇ Ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων, καὶ κηρυγμάτων, τὰ μὲν ἐκ τῆς ἐγγράφυ Διδασκαλίας ἔχομεν, τὰ δὲ ἐκ τῆς τῶν Ἀποστόλων παραδόσεως διαδοθέντα ἡμῖν ἐν μυστηίῳ παραδεξάμεθα. Ἅπερ ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν Εὐσέβειαν, καὶ τύτοις ἀδεὶς ἀντερεῖ ἀκρῶν, ὅστις γε κἂν μικρὸν γεῦν Θεσμῶν Ἐκκλησιαστικῶν πεπείραται. Εἰ γὰρ ἐπιχειρήσαιμεν τὰ ἄγραφα τῶν ἐθῶν ὡς μὴ μεγάλην ἔχοντα τὴν δύναμιν παραιτεῖσθαι, λάθοιμεν ἂν, εἰς αὐτὰ τὰ καίρια ζημιῶντες τὸ Εὐαγγέλιον, μᾶλλον δὲ εἰς ὄνομα φιλὸν ὀλίσθοντες τὸ κήρυγμα. Οἷον (ἵνα τὸ πρώτυ καὶ κοινότατον πρῶτον μνηθῶ,) τὸν τύπον τοῦ Σταυροῦ τοὺς εἰς τὸ ὄνομα τοῦ Κυρίυ ἡμῶν Ἰησοῦ Χριστοῦ ἠλπικότας κατασημαίνεσθαι, τίς ὁ διὰ γράμματος διδάξας; Τὸ πρὸς ἀνατολὰς τρέφεσθαι καὶ τὴν προσευχήν, ποῖον ἡμᾶς ἐδίδαξε γράμμα; Τὰ τῆς ἐπικλήσεως ῥήματα, ὅτι τῇ ἀναδείξει τοῦ Ἄρτου τῆς Εὐχαριστίας καὶ τοῦ Ποτηρίυ τῆς ἐυλογίας, τίς τῶν Ἁγίων ἐγγράφως ἡμῖν καταλέλοιπεν; Οὐ γὰρ δὴ τύτοις ἀρκούμεθα, ὧν ὁ Ἀπόστολος, καὶ τὸ Εὐαγγέλιον ἐπεμνήσθη, ἀλλὰ καὶ προλέγομεν, καὶ ἐπιλέγομεν ἕτερα, ὡς μεγάλην ἔχοντα πρὸς τὸ Μυστήριον τὴν ἰσχὺν, ἐκ τῆς ἀγράφυ διδασκαλίας παραλαβόντες. Εὐλογοῦμεν

δὲ

δὲ τὸ ὕδωρ τοῦ Βαπτίσματος, καὶ τὸ Ἔλαιον τῆς Χρίσεως, καὶ πρὸ τύτων τὸν βαπτιζόμενον, ἀπὸ ποίων ἐγγράφων; Οὐκ ἀπὸ τῆς σιωπωμένης καὶ μυστικῆς Παραδόσεως; Τί δὲ αὐτῶν τὸ Ἔλαιον τὴν χρίσιν; τίς λόγος γεγραμμένος ἐδίδαξε; Τὸ δὲ ἐξ ὑδάτος βαπτίζεσθαι τὸν ἄνθρωπον πόθεν; Καὶ ἄλλα δὲ ὅσα περὶ τοῦ Βαπτίσματος· ἀποτάσεσθαι τῷ Σατανᾷ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἐκ ποίας ἐστὶ Γραφῆς; Οὐκ ἐκ τῆς ἀδημοσιδύτυ ταύτης, καὶ ἀπορρήτυ Διδασκαλίας, ἣν ἐν ἀπολυτραγμονήτῳ καὶ ἀπεριεργάστῳ σιγῇ οἱ Πατέρες ἡμῶν ἐφύλαξαν, καλῶς ἐκεῖνοι δεδιδαγμένοι τὸ μυστήριον τὸ σεμνὸ σιωπᾶν διασώζεσθαι; Ἂ γὰρ ἀδὲ ἐποπτεύειν ἔξεστι τοῖς ἀμυήτοις, πῶν πῶς ἂν ἦν εἰκὸς τὴν διδασκαλίαν ἐκτίθεσθαι ἐν γράμμασιν; Ἄλλο τοίνυν Δόγμα, καὶ ἄλλο Κήρυγμα. Τὰ μὲν γὰρ Δόγματα σιωπᾶται, τὰ δὲ Κηρύγματα δημοσιδύεται. Σιωπῆς δὲ εἶδος καὶ ἡ ἀσάφεια, ἣ χρῆται ἡ Γραφὴ, δυσθεώρητον κατασκευάζυσα τοῖς δογμάτων τὸν νῦν πρὸς τὸ τῶν ἐντυγχανόντων λυσιτελές. Τύτω χαίρειν, πάντες μὲν ὁρῶμεν καὶ Ἀνατολὰς δηλ τοῖς προσευχῶν, ὀλίγοι δὲ ἴσμεν, ὅτι τὸν ἀρχαίαν ὑπεζωκότα Παρείδα τὸν Παράδεισον, ὃν ἐφύτευσεν ὁ Θεὸς ἐν Ἐδὲμ κατ' Ἀνατολάς. Καὶ ὀρθοὶ μὲν πληροῦμεν τὰς δεήσεις ἐν τῇ μιᾷ τῶν Σαββάτων· τὸν δὲ λόγον ἄπαντες ἐκ οἴδαμεν. Οὐ γὰρ μόνον ὡς σωσανασάντες Χριστῷ, καὶ τὰ ἄνω ζητεῖν ὀφείλοντες, ἐν τῇ ἀνασασίμῳ ἡμέρᾳ τῆς δεδομένης ἡμῖν χάριτος διὰ τῆς κατ' τὸν προσευχὴν σάσεως ἑαυτοὺς ὑπομιμνήσκομεν, ἀλλ' ὅτι δοκεῖ πῶς τὸ προσδοκώμενον αἰῶνος εἶναι εἰκών. Διὸ καὶ ἀρχὴ ἔσα ἡμερῶν, ἐχὶ πρώτη μετὰ Μωσέως, ἀλλὰ μία ὠνόμασαι. Ἐγένετο γὰρ πρωὶ, καὶ ἐγένετο πρωὶ ἡμέρα μία. Ὡς τῆς αὐτῆς ἀνακυκλυμένης πολλάκις, καὶ μία λοιπὸν ἡ αὐτὴ, καὶ ὀγδόη, τὸν μίαν ὄντως ἐκείνην καὶ ἀληθινὴν ὀγδόην, ἥς καὶ ὁ Δαβὶδ σύτισιν ἐπιγραφῆς τῶν Ψαλμῶν ἐπεμνήσθη, δι' ἑαυτῆς ἐμφανίζυσα, τὸν μετὰ τὸν χρόνον τύτον καταστασιν, τὸν ἄπαυστον ἡμέραν, τὸν ἀτέρμονα, τὸν ἀδιάδοχον, τὸν ἄληκτον ἐκεῖνον καὶ ἀγήρω αἰῶνα. Ἀναγκαίως ἂν τὰς ἐν αὐτῇ προσδοκίας ἑαυτῶν πληρῶν τοὺς ἑαυτῆς ἑτοίμους ἡ Ἐκκλησία παιδεύει, ἵνα τῇ συνεχεῖ ὑπομονήσει τῆς ἀπελπιστυ ζωῆς, τῶν πρὸς τὸν μετάστασιν ἐκείνυ εὐφοδίων μὴ ἀμελῶμεν. Καὶ πᾶσα δὲ ἡ Πεντηκοστὴ τῆς ἐν τῷ αἰῶνι προσδοκωμένης ἀναστάσεως ἐστὶν ὑπόμνημα. Ἡ γὰρ μία ἐκείνη καὶ πρώτη ἡμέρα ἑπτάκις ἑπταπλασιασθεῖσα τὰς ἑπτὰ τῆς Ἱερᾶς Πεντηκοστῆς ἀποτελεῖ Ἑβδομάδας. Ἐκ πρώτης γὰρ ἀρχομένη εἰς τὸν αὐτὸν καταλήγει. Καὶ καθ' ἑκάστυ καὶ γονυκλισίαν καὶ διανάστασιν ἔργῳ δεικνυμεν, ὅτι κἂν διὰ τῆς ἁμαρτίας εἰς γῆν κατερρύημεν, διὰ τῆς φιλανθρωπίας τοῦ κτίσαντος ἡμᾶς εἰς Οὐρανὸν ἀνεκλήθημεν. Ἐπιλείπει με ἡ ἡμέρα τὰ ἄγραφα τῆς Ἐκκλησίας Μυστήρια διηγήσασθαι. Ἐῶ τὰ ἄλλα. Αὐτὸν δὲ τὸν Ὁμολογίαν τῆς Πίστεως, τὸ πιστεύειν εἰς Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα, ἐκ ποίων γραμμάτων ἔχομεν; Εἰ

μὴ

μὴ γὰρ ἐκ τῆς τὲ Βαπτίσματος ϖδοσεως, καὶ τὸ τῆς δυσεβείας ἀπολυθον, ὡς βαπτιζόμεθα, ἵνα καὶ πιςδύειν ὀφείλοντες, ὁμοίαν τῷ Βαπτίσματι τινὰ τὴν ὁμολογίαν καταδεόμεθα, συγχωρησάτωσαν ἡμῖν ἐκ τῆς αὐτῆς ἀπολυθείας ὁμοίαν τῇ πίσει τὴν δόξαν ἀποδιδόναι. Εἰ δὲ τὸν ζόπον τῆς δοξολογίας ὡς ἄγραφον παραιτῶνται, δότωσαν ἡμῖν τῆς τε καὶ τὴν πίσιν ὁμολογίαν, καὶ τῶν λοιπῶν, ὧν ἀπαιτθμησάμεθα, ἐγγράφως τὰς ἀποδείξεις. Πρὸς γεμὴν τὸ ἀμάρτυρον, καὶ ἄγραφον εἶναι τὴν σωτῆρα πνεῦματι δοξολογίαν, ἐκεῖνο λέγομεν, ὅτι εἰ μηδὲν ἕτερον ἄγραφον, μηδὲ τὸ ϖδοδεχθήτω. Εἰδὲ τὰ πλεῖστα τῶν μυστικῶν ἀγράφως ἡμῖν ἐμπολιτεύεται, μᾶλλον πολλῶν ἑτέρων καὶ τὸ παραδεξώμεθα. Ἀποστολικὸν δὲ οἶμαι καὶ τὸ ταῖς ἀγράφοις παραδόσεσι ϖδομφύειν. Ἐπαινῶ γὰρ φησὶν ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς ϖδοδόσεις κατέχετε. καὶ, Κρατεῖτε τὰς ϖδοδόσεις, ἃς παρελάβετε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς.

Τῦ Θεολόγυ ἐκ τῦ ϖερὶ τῦ Ἁγίυ Πνεύματος.

Ἐκήρυσε φανερῶς μὲν Παλαιὰ τὸν Πατέρα, τὸν δὲ Υἱὸν ἀμυδρότερον, ἐφανέρωσε δὲ μᾶλλον Καινὴ τὸν Υἱὸν, ὑπέδειξε τὸ Πνεῦματος τὴν Θεότητα. ἐμπολιτεύεται νυῦν τὸ Πνεῦμα, σαφεςέραν ἡμῖν παρέχων τὴν ἑαυτῦ δήλωσιν. Οὐ γὰρ ἦν ἀσφαλὲς, μήπω τῆς τὲ Παρὸς Θεότητος ὁμολογηθείσης, τὸν Υἱὸν ἐκδήλως κηρύττεσθαι. μηδὲ τῆς τὲ Υἱῦ ϖδοδεχθείσης, τὸ Ἅγιον Πνεῦμα, ἵνα εἴπωτι καὶ τολμηρότερον, ὑπφορτίζεσθαι. μὴ καθάπερ ζοφῇ τῇ ὑπὲρ δύναμιν βαρυνθέντες, καὶ ἡλιακῷ φωτὶ σαθροτέραν ἔτι ϖροβάλλοντες τὴν ὄψιν, καὶ εἰς τὸ κατ' δύναμιν κινδυνεύσωσι. Ταῖς δὲ κατ' μέρος ϖροδήκαις, καὶ ὡς εἶπε Δαβὶδ ἀναβάσεσι, καὶ ἐκ δόξης εἰς δόξαν ϖροόδοις καὶ ϖροκοπαῖς, τὸ τῆς Τριάδος φῶς ἐκλάμψει τοῖς λαμπροτέροις.

Τῦ αὐτῦ ἐκ τῦ ϖρὸς Εὐβουλον.

Πῶς ὁ Υἱὸς καὶ Λόγος ἐκ τῦ Παρὸς ἐγεννήθη;

Ὥσπερ γὰρ ὁ ἡμέτερος λόγος τὸ ἀφανὲς τῆς ψυχῆς βουλυτήριον εἰς φῶς ϖροσφέρει, ὅτω καὶ ὁ Υἱὸς καὶ Λόγος τῦ Θεῦ τὸ ἀποκεκρυμμένον ἐν τῷ Παρὶ ϖρὸ αἰώνων μυστήριον τῇ Οἰκυμένῃ ἐφανέρωσε. Καὶ ὥσπερ ὁ λόγος ϖροϊὼν, οὐδὲ τὸν λέγοντα γυμνοῖ, καὶ τὸν ἀκούοντα πληροῖ, ὅτοσι καὶ κοινὸς ἅπασιν ἡμῖν, ἔρχεται δὲ εἰς τὸν ἀκούοντα, ἐκ ἀφισάμενος τὸν λέγοντος, ὅτω καὶ ὁ τῦ Θεῦ Λόγος ὢν ἐν τῷ Πατρὶ, ἦλθε ϖρὸς ἡμᾶς σαρκὶ, ὅτε τὸ Παρὸς χωρισθεὶς δὲ τὴν φύσιν, καὶ ἡμῖν σωθεὶς δὲ τὴν χάριν, Θεὸς ὢν τῇ φύσει, Λόγος δὲ τὴν ϖροσωνυμίαν. Ὥσπερ δὲ Γωάννης, ἄνθρωπος ὢν τῇ Ματ. 3. φύσει, Φωνὴ βοῶσα ἐκλήθη δὲ τὸ κήρυγμα, ὅτω καὶ ὁ Υἱὸς τῦ Θεῦ, Θεὸς Ιω. ά. 1. ὢν ἐκ Θεῦ, Λόγος ἐκλήθη δὲ τὸ ἀπαθὲς τῆς φύσεως. Ἐν ἀρχῇ ἦν ὁ Λόγος, ἀλλ' ὁ λόγος ἀνυπόστατος. οἱ μὲν γὰρ ἄλλοι, ϖροσώματα καὶ δικαιώματα τυγχάνουσι Θεῦ. ὁ δὲ Μονογενὴς Υἱὸς, Λόγος ἐστὶν, ὁ συλλαβαῖς καὶ

ῥήμα-

ῥήμασιν ἐκφωνούμενος, ἀλλὰ Λόγος ζῶν, καὶ λόγον ζωῆς χαριζόμενος, φησὶ γὰρ, Εἴτις ἀκούει μου τὸν λόγον ἔχει ζωὴν αἰώνιον. Ιωάν. 5.

Τῦ αὐτῦ ἐκ τῦ ϖρὸς Εὐάγριον.

Ὃν ζόπον δὲ καὶ ὁ ϖροφορικὸς ἔτοσι καὶ κοινὸς ἅπασιν ἡμῖν λόγος, ἀδιαίρετος μὲν ὅτι τῆς ϖροσεγκαμφύσης ψυχῆς, καὶ ταῖς ψυχαῖς δὲ τῶν ἀκροωμένων, ὐδενὶ ἧττον ἐν ταὐτῷ καθίσαται, κἀκείνης μὴ χωριζόμενος, καὶ τούτοις διεισκόμενος, σῴζουσιν δὲ μᾶλλον αὐτῶν τε, καὶ τῶν ἡμετέρων ψυχῶν ἐργαζόμενος, ὅϖως μοι νόει καὶ τὸν Υἱὸν τῦ Παρὸς μὴ χωριζόμενον ϖώϖοτε, καὶ τότε δὲ πάλιν τὸ Πνεῦμα τὸ Ἅγιον, ὁμοίως ὡς ἐν τῷ νῷ τὴν ἐνθύμησιν. Ὡς γὰρ ἐκ ἔστι μεταξὺ νῦ καὶ ἐνθυμήσεως, καὶ ψυχῆς διαίρεσιν ὑϖονοηθῶαί τινα, καὶ τομὴν, ὅτως ὐδὲ τῦ Ἁγίυ Πνεύματος, καὶ τῦ Υἱῦ, καὶ τῦ Παρὸς, ἐν μέσῳ τομὴν, ἢ διαίρεσιν ὑϖονοηθῶαί ϖοτε. Διότι τῶν νοϖτῶν ὡς ἔφαμεν, καὶ θείων, ἀδιαίρετος ἡ φύσις. Ἡ καὶ ὃν τρόπον ἐχ οἷόν τε πάλιν ὁμοίως ἐν μέσῳ κύκλυ καὶ τῆς ἀκτῖνος τῦ Ἡλίυ διαίρεσιν δίρεσθαι, ἀλλὰ τὸ ἀπαθὲς καὶ ἀσώματον, ἁπλῶν τε καὶ ἀμερές, ἀλλ' ἡ μὲν ἀκτὶς σωμάτωται τῷ κύκλῳ, πάλιν δὲ ὁ κύκλος, οἱόντι ὀφθαλμὸς ϖοταμηδὸν ὑπχεῖ τῷ ϖαντὶ τὰς ἀκτῖνας, καταλυσμὸς ὡσαύτως φωτὸς ἡμῖν ἐργαζόμενος, καὶ πελαγίζων ἀθρόως τὴν ὅλην κόσμησιν, ὅτω δὴ καὶ οἱονεί τινες τῦ Παρὸς ἀκτῖνες ἀϖεσάλησαν ἐφ' ἡμᾶς ὅ, τε φεγγώδης Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. Ὥσπερ γὰρ αἱ τῦ φωτὸς ἀκτῖνες ἀμέριστον ἔχυσαι καὶ φύσιν τὴν ϖρὸς ἄλληλα χέσιν, ὅτε τῦ φωτὸς χωρίζονται, ὅτε ἀλλήλων ἀνατέμνονται, καὶ μέχρις ἡμῶν τὴν χάριν τῦ φωτὸς ἀποσέλλουσι. τὸν αὐτὸν τρόπον καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ἡ δίδυμος τῦ Παρὸς ἀκτὶς, καὶ μέχρις ἡμῶν διήκειται τῆς ἀληθείας τὸ φῶς, καὶ τῷ Πατρὶ σωλιώται. Οὐ ζόπον δὲ καὶ ὅπτινος ὑδάτων ϖηγῆς νεκταρεώδης ἀφθόνως ϖροϊεμένης ὕδωρ, συμβαίνει ῥεῦμά τι ϖαμπληθὲς, καὶ ῥεῖθρον ἀκατάσχετον, εἰς ϖοταμὸς δύο τῷ ῥεύματι τέμνεσθαι, μίαν ἐξ ενὸς ὀφθαλμῦ τῆς ϖηγῆς τὴν ῥοὴν ἐξ ἀρχῆς ἐχνόπας, διῤῥύπως δὲ τῶν ϖοταμῶν χηματισθέντων τοῖς εἴδεσι, βλαβὲν δὲ ὅμως ὐδὲν εἰς τὴν ὐσίαν ἐκ τῆς διαιρέσεως. τῇ μὲν γὰ τῶν ϖοταμῶν θέσει τὸ ῥεῖθρον διῆρται, τὴν δὲ τῦ χυμῦ ϖοιότητα μίαν καὶ τὴν αὐτὴν κέκτηται. κἂν γὰ ὑϖερματίζεσθαι ϖόῤῥωθεν τῶν ϖοταμῶν ἕκαστος τῶν ϖροειρημένων δοχῆ, καὶ τῆς ϖηγῆς ἀφεσᾶαι μακρὰν, τὴν γὰν ἀρχὴν τῇ μιᾷ τῆς ϖρὸς τὸ διηνεκὲς τῆς ϖηγῆς σωλιωμένην ἔχει. Ὡσαύτως ἂν καὶ ὁ τῶν ἀγαθῶν ἁπάντων Θεὸς, ὁ τῆς ἀληθείας Πρύτανις, καὶ τῦ Σωτῆρος Πατὴρ, τὸ ϖρῶτον αἴτιον τῆς ζωῆς, καὶ τὸ τῆς ἀθανασίας φυτὸν, ἡ τῆς ἀειζωΐας ϖηγὴ, διῤῥυτόν τινα τῦτε Υἱὸν, καὶ τῦ Ἁγίυ Πνεύματος τὴν νοητὴν εἰς ἡμᾶς ὑποσείλας χάριν, ἐκ αὐτὸς τι πέϖονθεν εἰς τὴν ὐσίαν βλαβείς. (ὑ γὰ μείωσιν ὑπέση τινὰ δὲ τὴν εἰς ἡμᾶς ἐκείνων ἄφιξιν). ἀλλὰ καὶ μέχρις ἡμῶν ϖροσιχώρησαν, καὶ τῦ Παρὸς ὐδὲν ἧττον ἀχώριστοι καθεςήκασιν. Ἀμέριστος γὰ, ὡς ἔφημεν ἐξ ἀρχῆς, ἡ τῶν κρειττόνων Φύσις.

Περὶ διαφορᾶς οὐσίας καὶ φύσεως καὶ τῶν ἔξω.

Τὸ μὲν τῆς οὐσίας ὄνομα, σημαντικόν ὑπάρχει τῆς ἁπλῆς τῶν ὄντων ὑπάρξεως. τουτέστιν αὐτῷ τὸ ἁπλῶς εἶναι, ὃ κοινῶς πάντα μετέχουσι, σημαντικόν ἐστὶ τὸ τῆς οὐσίας ὄνομα. Τὸ δὲ φύσεως ὄνομα δηλωτικόν τυγχάνει τῆς ἁπλῶς τῶν ὄντων κινήσεως. πᾶσα γὰρ ἐν κινήσει ὁρᾶται, καὶ οὐδὲν ἐστὶν ἀκίνητον τῶν γεγονότων. Οὐσίαν οὖν καλοῦσι τινὰ ἁπλῶς τῶν ὄντων ὕπαρξιν. Φύσιν δὲ τινὰ ἁπλῶς τῶν ὄντων κίνησιν, πεντάχοπος δὲ αὕτη. ἡ γὰρ νοερὰ μὲν, ὡς ὅτι τῶν τυγχάνει, ἡ λογικὴ, ἡ αἰσθητικὴ, ἡ ἄψυχος. Καὶ νοερὰ μὲν, ὡς ὅτι τῶν Ἀγγέλων, ἐξ αὐτῶν τῶν νοημάτων ἀλλήλοις συγγινομένων. Λογικὴ δὲ, ὡς ὅτι τῶν ἀνθρώπων, δι' ὀνομάτων καὶ ῥημάτων τὰ ἀφανῆ τῆς ψυχῆς κινήματα πρὸς τοὺς ἐκτὸς δηλοῦσα. Αἰσθητικὴ δὲ, ἡ ἐν τοῖς ἀλόγοις θεωρουμένη. πρὸς γὰρ τὴν θρεπτικὴν καὶ αὐξητικὴν, καὶ γονιμικὴν δυνάμει, καὶ τινὰ αἰσθητικοὺς κέκτηνται. Φυτικὴ δὲ οἱ ἐν φυτοῖς. κινοῦνται γὰρ καὶ αὐτὰ κατὰ τὴν θρεπτικὴν καὶ αὐξητικὴν, καὶ γονιμικὴν δυνάμιν. Ἄψυχος δὲ, ὡς ὅτι τῶν λίθων, καθ' ὃ καὶ αὐτοὶ κινοῦνται κατὰ τὸ ποιὸν, καὶ κατὰ τὸ πού. Καὶ κατὰ τὸ ποιὸν μὲν, κατὰ τὸ θερμαίνεσθαι, καὶ ψύχεσθαι. Κατὰ τὸ πού δὲ, κατὰ τὴν ἐκ τόπου εἰς τόπον ἑτεροκίνητον μετάθεσιν. Καὶ αὕτη μὲν ἡ τῶν ἔξω περὶ τῶν ὀνομάτων δόξα. Οἱ δὲ τῆς Ἐκκλησίας Διδάσκαλοι, ἀδιαφόρως τοῖς ὀνόμασιν ἐχρήσαντο, καὶ τινὰ αὐτὰ οὐσίαν, καὶ φύσιν ὠνόμασαν. ὥσπερ καὶ τινὰ ὑπόστασιν πρόσωπον. Ὁ δὲ πάντα πληρῶν Θεὸς ἡμῶν, δόξα σοι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Σημειωτέον, ὅτι αἱ παρᾶσαι ὑποτεθεῖσαι Ἐρωταποκρίσεις, οὐκ εἰσὶν, ὡς οἶμαι, τοῦ Ἁγίου Ἀναστασίου.

ΕΡΩΤΗΣΙΣ.

Ἐκ τοῦ πῶς ἔλαβεν ὁ Ἀδὰμ τὸν ψυχὸν ὅτε ἐπλάσθη;

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Χρυσοστόμου.

Πολλοὶ ἐνόμισαν, ὅτι τὸ ἐμφύσημα αὐτὸ ἦν ἡ ψυχὴ, καὶ ὅτι ἐκ τῆς οὐσίας τοῦ Θεοῦ μετεδόθη, ὅπερ οὐκ ἔστιν. Εἰ γὰρ ἐκ τῆς οὐσίας τοῦ Θεοῦ ἡ ψυχὴ, οὐκ ἐχρῆν ἐν μὲν σοφὴν, ἐν ἄλλῳ δὲ μωρὰν, ἐνδὲ ἐν τῷ μὲν εἶναι δικαίαν, ἐν ἑτέρῳ δὲ ἄδικον. Ἡ γὰρ οὐσία τοῦ Θεοῦ οὐ μειοῦται, οὐδὲ ἀλλοιοῦται. Ἐγὼ γὰρ εἰμὶ φησὶ, καὶ οὐκ ἠλλοίωμαι. Οὐ μόνον γὰρ δεδίσκομαι μὴ ἁμαρτανούσας τὰς ψυχὰς, καὶ ἐκ τούτου ἐλεγχομένας.

μένας, ὡς οὐκ εἰσὶν ἐκ τῆς Θείας Οὐσίας, ἀλλὰ καὶ πείσει τοιαυτομένας, λέγει γάρ. Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τινὰ δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι. Εἰ οὖν ἐξ αὐτοῦ ἡ ψυχὴ, ἑαυτὸν πείνει ὁ Θεός. Τί οὖν ἐστὶ τὸ ἐμφύσημα; ἢ τὸ Ἁγίου Πνεύματος ἐνέργεια ἐστίν. Ὥσπερ γὰρ ὁ Σωτὴρ ἐνεφύσησεν εἰς τὰ πρόσωπα τῶν Ἀποστόλων καὶ εἶπε, λάβετε Πνεῦμα Ἅγιον. ἔστω τὸ ἐμφύσημα τὸ Θεῖον ἀνθρωπίνως ἀκούσωμεν, Θεοπρεπῶς δὲ νοήσωμεν, τοῦτο τὸ Πνεῦμα προσελθὸν, οὐκ αὐτὸ γέγονε ψυχὴ, ἀλλὰ ψυχὴν ἐδημιούργησε καὶ ἔκτισεν, οὐκ εἰς ψυχὴν μετεβλήθη, ἀλλὰ ψυχὴν ἐδημιούργησε. Δημιουργὸν γὰρ τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ κοινωνεῖ τῇ δημιουργίᾳ τοῦ σώματος, καὶ τῆς ψυχῆς. Πατὴρ γὰρ καὶ Υἱὸς καὶ Πνεῦμα Ἅγιον τῇ δυνάμει τῇ θείᾳ δημιουργεῖ τὸ πλάσμα. Καὶ μὴ νομίσῃς, ὅτι μέρος μὲν ὁ Πατὴρ συνελάβετο, μέρος δὲ ὁ Υἱὸς, καὶ μέρος τὸ Πνεῦμα. ἀλλ' ἐκεῖνο νόει, ὅτι καὶ Πατὴρ ποιήσῃ, Παρὸς ἡ δημιουργία, καὶ τοῦ Πνεύματος ἡ ἐνέργεια. Εἰδέ τις ἀπιστεῖ, ὅτι οὐκ ἐκοινώνησε τῇ ἡμετέρᾳ δημιουργίᾳ τὸ Πνεῦμα τὸ Ἅγιον, ἐλεγχέσθω ἐκ τοῦ μυστηρίου. Εἰ μὴ γὰρ ὑπὸ τῆς Τριάδος ἀνακαινούμεθα, εἰμὴ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ Ἁγίου Πνεύματος ὑπογράφεται ἡ δημιουργία, πῶς ἐν ὀνόματι Πατρὸς, Υἱοῦ, καὶ Ἁγίου Πνεύματος ἀνακαινίζεται ἡ δημιουργία; Ἀλλ' ὅταν μὲν ἐκτίσθημεν ἡ θεία γέγονε πνεύματος, ὅτε δὲ ἀνακαινιζόμεθα οὐ λαμβάνεται τὸ Πνεῦμα; Οὐκοῦν δημιουργὸν τὸ Πνεῦμα τὸ Ἅγιον, κἂν θέλωσιν οἱ ἐχθροὶ, καὶ μή. Περὶ γὰρ τῆς ἀνθρωπίνης κατασκευῆς φησὶν ὁ Δαβίδ. Παντα προσὲ προσδοκῶσι· καὶ, ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος. Ταύτην τὴν ἄφθονον χορηγίαν ἐνδείκνυται. εἶπα ἐπάγει. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται. Οὐκοῦν Κτίσης καὶ Δημιουργὸς τὸ Πνεῦμα τὸ Ἅγιον. Καὶ βλέπε ῥημάτων ἀκρίβειαν. Ὅτε μὲν περὶ τῆς ἡμετέρας ψυχῆς λέγει· Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσι. Ὅτε δὲ περὶ τοῦ Ἁγίου Πνεύματος· Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται. Εἰδ' ἀμφιβάλλοιεν πρὸς αὐτὰ, ἑτέραν μαρτυρίαν τινὰ τοῦ Ἁγίου Πνεύματος ἐνέργειαν δείξωμεν, τὸ ἐπ' αὐτῆς τῆς ἐνσάρκου Παρουσίας, ὅτε τοῦ Ἀγγέλου λεγόντων· Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σέ. Καίτινες ἐνόμισαν, Πνεῦμα μὲν Ἅγιον αὐτὸ εἰρῆσθαι τὸ Πνεῦμα. Δυνάμιν δὲ τοῦ Ὑψίστου τὸν Υἱόν. Ἀλλὰ δεῖ εἰδέναι, ὅτι τὸ αὐτὸ ἐκάλεσε καὶ Πνεῦμα Ἅγιον καὶ Δυνάμιν Ὑψίστου. Ὥσπερ γὰρ Υἱοῦ δυνάμις Ὑψίστου λέγεται, Χριστὸς γὰρ Θεοῦ δυνάμις, οὕτω καὶ τὸ Πνεῦμα. φησὶ γάρ. Ἕως ἂν ἐνδύσησθε δύναμιν ἐξ ὕψους. καὶ ἀλλαχοῦ. Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν Ἁγίου. Οὐ γὰρ δυνάμεθα διαγράφειν τὸ Πνεῦμα μὴ δημιουργοῦντα τοῦ γενέσθαι εἰκόνα, τὸν δὲ Υἱὸν τοῦ Οὐρανίου.

Ε Ρ Ω Τ Η Σ Ι Σ.

Ο"τι πρὶν ἢ φαγεῖν τὸν Ἀδὰμ ἐκ τοῦ ξύλου τῆς γνώσεως ᾔδει τί καλόν, καὶ τί πονηρόν;

Α Π Ο Κ Ρ Ι Σ Ι Σ.

Σοφίας μὲν πολλῆς ἐπεπλήρωτο, καὶ ἀγγνωσικὸς ἑκατέρων παντὸς ἦν. Ἤγαγε γὰρ φησὶ πρὸς αὐτὸν ἰδεῖν τί καλέσει αὐτά. καὶ ὃ ἐκάλεσεν Ἀδὰμ, τοῦτο ὄνομα αὐτοῖς. καὶ πάλιν. Ἤγαγε πρὸς αὐτὸν τὴν γυναῖκα, καὶ ἰδὼν ἐπέγνω αὐτὴν, καὶ εἶπε, τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου. Τινὲς δὲ οὐχὶ τοῦτο μόνον αἰνίττεσθαι αὐτὸν φασὶν, ἀλλὰ καὶ τὸν τρόπον τῆς δημιργίας, καὶ ὅτι οὐκ ἔστι πάλιν τῇ γυναικὶ τοιοῦτός τις τῆς γεννήσεως τρόπος. Ἄλλος δέ τις τοῦτο νῦν ἅπαξ εἶπε, καὶ οὐκ εἶπεν ἁπλῶς συνῳδήσεται, ἀλλὰ κολληθήσεται, τὴν ἀκριβῆ σωτηρίαν δηλῶν. Ὥστε ὁ ταῦτα εἰδὼς ἠπίστατο, τί μὲν καλὸν, τί δὲ πονηρὸν, εἰ μὴ γὰρ ᾔδει, ἀλλὰ μὴ τὴν γεῦσιν ἔμαθεν. Ἡ ἁμαρτία γέγονεν αὐτῷ σοφίας διδάσκαλος, καὶ ὁ Ὄφις οὐκ ἔτι ἀπατεών, ἀλλὰ σύμβουλος τῆς συμφερόντων κατέστη; Ἀλλὰ μὴ γένοιτο. Πῶς δὲ καὶ ἐντολὴν ἔλαβεν; Οὐδεὶς γὰρ νόμον δίδωσι τῷ μὴ εἰδότι. Ὁ δὲ Θεὸς ἔδωκε, καὶ βλαβὰν ἐκόλασε, καὶ εἰ μὴ γνωστικὸν αὐτὸν ἐξ ἀρχῆς ἐποίησεν ἀρετῆς καὶ κακίας, οὐκ ἂν τὰ ἀμφότερα δέδωκεν.

Ε Ρ Ω Τ Η Σ Ι Σ.

Διατί τὸ ξύλον γνωστικὸν καλεῖ, καὶ πονηρὸν εἴρηται;

Α Π Ο Κ Ρ Ι Σ Ι Σ.

Καλὸν ἂν ἐστὶν ὑπακοὴ, πονηρὸν δὲ βλαβή. Ὅπερ ὁ Προφήτης φησί. Τί καλὸν, καὶ τί Κύριος ἐκζητεῖ βλαβὲ σοὶ, ἀλλ' ἢ τὸ ποιεῖν κρίμα, καὶ ἀγαπᾶν ἔλεος; πάλιν δὲ φησί. Δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαὸς οὗτος, ἐμὲ ἐγκατέλειπε Πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συρεῖν. Γνῶθι τὸ πονηρόν. Οὕτω καὶ Κάϊν, ᾔδει τὴν ἀδελφοκτονίαν πονηρόν. Δεῦρο γάρ φησιν ἐξέλθωμεν εἰς τὸ πεδίον. Ἔθος τῇ Γραφῇ ἐπειδὰν πράγματα διηγεῖται τινὰ, ἢ ἐν τόποις, ἢ ἐν καιροῖς, ἀπὸ τῶν πραγμάτων καλεῖν, καὶ τόπους, καὶ τοὺς καιρὸς, οἷον ὅτι τὸ Γσαὰκ, καὶ ἐκάλεσε τὸ φρέαρ ἔχθραν. Καὶ ὁ Γσαὰκ ὤρυξε φρέαρ, καὶ ἐλθὼν Ἀβιμέλεχ κατέλυσε τὴν ἔχθραν, καὶ ὅρκους δόντες ἐκάλεσε τὸ φρέαρ ἐκεῖνο φρέαρ ὅρκου, οὐκ ἐπειδὴ τὸ φρέαρ ἤχθρανεν, ἢ ὤμοσαν, ἀλλ' ἐπειδὴ περὶ αὐτὸ ἡ ἔχθρα καὶ ὅρκος γέγονε. Καὶ ὁ Γακὼβ εἶδεν Ἀγγέλους ἀπαντήσαντας αὐτῷ, καὶ παρεμβολὴν Θεοῦ, καὶ ἐκάλεσε τὸν τόπον παρεμβολήν,

λὴν, εἰδὲ πάλιν τὸν Θεὸν, καὶ ἐκάλεσε τὸν τόπον τὸ ὄνομα εἶδος Θεοῦ, καὶ μὴν οὐχ ὁ τόπος εἶδος Θεοῦ, ἀλλ' ὅτι εἶδε τὸν Θεὸν φησί. Τὸ αὐτὸ καὶ ὅτε καιρῶν. Οὕτω καὶ τὸ ξύλον, οὐκ ἐπειδὴ βλαβὴν ἔφερε γνῶσιν καλῆς, καὶ πονηρᾶς, ἀλλ' ἐπειδὴ περὶ αὐτὸν ἐγένετο ὁ ἔλεγχος τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ πονηροῦ.

Ἐκ τῶν Ἐρωτήσεων Καισαρίου Ἀδελφοῦ τοῦ Ἁγίου Γρηγορίου τοῦ Θεολόγου.

Ε Ρ Ω Τ Η Σ Ι Σ.

Πόσας ἡμέρας διέτριψεν ὁ Ἀδὰμ ἐν τῷ Παραδείσῳ;

Α Π Ο Κ Ρ Ι Σ Ι Σ.

Πολλοὶ τῶν ἱστορούντων τὰ κατ' αὐτὸν, οἱ μὲν λέγουσιν ἓξ ἡμέρας. διὸ φασὶ καὶ τῇ ἕκτῃ ἡμέρᾳ ἦλθεν ὁ Σωτὴρ πρὸς αὐτόν. Ἄλλοι δὲ, ὅτι ἓξ μόνον ὥρας. Ἕτεροι δὲ τεσσαράκοντα ἡμέρας λέγουσι τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ ἐνδιαιτηθῆναι τῷ Παραδείσῳ, καὶ ἐντρυφήσαντες ἐξώδησαν, τῇ παραβάσει ὡς φασὶν αὐτεισάγων ὁ Χριστὸς καὶ ἀναπληρῶν, οὐκ ἔφαγεν οὐδὲ ἔπιε, τεσσαράκοντα ἡμέρας ἐν τῇ ἐρήμῳ ὑπὸ τοῦ διαβόλου πειραζόμενος. Τοῦτον ἐν τῇ τεσσαρακοστῇ τὸν τρόπον κἀμοὶ δοκεῖ οὐκ ἀπεικὸς ὑπάρχειν. Ταύτῃ γὰρ τῇ τεσσαρακοστῇ ἑπομένη τῆς Ἐκκλησίας ἡμῶν θεία μιμοῦνται, ἅπαξ διὰ πάσης τῆς τοῦ ἐνιαυτοῦ περιόδου, σφοδροτάτῃ ἀποχῇ βρωμάτων νηστεύει, τὴν ἀρχαίαν τοῦ Παραδείσου ὀπτώσασα Πατρίδα, καὶ τὴν ἐκεῖ ἡμερομηνίαν δίαιταν. Ἀνθυπείκει γὰρ πᾶσι τοῖς τοῦ Προπάτορος ἡμῶν ὀφλήμασιν ὁ Χριστός. Ἐκεῖνα γὰρ βρωθέντος, ἀνθυπανύει ἕως μέχρι Σταυροῦ καὶ θανάτου. Ἐκεῖνος πειραζόμενος διὰ τῆς Εὔας ἡττηθείσης ὑπὸ τοῦ Διαβόλου τὴν ἀπηγορευμένων ἀπεγεύσατο. Οὗτος πειραζόμενος νηστεύει, ἀντιφρυαστῶν τὰς ἐν τῷ Παραδείσῳ τεσσαράκοντα ἡμέρας τοῦ προπάτορος ἡμῶν Ἀδάμ. Ἐκεῖνος Θεὸς βληθεὶς γευσάμενος μὴ δυνηθεὶς, καὶ ὅπερ ὢν ἐβρώθη, ἐξ ἀθανάτου ἐνητὸς γενόμενος, καὶ ἐκ μακάρου καταπεπτός. Οὗτος δὲ ὑπὲρ ἐκείνου βρωτὸς γίνεται, μὴ βρωθεὶς τὴν φύσιν, μηδὲ ἀλλοιωθεὶς τὴν Θεότητα. Ἐκεῖνος ἐκ τοῦ Παραδείσου εἰς τὸ ἐμπαθὲς καὶ ὀπτώμενον τοῦτο ἐξωκίσθη χωρίον. Οὗτος ἐξ Οὐρανοῦ ὑπὲρ ἐκείνου ὀπτηθεὶς, τὸν ἐκείνου ἀναλαμβάνεται βίον. ἀντὶ τῶν νοερῶν καὶ λογικῶν ζώων, ζώοις ἀλόγοις κυκλούμενος. ἀντὶ πασῶν φερουσῶν δυνάμεων, ἀγκάλαις Γυναικὸς Ἡγιασμένης Ἀγγέλων καὶ Ἀρχαγγέλων φερόμενος. ἀντὶ Χερουβὶμ ὑποζυγίου, καὶ αὐτῷ ἀλογοτέρῳ ἐποχούμενος. ἀντὶ Ἀγγελικῶν ὕμνων καὶ ᾠδῶν, παισὶν Ἑβραίων ὑμνούμενος, βοῶσιν, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. ἀντὶ Παρθένου τῆς Εὔας, Θεόπαιδα τὴν αὐτῆς Ἁγίαν

Μη-

Μητέρα αὐτὴν εἶπεν. αὐτὶ τῆς ἐκείνης ἐπιτιμίας, ταύτην τὸ Χαῖρε διὰ τὸ οἰκεῖον δῶρον Γαβριὴλ ἀπέστειλεν. αὐτὶ ξύλου παραβάσεως, Ξύλον ἀναστάσεως, ἐν μέσῳ τῆς Γῆς, τὸν σωτήριον αὐτῆς Σταυρὸν ἔπηξε, καθὼς φησὶν ὁ μελῳδὸς Δαβίδ. Ὁ δὲ πρὸ αἰώνων Θεὸς ἡμῶν, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς Γῆς. Οὕτω μοι δοκεῖ καὶ τὰς τεσσαράκοντα ἡμέρας, ὑπὲρ τούτων ἀνατεθῆναι. Ἐγὼ δὲ τῆς ἐκείνων ἐξόδου; καὶ τῆς ἐμῆς τεσσαρακοστῆς, τὸν ἕκαστον ἀπ᾽ ἀσήμων γερόντων εἰς ἡμᾶς φοιτήσαντα διὰ τοῦτο λόγον μᾶλλον ἀποδέχομαι, ἐπὶ τῇ τῆς ὑψηλῆς Ἀποστόλου ῥημάτων βεβαιώσει, τὸ, καὶ πλείονα χρόνον ἐν τῷ Παραδείσῳ ζῆσαι μακαρίως τὸν Προπάτορα ἡμῶν. ἐκ προσώπου γὰρ αὐτῆς ὁ Θεῖος Ἀπόστολος παρρησιάζεται βοᾷ. Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ. Οὐκ ἄρα δὲ Παῦλος τοῦ νόμου ποτὲ προϋπῆρχεν, ὁ ἅπαντος πάντων τῆς τοῦ νόμου φοιτητῶν. ἀδ᾽ αὖ πάλιν χωρὶς τούτου ποτὲ ἦν, ἢ ἐγένετο. καὶ γὰρ τὸ Εὐαγγέλιον κηρύττων, τὰς νομικὰς μαρτυρίας προτίθησιν. ἀλλ᾽ ἐκ προσώπου τοῦ Ἀδὰμ ἀποδυρόμενος, εἰκότως φησίν. Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτὲ, σαφέστερον δὲ παιστὰ ἐκ προσώπου τοῦ Ἀδὰμ ταῦτα βοῶν, καὶ λελικμένον τὸ νόημα. οὐκ ἔτι νόμον, ἀλλ᾽ ἐντολὴν φάσκων, τὴν δοθεῖσαν τῷ Ἀδὰμ δηλονότι. ἐλθούσης δὲ τῆς ἐντολῆς ὡσανεὶ, ἡ ἁμαρτία ἀνέζησεν. ἐγὼ δὲ ἀπέθανον φησὶ, τῇ διὰ Παρασκευῆς ἐκπτώσει τῆς μακαρίας ζωῆς, ὡς δῆλον ὑπάρχειν, μὴ δι᾽ ὃν τοῦ γενέσθαι τὸν Ἀδὰμ δοθῆναι τὴν ἐντολὴν, ἀλλὰ μετά τινα χρόνον.

Τοῦ αὐτοῦ Ἁγίου Ἀναστασίου τοῦ Σιναΐτου Λόγος περὶ τοῦ μὴ φόβου Θεοῦ ἴσασθαι ἐν τῇ προσευχῇ, καὶ περὶ τοῦ μὴ κρίνειν, καὶ μνησικακεῖν.

Εὐλόγησον Πάτερ.

Ἀ Εἰ μὲν ἡ τοῦ Ἁγίου Πνεύματος χάρις διὰ πάσης τῆς τοῦ Θεοῦ Γραφῆς πρὸς ἐργασίαν τῆς Θείων αὐτοῦ ἐντολῶν ἡμᾶς προτρέπεται. μάλιστα δὲ, ἡ διὰ τοῦ Προφήτου Δαβὶδ καθ᾽ ἡμέραν ταῖς ψαλμῳδίαις μελῳδουμένη παραίνεσις. Ἡ γὰρ τῆς ψαλμῶν βίβλος θεοσέβειαν παιδεύει, περὶ Πίστεως νομοθετεῖ, σωφροσύνην διδάσκει, εἰς Θεοῦ φόβον ὁδηγεῖ, περὶ κολάσεως διηγεῖται, περὶ κατανύξεως, περὶ ἐγκρατείας, περὶ μετανοίας, περὶ συμπαθείας, περὶ ἀγάπης Θεοῦ, περὶ ὑπομονῆς Θεοῦ, περὶ ἁγνείας, περὶ μακροθυμίας, περὶ νηστείας, περὶ δὴ ποιΐας. Ἡ γὰρ προσευχὴ καὶ σχολὴ τῆς προσευχῆς, καὶ τῆς Θείων Γραφῶν, μήτηρ ὑπάρχει πασῶν τῆς ἀρετῶν. Διὰ μὲν γὰρ τῆς προσευχῆς, πᾶν αἴτημα καὶ δώρημα παρὰ Θεοῦ κομιζόμεθα. Ἐν Ἐκκλησίαις γάρ φησιν, εὐλογεῖτε τὸν Θεὸν, καὶ, Ἐν μέσῳ ἐκκλησίας ὑμνήσωσε. Ὅθεν ἡμῖν ὁ Προφήτης τὴν ἀδιάλειπτον πρὸς Θεὸν προσευχὴν καὶ σχολὴν, ὡς ἐκ προσώπου τοῦ Θεοῦ ἀναγκαίως ὑποτίθεται λέγων.

Ψαλ. 67. καὶ 21.

Σχο-

Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός. ἐκτὸς μὲν γὰρ σχολῆς καὶ πολλῆς προσεδείας τῆς ἐν ταῖς προσευχαῖς, καὶ ἐν ταῖς Θείαις τοῦ Γραφῶν ἀναγνώσεσιν, οὐκ ἔστιν ὅτε τὰ αὐτήματα λαβεῖν, ὅτε τὸν Θεὸν ἀληθῶς ὑπάγνωναι. Εἰ δὲ ἐν ταῖς ἀπολυμψίαις τοῦ τεχνῶν σχολαῖς πολλάκις τις χρόνους ἱκανοὺς πεποιηκώς, μόλις ποτὲ τὴν τυχοῦσαν ἠδυνήθη μαθεῖν τέχνην, πόσῳ μᾶλλον ὁ τὴν τοῦ Θεοῦ γνῶσιν, καὶ τὴν πρὸς αὐτὸν εὐαρέστησιν κατορθῶσαι βελόμενος ὀφείλει σχολάζειν ἐν Θεῷ, καὶ θερμῶς καὶ ἐμπύρως μέχρι τέλους ζωῆς τὴν ἑαυτοῦ ψυχὴν ἔχειν πρὸς αὐτὸν ἐπτερωμένην; Οὐχ ὁρᾷς τοὺς τὰς βιωτικὰς καὶ προσκαίρους λαμβάνοντας ἀρχὰς, πῶς ἐπειδὰν καιρός τινος δράξωνται, ὡς ὑπὸ πυρὸς ὠθούμενοι, ὑπὸ τῆς ἰδίων λογισμῶν ἐλαύνονται καὶ συνωθοῦνται ἕκαστος αὐτῶν, καὶ λέγει. ἐφ᾽ ὅσον εὗρον καιρόν. ἐφ᾽ ὅσον κρατῶ. ἐφ᾽ ὅσον ἔχω τὸ ὑπάρχειν καὶ εἰσακούεσθαι. ἐφ᾽ ὅσον τὰ πρὸς τὸν βίον πράγματά μοι διαθέως ὑπακούει, πλουτίσω, κτίσω, φυτεύσω, ἁρπάσω, πλατυνῶ, προλαβῶ, πρὶν ἢ γένηται καιροῦ μεταλλαγή. μὴ ἀναμείνω, μὴ ἀμελήσω, οἶδα γὰρ τί πέξεται ἡ ἐπιοῦσα. Ὑπὸ τούτων καὶ τοιούτων λογισμῶν οἱ πολλοὶ τοῦ ἀνθρώπων, ὡς ὑπὸ δαιμόνων ἐλαυνόμενοι, καὶ συνωθούμενοι, κατεπείγονται ἐν πειρασμοῖς καὶ μερίμναις βιωτικαῖς συμπνιγόμενοι, καὶ ἀτελεσφορήτους. καὶ ἀδεὶς αὐτοῖς λόγος περὶ ψυχῆς, περὶ θανάτου, περὶ κολάσεως, περὶ κρίσεως. ἀλλὰ χαίδον ἑαυτὸν ἀγνοοῦμεν, καὶ ἀπατῶμεν. Καὶ εἴθε μόνον τοῦτο. ἔλαττον ἂν ἦν τὸ κακόν. Ἀλλὰ καὶ ἀλλήλους μισοῦμεν, καὶ λοιδοροῦμεν, καὶ ὑπερβαλλόμεθα, καὶ φθονοῦμεν, καὶ διαβάλλομεν, καὶ σκώπτομεν, καὶ ἀδεὶς ἐξ ἡμῶν προσέχει ταῖς ἑαυτοῦ ἁμαρτίαις, ἀδεὶς μεριμνᾷ τὸ ἑαυτοῦ φορτίον. ἀλλὰ τὰ τοῦ πλησίον ἡμῶν ἁμαρτήματα σκοπεῖμεν ἀκριβῶς. ἕως βαχύλα γέμομεν βαρβόρα, καὶ ἀδὲν περὶ τούτου διαμεριμνῶμεν. ἕως γήρως τὰ τοῦ ἑτέρων μεριμνῶμεν, καὶ ἀδὲν ἐν αὐτοῦ τῷ γήρᾳ τὰ ἑαυτῶν κακὰ ἐρευνῶμεν. Καὶ τὰ μὲν μικρὰ ἐλαττώματα τοῦ ἀδελφῶν ἡμῶν βλέπομεν, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ὀφθαλμῷ ἡμῶν οὐ βλέπομεν. ὑπὸ τοῦ φορτίου τοῦ ἁμαρτημάτων ἡμῶν καταπαμπτόμεθα, καὶ τὰ τοῦ ἄλλων ἐλαττώματα περιεργαζόμεθα, καὶ ἐφ᾽ ὅπως αἰχμιούμεθα, ἀδενὸς φειδόμεθα, ἀδενὰ διαλαβέμεθα, ἀλλὰ πάντας δάκνομεν, πάντας κατεσθίομεν. τοὺς μικροὺς, τοὺς μεγάλους, τοὺς αἰτίους, τοὺς ἀναιτίους. τοὺς Ἱερεῖς, τοὺς διδασκάλους ἡμῶν, τοὺς ὁδηγοῦντας ἡμᾶς, τοὺς νουθετοῦντας καὶ ὑπερέφοντας. Καὶ διὰ τοῦτο ἡ ὀργὴ τοῦ Θεοῦ ἐπέρχεται ἐφ᾽ ἡμᾶς. διὰ τοῦτο παιδευόμεθα, καὶ θλιβόμεθα εἰς πολλὰς θλίψεις καὶ θλάσεις, διὰ τὴν κατέχουσαν ἡμᾶς πώρωσιν. Πολλὴ γὰρ ἡ τύφλωσις ἡμῶν. πολλὴ ἡ ῥαθυμία. πολλὴ ἡ ἀμέλεια. Οὐκ ἔστι παρ᾽ ἡμῖν κατανύξις, οὐκ ἔστι φόβος Θεοῦ, οὐδὲ διόρθωσις, οὔτε μετάνοια. ἀλλ᾽ ὅλος ἡμῶν ὁ νοῦς εἰς πονηρίας, καὶ ξυφὰς, καὶ μέθην. Καὶ πολλάκις μὲν διὰ πάσης τῆς ἡμέρας ἐν θεάτροις καὶ αἰσχρολογίαις, καὶ λοιποῖς τοῦ διαβόλου ἔργοις ἀσχολούμενοι, οὐκ ἀκηδιῶμεν, ἀλλὰ καὶ βρώσεως διὰ ταῦτα καταφρονοῦμεν,

Ψαλμ. 45.

μεν,

μεν, καὶ οἶκος, καὶ ἑτέρων ἀναγκαίων πραγμάτων. ἐν Ἐκκλησίᾳ δὲ Θεοῦ καὶ προσευχὴ καὶ ἀναγνώσει μίαν μόνην ὥραν δώσειν Θεῷ ὑ βουλόμεθα. ἀλλ' ὡς ἀπὸ πυρὸς, οὕτω τῆς Ἐκκλησίας τὸ Θεοῦ ἐξελθεῖν σπεύδομεν. καὶ τὸ Θεῖον Εὐαγγέλιον, μείζονα θέλοντι εἰ εἴπῃς, ἀγανακτοῦμεν, καὶ θορυβούμεθα. καὶ ὁ τὰς δύχας ποιῶν Ἱερεὺς, ἐὰν παύτας μικρὸν παρεκτείνῃ, συνάζομεν καὶ ὀλιγωροῦμεν. καὶ ὁ τὴν ἀναίμακτον Θυσίαν προσφέρων, ἐὰν πρὸς βραχὺ βραδύνῃ, ἀκηδιῶμεν συγνάζοντες, καὶ χασμώμενοι, καὶ ὡς ἀπὸ δικαστηρίου, οὕτω σωτόμως τῆς προσευχῆς ἀποστῆναι σπεύδομεν. καὶ ὅτι τῶν ταῖς ματαίαις πράξεσι, καὶ ἀσωτίαις ἀπέρχεσθαι ὑπὸ τοῦ διαβόλου κατεπειγόμεθα. Πολλὴ γὰρ ἡ ἡμετέρα παλαιπωρία, ἀγαπητοί. Καὶ γὰρ καὶ ἐν πάσῃ προσευχῇ καὶ δεήσει θερμῶς καὶ σωτόμως ὀφείλοντες διατίθεσθαι, ἐχαιρέπως δὲ ἐν τῇ Θείᾳ Λειτουργίᾳ τῶν ἀχράντων μυστηρίων, τοῦτο ποιεῖν χρεωστοῦντες, τὸ μὴ φόβου καὶ δόμου παρεῖσθαι τῷ Δεσπότῃ ἐν τῇ τοιαύτῃ σωνάξει, οὐδὲ παύτῃ προσφέρομεν παρ' αὐτῷ ἐν εἰλικρινεῖ δεήσει, καὶ συντετριμμένῳ, καὶ κατατετριμμένῳ φρονήματι. ἀλλὰ τὰ δικαστήρια ἡμῶν, καὶ τὰς διοικήσεις τῶν πολλῶν καὶ ματαίων ἡμῶν πραγμάτων, ἐν ταῖς τοιαύταις σωνάξεσιν ὁπτελοῦμεν. Καὶ οἱ μὲν ὀ φροντίζουσιν, οἷα καθάρσει καὶ μετανοίᾳ τῇ Ἱερᾷ Τραπέζῃ προσέλθωσιν. ἀλλὰ ποίοις ἱματίοις καλλωπισθῶσιν. εἰ δὲ ἐλθόντες, ὑ μέχρι τῆς συμπληρώσεως παρεῖσθαι ἀξιοῦσιν. ἀλλὰ δι' ἑτέρων ἐρωτῶσι, τί τελεῖται ἐν τῇ σωνάξει, καὶ εἰ ὁ καιρὸς τῆς Μεταλήψεως πάρεσι; καὶ τότε εἰσπηδῶντες δρομαίως ὡς κύνες, καὶ τὸν Ἄρτον τὸν μυστικὸν ἁρπάζοντες ἐξέρχονται. Ἄλλοι δὲ θορυβούμενοι ἐν τῷ Ναῷ τοῦ Θεοῦ, ἕτε μίαν ὥραν ἡρεμοῦσι, λογολεχοῦντες πρὸς ἀλλήλους, καὶ φλυαρίαις μᾶλλον, ἢ προσευχαῖς συγκροτούμενοι. Ἕτεροι δὲ τὴν μυσαγωγίαν τῆς Θείας Λειτουργίας καταλείψαντες πρὸς τὰς τῆς σαρκὸς ἡδονὰς ἑαυτοὺς ἐκδιδόασιν. Ἄλλοι ὀ χολάζουσι καὶ προσέχουσι τῷ ἑαυτῶν συνειδότι, καθαίροντες τοῦτο ῥύπου τῶν ἁμαρτημάτων διὰ τῆς ὁπογνώσεως, ἀλλὰ πλείονα ἁμαρτημάτων φορτία ἑαυτοῖς συνάγοντες, τὰ κάλλη καὶ τὰς μορφὰς τῶν γυναικῶν κατασκοποῦσι, πορνεῖον τὸν τοῦ Θεοῦ Ἐκκλησίαν διὰ τῆς ἀλόγου αὐτῶν ἐπιθυμίας ἐργαζόμενοι. Ἕτεροι περὶ πραγμάτων καὶ κτημάτων συμφωνοῦσιν, ἐμπόριον, καὶ ἀγορᾶς τόπον τὸν φρικωδεστάτην ἐκείνην ὥραν ποιούμενοι. Ἄλλοι εἰς καταλαλιὰς ἀλλήλων, ἢ καὶ αὐτῶν τῶν Ἱερέων τὸν θυσίαν προσφερόντων ἐν τῇ συνάξει ἀπασχολοῦνται. Οὐκ ἔξω δὲ τῶν τοιούτων τινὲς τῶν γυναικῶν ἐφορεύσκονται, ἀλλὰ πρὸς τούτοις ὅσαι τῷ διαβόλῳ δουλεύσι, ὑ τοσοῦτον τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ χολάζουσι δι' ὀχλῶ, ὅσον διὰ τὸ ὀφθῆναι, καὶ ἀποπλανῆσαι πολλὰς τῶν ἀφελεστέρων. Τῆς ὧν παραινέσεως τὰ δύο γενῆ προσλαμβανούσης, τῶν τε ἀνδρῶν καὶ γυναικῶν, ὅπερ τὸν ἐξ ἀρχῆς μέθοδον τοῦ λόγου ἐπανέρχομαι, τοιαῦτα λέγων καὶ θρηνῶν, οἷα ἡμῖν τοῖς δοκοῦσιν εἶναι Χριστιανοῖς ἡ ἑαυτῶν ῥαθυμία, καὶ καταφρόνησις εἰργάσατο. Τί γὰρ δεινότερον τοῦ

τοιούτου

τοιούτου ἔρπα, ὅταν ἁρπαγὰς, καὶ πονηρίας, καὶ πλήθη ἁμαρτημάτων ἐν ἑαυτοῖς ἔχοντες, ὕδατι μικρῷ τὰς χεῖρας ὀνιπτόμενοι, ὅπω τὸ Ἅγιον ἐκεῖνο Σῶμα, καὶ τὸ Θεῖον Αἷμα, τὸ ὑπὲρ τῆς τοῦ Κόσμου ῥυῦσαν σωτηρίας, ἁπάθαρτοι καὶ ἐρρυπωμένοι ὄντες ἑαυτοῖς προσάγομεν; Οὐχ ὁρᾷς, πῶς Ἰούδας ἀναξίως καὶ δολίως τὸ Σώματος μεταλαβὼν τοῦ Δεσποτικοῦ, διαθέως κατεκρίθη, καὶ χώραν πλείονα δέδωκε τῷ πονηρῷ; φησὶ γαρ. Καὶ λαβὼν τὸ ψωμίον, διαθέως εἰσῆλθεν εἰς αὐτὸν ὁ Σατανᾶς. Οὐ τοῦ ἄρτου καταφρονῶν ὁ διάβολος, ἀλλ' ἐκεῖνον τὸν μεταλαβόντα ἐλέγχων, ὅτι εἰς κατάκριμα ἑαυτοῦ μετέλαβε. Ποίῳ γὰρ συνειδότι, εἰπέ μοι, προσέρχῃ τοῖς Μυστηρίοις; ποίᾳ ψυχῇ, ποίῳ λογισμῷ, ἔχων σῶδον τὸ σὸν συνειδὸς κατήγορον; Εἰπέ μοι, ἆρα εἰ κόσμον φέρων ἐν ταῖς χερσὶν ἐτόλμησας ἂν ἅψασθαι τῶν ἱματίων τοῦ βασιλικοῦ; Καὶ τί λαλῶ τοῦτο; ὑδὲ τῶν σῶν ἱματίων ἥψω ῥυπαρὰς τὰς χεῖρας ἔχων, ἀλλὰ πρότερον ἀποπλυνάμενος, καὶ ἐκμάξας αὐτὰς, τότε ἂν τῶν σῶν ἱματίων ἥψω. Τί ὧν ὑδὲ ὡς ἱματίοις διατελέσι καὶ ἐνδύμασι προσάγεις τῷ Θεῷ τὼ τιμιώ; καὶ ποίας ἀπολαύσεις συγγνώμης εἰπέ μοι; Οὐ γὰρ τὸ εἰσέρχεσθαι ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, καὶ τὰς θείας μορφώσεις τῶν Ἁγίων Εἰκόνων, καὶ τὰς τιμίας Σταυρὰς ἀσπάζεσθαι, τοῦτο ἀρεσόν. ὑδὲ τῷ ὕδατι ἐκπλυῦαι τὰς χεῖρας, τοῦτο κάθαρσις. ἀλλὰ τὸ ἀποφυγεῖν καὶ ἀποπλυῦαι τὸν ῥύπον τῶν ἁμαρτημάτων, καὶ ἐξομολογήσει, καὶ δάκρυσι, καὶ ψυχῇ τεταπεινωμένῃ ἀποσμήχειν τῶν ἁμαρτημάτων τὰς σειρὰς, καὶ ὅπως προσέρχεσθαι τοῖς ἀχράντοις Μυστηρίοις. Ἀλλ' ἴσως ἐρεῖτις. Οὐκ δ' χερές μοι τὸ δακρύειν καὶ θρηνεῖν ἑαυτόν. Διατί; ὅτι ὑ πονεῖς, ὅτι ὑκ αἰθαύῃ, ὅτι ὑ λογίζῃ τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως. Ὅμως εἰ ὑ δύνασαι δακρῦσαι, κἂν ὀπίσω σου σπάζον, καὶ σύγνασον, καὶ τὸν γέλωτα περίκοψε, κἂν τὸν ἔπαρσιν ἀπόῤῥιψον, καὶ μὴ φόβου θορυβήσῃ τῷ Δεσπότῃ τὸς ὀφθαλμὸς πρὸς γὸν νοερῶς, καὶ καταβεβλημμένῳ τῷ φρονήματι αὐτῷ ἐξομολογούμενος. Οὐχ ὁρᾷς τὸς τῷ ὀπυγείῳ βασιλεῖ παρισταμένους, πολλάκις δὲ καὶ ἀσεβεῖ ὄντι, πῶς αὐτῷ παρίστανται μὴ πάσης δύλαβείας, μὴ φρίκης πρὸς αὐτὸν ἀνατρνίζοντες, μήτε φθεγγόμενοι, μήτε θορυβούμενοι, μήτε θορυβώμενοι. ἀλλ' ἐν ἡσυχίᾳ καὶ φόβῳ αὐτῷ παρεστάμενοι; ἡμεῖς δὲ ὡς ἐν θεάτρῳ, ἢ βαλανείῳ, ὅπως ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ παρεστάμεθα, γελῶντες, φλυαροῦντες, λογολεχοῦντες, ἑαυτοὺς ἀπατῶντες, καὶ δοκοῦντες, ὅτι ἐν Ἐκκλησίᾳ παρεστάμεθα. Οὐκ οἶδας, ὅτι Γαζεῖον καὶ Λιμνὼ ἐστὶν ἡ τοῦ Θεοῦ Ἐκκλησία; ἐὰν ὧν τῷ ἰατρείῳ θελήσεις νοσῶν, καὶ μὴ θεραπεύόμενος, πότε λοιπὸν ἰαθήσῃ; καὶ ἐὰν ἐν τῷ λιμνῷ χειμάζῃ, πῶ λοιπὸν ἡσυχάσεις; Σπεύδετε. δυσωπῶ, μετ' δύλαβείας. σπεύδετε μὴ φόβου, ἐν τῇ φοβερᾷ ὥρᾳ τῆς ἀναφορᾶς. οἷα γὰρ θέσει, καὶ οἵῳ λογισμῷ παρίσαται ἕκασος ὑμῶν κατ' ἐκείνην τὴν ὥραν, ὅτος καὶ προσαναφέρεται τῷ Δεσπότῃ. Ἀναφορὰ γὰρ λέγεται, θέσις τοῦ πρὸς Θεὸν ἀναφέρεσθαι. Παράσηθι ὧν τῷ Θεῷ μεθ' ἡσυχίας, καὶ κατανύ

ξεως. Ἐξομολόγησαι τῷ Θεῷ διὰ τῶ Ἱερέως τὰς ἁμαρτίας σε. Καταδίκασον
Ἐκκ. 4. σε τὰς πράξεις, καὶ μὴ αἰσχυνθῇς. Ἐὰν γὰρ αἰσχυνῇ ἐπάγουσα ἁμαρτίαν,
καὶ ἔσιν αἰσχυνὴ δόξα καὶ χάρις. Κατάκεινον σεαυτὸν ἐνώπιον ἀνθρώπων, ἵνα
ἐνώπιον Ἀγγέλων, καὶ παντὸς τῶ Κοσμε ὁ Κεντήσε δικαιώσῃ. Αἴτησαι
ἔλεος, αἴτησαι συγγνώμην, αἴτησαι ἄφεσιν τῶν παρελθόντων, καὶ λύτρωσιν
τῶν μελλόντων, ἵνα πρεπόντως τοῖς Μυσηρίοις προσέλθῃς, ἵνα καθαρῷ συνει-
Πρὸς δότι τῶ Σώματι καὶ τῶ Αἵματι μεταλάβῃς, ἵνασε εἰς κάθαρσιν, καὶ μὴ εἰς
Κορ. ά. κατάκριμα γένηται. Ἀκουσον τῶ Θείε Παύλε λέγοντος. Δοκιμαζέτω δὲ ἄν-
11. θρωπος ἑαυτὸν, καὶ ὕτως ἐκ τῶ ἄρτε ἐσθιέτω, καὶ ἐκ τῶ ποτηρίε πινέτω. ὁ γὰρ
ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ Σῶ-
μα τῶ Κυρίε. διὰ τῶτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωσοι, καὶ κοιμῶνται
ἱκανοί. Ὁρᾷς ὅτι καὶ ἀσθένεια, καὶ θάνατοι ὡς ὅπι τὸ πλεῖσον ἐπάγονται, διὰ
τὸ ἀναξίως τοῖς Θείοις Μυσηρίοις προσέρχεσθαι; Ἀλλ' ἴσως ἐρεῖς. Καὶ τίς
ἄξιος ἐσίφησιν; Οἶδα τῶτο κἀγώ. Ἀλλ' ὅμως ἄξιος γενήσῃ, μόνον εἰ βε-
ληθῇς. Ἐπίγνωθι σαυτὸν ἁμαρτωλόν. ἔκκοψον ἑαυτὸν τῆς ἁμαρτίας. ἀπό-
σηθι τῆς ἁμαρτίας καὶ τῆς πονηρίας καὶ τῆς ὀργῆς. δεῖξον τὰ τῆς μετανοίας
ἔργα. ἀναλαβὲ σωφροσύνην, πραότητα, μακροθυμίαν. ἐπίδειξαι συμ-
πάθειαν ἀπὸ καρπῶν δικαιοσύνης ὅπι τοῖς δεομένοις, καὶ γέγονας ἄξιος.
δείνθητι τὸ Θεὸ ἐν ψυχῇ σωπετειμένην, καὶ αὐτὸς πληροφορήσει τὰ αἰτήμα-
τά σε. Ἐπεὶ εἰμὴ τῶτο ποιήσῃς, μάτην χολάζεις ἐν τῇ Ἐκκλησία. καὶ ἐ-
Ματ. 7. μὸς ὁ λόγος, ἀλλὰ Δεσποτικὴ ἡ φωνή. Τί γάρ φησι λέγετε τὸ, Κύριε,
Ἰάκ. 2. Κύριε, καὶ ἃ ποιεῖτε τὸ θέλημά με; Καὶ γὰρ ἡ πίσις χωρὶς τῶν ἔργων νε-
κρά ἐσι. Καὶ τί φησιν; ἐπειδὴ πονηρὰ ἔργα ἔχω, διὰ δεῖ προσεύχεσθαι; διὰ δεῖ
ἐν τῇ τῶ Θεῶ Ἐκκλησία χολάζειν; Οὐ τῶτο λέγω, διὲ τῶτο ὑπόκρινω. Ἀλλὰ
τὸ ὡς δεῖ προσεύχεσθαι βδελύσσομαι, ἵνα ἐν ταῖς προσευχαῖς προσερχόμενοι
θεοπρεπῶς παρισάμεθα. ἵνα μὴ καὶ πρὸς ἡμᾶς εἴπῃ ὁ Χριτὸς, ὥσπερ καὶ
Ματ. 21. τοῖς Ἰουδαίοις. Ὁ οἶκός με οἶκος προσευχῆς κληθήσεται, ὑμεῖς δὲ ἐποιήσατε
αὐτὸν σπήλαιον λῃσῶν. Εἰ γὰρ οἱ πωλοῦντες καὶ ἀγοράζοντες ἐν τῷ Ἰουδαϊκῷ
ναῷ τυπτόμενοι ὑπὸ Κυρίε ἐδιώχθησαν, οἱ λοιδορῶντες ἀλλήλες, καὶ μνη-
σικακοῦντες, ποίας ἆρα κολάσεως, καὶ γεέννης ἀξιωθήσονται; τί δὲ πεισόμε-
θα οἱ τῷ Θεῷ σωπαττόμενοι, καὶ τῷ διαβόλῳ ὑποπασόμενοι; Ἐπειδὴ γὰρ
μεσίτης τῶ Θεῶ καὶ ἀνθρώπων ὁ Ἱερεὺς τυγχάνει, καὶ ὑπὲρ ἀφέσεως τῶν τὰ
πλήθες ἁμαρτιῶν Θεὸν ἐξιλεῶται, βλέπε, πῶς πάντως προασφαλίζεται, καὶ
διαμαρτύρεται, ὡσανεὶ τῷ λαῷ τοιαῦτά τινα φθεγγόμενος. Ἐπειδή περ, ὦ
ἄνδρες, μεσίτιν με πρὸς Θεὸν ὑπὲρ ὑμῶν ὅπι τῆς μυσικῆς ταύτης Τραπέ-
ζης ἐσήσατε, βδελύσσομαι, ἀπεδάσατε καὶ ὑμεῖς σὺν ἐμοί. ἀπόσητε πασῶν
τῶν βιωτικῶν ἐννοιῶν. καταλείψατε πᾶσαν σωματικὴν φροντίδα. Προσευχῆς
γὰρ ἐκτενοῦς, ἀλλ' οὐκ ἀχολίας ματαίας ὁ καιρός. Ἀκούσατε, τί ὁ Διάκο-

νος ὑμῖν προσφωνεῖ λέγων. Σπῶμεν καλῶς, σῶμεν μετὰ φόβε. προσέχωμεν τῇ
ἁγίᾳ Ἀναφορᾷ, κλίνωμεν τὰς αὐχένας, κλείσωμεν τὴν διάνοιαν, κλείσωμεν
τὴν γλῶσσαν, πληρώσωμεν τὸν νᾶν, πρὸς Οὐρανὸν ἀνέλθωμεν. ἄνω χεῶ-
μεν τὸν νᾶν καὶ τὰς καρδίας, ἄνω πρὸς Θεὸν τὸ τῆς ψυχῆς ὄμμα ἐπάρωμεν,
παρέλθωμεν τὸν Οὐρανὸν, παρέλθωμεν τὰς Ἀγγέλες, παρέλθωμεν τὰ
Χερυβίμ, καὶ πρὸς αὐτὸν τὸν Θρόνον τὸν Δεσοτικὸν προσδράμωμεν, αὐτῶν
τῶν ἀχράντων τῶ Χριτῶ ποδῶν ὀπλαβώμεθα, δακρύσωμεν, βιατώμεθα τὴν
αὐτῶ φιλανθρωπίαν, ἐξομολογησώμεθα εἰς τὸ ἅγιον καὶ ὑπερφανίον καὶ τρο-
πὸν αὐτῶ Θυσιασήριον. Ταῦτα διαμαρτύρεται ἡμῖν ὁ Ἱερεὺς λέγων. Ἄνω
σχῶμεν τὰς καρδίας. Εἶπα, τί πρὸς ταῦτα ἡμεῖς ἀποκρινόμεθα; Ἔχο-
μεν πρὸς τὸν Κύριον. Τί λέγεις; τί ποιεῖς; ὁ νᾶς πρὸς τὰ φθαρτὰ, καὶ
τὰ πρόσκαιρα μετεωρίζεται, καὶ πρὸς χήματα, καὶ ὐσίας, καὶ ἡδονὰς, καὶ δίκας
ἀχολεῖται, καὶ λέγεις, Ἔχω πρὸς τὸν Κύριον; πρόσεχε, βδελυκτὲ, μή-
πως ἐκ ἔχεις ἄνω τὸν νᾶν πρὸς τὸν Κύριον, ἀλλὰ κάτω πρὸς τὸν διάβολον.
Τί ποιεῖς ἄνθρωπε; Ὁ Ἱερεὺς τὴν ἀναίμακτον Θυσίαν ὑπὲρ σὲ προσφέρει
τῷ Δεσότῃ, καὶ σὺ καταφρονεῖς; ὁ Ἱερεὺς ὑπὲρ σὲ ἀγωνίζεται ὡς ἐν δικα-
σηρίῳ φοβερῷ, ὕπως τῷ θυσιασηρίῳ παρισάμενος βδελυκτὲ, καὶ ὅπι δύνει
ἄνωθεν τὴν χάριν τῶ Ἁγίε Πνεύματος σοὶ ὅπαφοιτῆσαι, καὶ σὺ ὑπὲρ τῆς
σεαυτῶ σωτηρίας ἀφροντίζεις; Μὴ, βδελυκτὲ. Κατάλειφον παύτην τὴν πο-
νηρὰν, καὶ ματαίαν σωτηρίαν. συμβούσον τῷ Ἱερεῖ ὑπὲρ σὲ ἀγωνιζομένῳ. Ἰάκ. 5.
συγκοπίασον αὐτῷ ὑπὲρ σὲ προσευχόμενος. ὅπως σεαυτὸν ὑπὲρ τῆς σῆς σω-
τηρίας. Πολλὰ γὰρ ἰσχύει δέησις δικαίε ἐνεργεμένη. Ἐνεργεῖται δὲ, ἐὰν καὶ σὺ Ἐκκ. 34
συναγωνίσῃ τῷ Ἱερεῖ, καὶ τὰς τῆς μετανοίας ὑποδείξῃ καρπός. Ἐπεὶ εἰς οἰ-
κοδομῶν, καὶ εἰς καταλύσιν, τί ὠφέλησαν, ἀλλ' ἢ κόπος; ποία γὰρ ἐκ ἔσι
ταύτης τῆς καταλύσεως δεινότης, τὸ μὴ μόνον φθάσαι τῷ Χριτῷ, κατ' ἐ-
κεῖνον τὸν φοβερὰν ὥραν τῆς Θείας Συναξέως, ἀλλὰ καὶ τοῖς ἑαυτῶν ἀδελ-
φοῖς μνησικακεῖν, καίπερ λέγοντες ἐν τῇ προσευχῇ τὸ, Καὶ ἄφες ἡμῖν τὰ
ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Τί λέγεις ἄν-
θρωπε; τί τολμηρῶς κατὰ τῶ Θεῶ νεανεύῃ; Μνησικακεῖς κατὰ τῶ ἀδελφῶ σε,
μάχαιραν αὐτῷ ἀνοῶν, καὶ δόλως κατ' αὐτῶ καπασκευάζων, καὶ τὸν πονηρὸν
ἰὸν ἐν τῇ καρδίᾳ σε φέρων, καὶ βοᾷς τῷ Θεῷ, ἄφες μοι τὰ ὀφειλήματα, ὡς
κἀγὼ ἀφῆκα τῷ ὀφειλέτῃ με; Εὔξαθαι ἦλθες ἐν τῇ τῶ Θεῶ Ἐκκλησίᾳ, ἢ
βλάσφαι; χάριν λαβεῖν, ἢ ὀργὴν ὑπασάσθαι; ἄφεσιν ἁμαρτιῶν ποιή-
σαθαι, ἢ προσθήκην πλημμελημάτων; σωτηρίαν κομίσαθαι, ἢ κόλασιν; Οὐκ
ὁρᾷς, ὅτι διὰ τῶτο ἀπαζόμεθα ἀλλήλες κατ' ἐκεῖνον τὸν ὥραν τὸν φοβερὸν, Ησ. 58.
ἵνα πάντα συνδεσμὸν ἀδικίας καὶ συλληροκαρδίας ῥίψαντες ἐν καθαρᾷ καρδίᾳ
τῷ Δεσότῃ προσέλθωμεν; Τί ποιεῖς ἄνθρωπε; Ἀγγέλων λειτουργούντων,
Ἐξαπερύγων τὴν μυσικὴν Τράπεζαν καλυπτόντων, τῶν Χερυβὶμ παρισαμένων,

κἀγὼ τὸν τελεσάγιον ὕμνον λαμπρᾷ τῇ φωνῇ κεκραγόπων, τῷ Σεραφὶμ μετ' ὀλαβείας κεκυφόπων, τὸ Ἀρχιερέως ὑπὲρ σὲ ἐξιλεωμένε, παύπων φόβῳ καὶ ξόμῳ ἀγανακτούντων, τὸ Ἀμνὸ τὸ Θεὸ σφαγιαζομένε, τὸ Πνεύματος τὸ Ἁγίε αὐωθὲν ἐκπορευόντος, Ἀγγέλων ἀοράτως πάντα τὸν λαὸν φυλαττόντων, καὶ τὰς τῶν πιστῶν ψυχὰς σωζομένων καὶ ἀποχαρομένων, ἐ φείττεις καταφρονῶν, καὶ ἀσπασμὸν Ἰουδαϊκὸν τὸν ἀδελφὸν ἀσπαζόμενος, καὶ πολυχρονίως μνησικακίας, καὶ τὸν ὀλέθριον τὸν τὸ ὄφεως ἐν τῇ καρδίᾳ σε ἐναποκρύπτων καὶ τὸ ἀδελφό σε ἰόν; πῶς ἐ φείττεις καὶ καταπίπτεις, τῷ τὰ κρυπτὰ τῆς καρδίας γινώσκοντι λέγων. Ἄφες μοι, ὡς κἀγὼ ἀφῆκα τῷ ἀδελφῷ μου; Τί διαφέρει κατάρας ἡ πιαύτη σε δύχή; Ἴδε λέγεις, καθ' ἑαυτὸ ἀποφαίνῃ. εἰ ἀφῶ, ἄφες. εἰ συγχωρῶ, συγχώρησον. εἰ συμπαθῶ, συμπάθησον. εἰ κρατῶ μνησικακίαν πρὸς τὸν σωύδουλόν μου, κράτησον. εἰ ὀργίζομαι, ὀργίσθητι. ἐν ᾧ μέτρῳ μετρῶ, μετρηθήτω μοι. εἰ ἐν ὑποκρίσει συγχωρῶ, ἐν ὑποκρίσει ἐλεηθῶ. ἐγὼ τὴν φόβον κατ' ἐμαυτὸ ποιοῦμαι Δέσποτα. ἤκουσα γὰρ τῆς φοβερᾶς σου φωνῆς τῆς λεγούσης, ὅτι, Ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται
Ματ. 7. Ματ. 6. ὑμῖν. καὶ, Ἐὰν μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὑμῶν ὁ Οὐράνιος ἀφήσει ὑμῖν. πάντων δὲ τῶν ἀφυδόνων σου φωνῶν ταῖς ὑποφάσεσι πειθεὶς, ἀφῆκα καὶ συνεχώρησα τοῖς παίσασιν εἰς ἐμὲ, ἄφες ἔν, Δέσποτα, ὡς ἀφῆκα κἀγὼ τοῖς ὁμοδούλοις. Ταῦτα λέγωμεν. ταῦτα καθ' ἑκάστην προσδυχόμενοι καὶ τὸν καιρὸν τῆς φοβερᾶς καὶ φρικώδους συναξέως παρεισάμενοι. Ὅπερ γινώσκων ὁ Ἱερεὺς μετὰ τὸ ἁγιασθῆναι τὴν Θυσίαν ἐκείνην τὴν ἀναίμακτον, αὐτοῖ τὸν Ἄρτον τῆς ζωῆς, καὶ πᾶσιν αὐτὸν ὑποδεικνύει, εἶτα ἐκφωνεῖ ὁ Διάκονος, καὶ λέγει. Πρόσχωμεν. ὅπερ ἐστὶ, προσέχετε ἑαυτοῖς ἀδελφοὶ, φησίν. Ἴδε πρὸ βραχέων σωσθέντε, Ἔχομεν πρὸς τὸν Κύριον τὰς καρδίας. καὶ πάλιν τὸ καθαρὸν καὶ ἀμνησίκακον ὁμολογοῦντες Θεῷ, εἴπατε. ὅτι ἄφες ἡμῖν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, διὸ καὶ ἀλλήλες ἠσπάσασθε. ἀλλ' ἐπειδὴ ἄνθρωπος εἰμὶ κἀγὼ, ἀγνοῶν τὰς ἐνθυμήσεις ὑμῶν, ἀπορρίπτω ἀπ' ἐμαυτὸ τὸ κρίμα. ἐ γὰρ οἶδα, τίς ἄξιος, ἢ ἀνάξιος τῆς τῷ Μυστηρίων μεταλήψεως, καὶ διὰ τοῦτο προσφωνῶ, προσέχειν ὑμᾶς ἑαυτοῖς, καὶ ὑπογινώσκειν, τίνι παρίσασθε. Εἶτα ἐπάγει ὁ Ἱερεὺς δεύτερον, καὶ λέγει. Τὰ Ἅγια τοῖς ἁγίοις. Τί δέ φησιν; Ὁρᾶτε ἀγαπητοὶ, πῶς τῇ μεταλήψει τῷ Θείων Μυστηρίων προσέρχεσθε, μήτις ὑμῶν μεταλαβεῖν προσερχόμενος, ἀκύρωσε· Μή μου ἅπτε· ὑπόστηθι ἀπ' ἐμοῦ ὁ ἐργαζόμενος μυησικακίαν καὶ ἀνομίαν. ὑπόσα μακρὰν ὁ μὴ συγχωρήσας τῷ ἀδελφῷ σε. Καὶ τότε ἐλθὼν προσφερε τὸ δῶρόν σε, καὶ ἀξιωθήσῃ τῆς Μεταλήψεως. Ῥύφον παύπα βόρβορον κακίας ὑπὸ σε, καὶ τότε ἐλθὼν ὑπόδεξαι τὸν καθαρτήριον Ἄνθρακα. εἰπὲ πρὸς αὐτόν. Οἶδα Δέσποτε, ὅτι πολλῶν ἁμαρτημάτων καὶ ὀφλημάτων χρεώστης εἰμί. ἀλλὰ διὰ τοῦτο συνεχώρησα τοῖς ἐμοῖς ἀδελφοῖς, ἵνα

κἀγὼ

κἀγὼ τῆς πρὸς σὲ συγχωρήσεως ἀξιωθῶ, Δέσποτα. Ταῦτα καὶ τὰ τοιαῦτα ὑποτίθεται ὑμῖν ὁ Ἱερεὺς διὰ τῆς μικρᾶς ἐκείνης ἐκφωνήσεως. Διὸ συγχωρήσωμεν τοῖς ἀδελφοῖς ἡμῶν, καὶ ἐξ ἑαυτῶν ἀποῤῥίψωμεν πᾶσαν κακίαν καὶ πονηρίαν, οἱ βουλόμενοι ἀξίως προσπαῆσαι τῆς κλήσεως, ἧς ἐκλήθημεν. Μὴ εἴπῃς, πολλά σωσεχώρησα τῷ ἀδελφῷ μου, καὶ πάλιν μοι ἥμαρτεν, ἐπεὶ καὶ σὺ τὸ αὐτὸ ἀνέσεις πρὸς τὸν Δεσπότην. μὴ εἴπῃς, μεγάλα μοι ὁ δεῖνα ἔπταισε, τὸν οἶκόν μου ἐπεβούλευσε, τὸν ἀγρόν μου ἰδιοποιήσατο, τὸν υἱόν μου ἀπέκτεινε, πολλά κακά μοι ἐνεδείξατο, εἰς δεσμωτήριον ἐνέβαλεν, εἰς θανάτου με παρέδωκε, καὶ ἐ δύναμαι τούτῳ συγχωρῆσαι. Μὴ, ἀγαπητὲ, μὴ λέγε οὕτως, πρὸς καλῶ. ὅσα γὰρ ἀφήσεις τῷ ἀδελφῷ σε, τοσαῦτα, καὶ μείζονα ἀφήσει σοι ὁ Δεσπότης. Μίμησαι καὶ σὺ Στέφανον ἐκεῖνον τὸν πρῶτον ἐν Μάρτυσιν. Τί γὰρ ἐκεῖνος ἔλεγε λιθολοσούμενος; Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Μίμησαι Γάκωβον τὸν Ἀδελφόθεον, ὃ καὶ οἱ Γαλιλαῖοι λογογράφοι μέμνηνται δύχόμενον ὑπὲρ τῶν αἰρούντων αὐτὸν, καὶ λέγοντα. Κύριε ἄφες αὐτοῖς, ὅτι οὐκ οἴδασι τί ποιοῦσι. Μίμησαι αὐτὸν τὸν Δεσπότην, τὸν πρὸ τοῦ σοῦ σωτηρίαν θανάτου καταδεξάμενον, καὶ εἰ ὅπῃ ξύλου σὲ θελήσῃ ὁ ἀδελφός σε ἀπορῆσαι, συμβούλευσον τῷ Δεσπότῃ, καὶ εἰπέ. Πάτερ ἄφες αὐτοῖς τοῦτο τὴν ἁμαρτίαν ταύτην. Ὅρα τὸν μυρία πάλαπα τῷ δεσπότῃ χρεωστοῦντα. μυρία δὲ πάλαπα ἀνέων, φορτία ἁμαρτημάτων νόησον. Οὕτος ἐπειδὴ προσέπεσε τῷ δεσπότῃ, ἐπειδὴ παρεκάλεσεν, ἐπειδὴ ἐδυσώπησεν, ὅτι πᾶσιν ἐκείνοις συγχωρήσεως ἔτυχε. Μνησικακήσας δὲ, καὶ μὴ συγχωρήσας τὸ συνδοῦλε αὐτοῦ, οὐκ ἔτι ἀνέσεως ἔτυχεν, ἀλλ' αἰωνία παρεδόθη γεέννῃ, καὶ ἴσχυσεν ἡ μνησικακία μόνη ἀποτελέσαι αὐτὸν, ὑπὲρ πάντα ἐκεῖνα τὰ βαρέα τῆς μυρίων παλαίπων ἁμαρτήματα. Διὸ παρακαλῶ, φεύγωμεν τὸ πονηρὸν τοῦτο καὶ ἀσυγχώρητον ἁμάρτημα. Καὶ εἰ βούλει μαθεῖν, ὅτι ὑπὲρ πᾶσαν ἄλλην ἁμαρτίαν χείρων ὑπάρχει ἡ τῆς μνησικακίας σκότωσις, ἄκουσον. Πᾶσα ἁμαρτία πρὸς βραχὺ μὲν ἀποτελεῖται, ταχέως δὲ καὶ τελειοῦται. Οἷον, πορνεύει τις, καὶ μετ' ὀλίγον, τὸ μέγεθος τοῦ ἁμαρτήματος ἐννοήσας, πρὸς ἐπίγνωσιν μεταβαίνει. ἡ μνησικακία δὲ ἄπαυστον ἔχει τὸ πάθος φλεγμαῖνον. Καὶ γὰρ καὶ αὐτοκτόνος, καὶ κοπαζόμενος, καὶ προσδυχόμενος, καὶ ὁδοιπορῶν, ἄπαυστον καὶ ἀδιάλειπτον κέκπηται τὸν ἰὸν ἐν τῇ ἑαυτοῦ καρδίᾳ, τούτῳ τῷ πάθει κατεχόμενος, ὥστε τὸν τοῦτο δεδουλωμένον μήτε χαίρειν Θεοῦ ἀπολαύειν, μήτε ἀφέσεως ἁμαρτημάτων ἀξιοῦσθαι. Ὅπου γὰρ μνησικακία περυτύμμη, ἐκεῖ οὐδὲν ὠφελεῖ ἡ νηστεία, ἡ προσδυχὴ, ἡ δάκρυα, καὶ ἐξομολόγησις, ἡ δέησις, ἡ παρθενία, καὶ ἐλεημοσύνη, καὶ ἄλλο οὐδὲν ἀγαθόν. πάντα γὰρ καταλύει ἡ μνησικακία ἡ πρὸς τὸν ἀδελφόν. Προσέχωμεν δὲ κἀκεῖνο μετὰ ἀκριβείας. ἐ γὰρ εἶπον. Ἐὰν προσφέρῃς τὸ δῶρόν σε ὅπῃ τὸ θυσιαστήριον, καὶ μνησθεὶς, ὅτι ἔχεις τι κατὰ σὲ ὁ ἀδελφός σε,

ὕπα-

ὕπαγε ὀπίσω μου, διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. Εἰ δὲ καὶ τὴν κακίαν καὶ πονηρίαν τοῦ ἀδελφοῦ ὀφείλομεν θεραπεύειν, ποίαν συγγνώμην ἔχομεν ἡμεῖς, οὐ μόνον τοῦτο μὴ ποιοῦντες, ἀλλὰ καὶ τοῖς ἀδελφοῖς ἡμῶν μνησικακοῦντες, καὶ τὸν πονηρὸν ἰὸν τοῦ ὄφεως ἐν ἑαυτοῖς ὑπο-κρύπτοντες; Πολλῶν ἀκούω πολλάκις λεγόντων. Οἴμοι πῶς ἔχω σωθῆναι; νηστεύειν μὲν ἰσχύω, ἀγρυπνεῖν δὲ βούλομαι, παρθενεύειν δὲ δύναμαι, Κόσμῳ ἀναχωρῆσαι δὲ φέρω, πῶς λοιπὸν δύναμαι σωθῆναι; πῶς; Ἐγώ σοι λέγω. Ἄφες, καὶ ἀφεθήσεταί σοι, συγχώρησον, καὶ συγχωρηθήσεταί σοι. Ἰδοὺ μία ὁδὸς σωτήριος πρὸς σωτηρίαν. Ὑποδείξω σοι ἓν καὶ δεύτερον. ποίων; Μὴ κρίνετε, φησὶ, καὶ οὐ μὴ κριθῆτε. Ἰδοὺ καὶ ἄλλη χωρὶς νηστείας, καὶ ἀγρυπνίας, καὶ κόπου. Μὴ τοίνυν κρίνωμεν τὸν ἀδελφὸν, εἰ καὶ ἰδίοις ὀφθαλμοῖς ἴδῃς αὐτὸν ἁμαρτάνοντα. Εἷς γάρ ἐστιν ὁ Κριτὴς καὶ Δεσπότης, ὃς καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. καὶ μία ἡμέρα τῆς κρίσεως, ἐν ᾗ ἀθροισόμεθα πεντα-κισμύριοι καὶ τὰς πράξεις ἡμῶν, καὶ τὸν τοῦ Θεοῦ ἔλεον λαμβάνοντες. Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ. Ὃ δὲ κρίνων πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας, ἀντίχριστος ἐστὶν, ὅτι τὸ ἀξίωμα τοῦ Χριστοῦ ἁρπάζει. Μὴ τοίνυν κρίνωμεν τοὺς ἀδελφοὺς ἀθροισθῆναι καλῶ, ἵνα συγχω-ρήσεως ἀξιωθῶμεν. σὺ μὲν γὰρ ἴσως ὁρᾷς αὐτὸν ἁμαρτάνοντα, καὶ οἶδας δὲ ποίῳ τέλει τὸν βίον παρέλθοι. Ὁ λῃστὴς ἐκεῖνος ὁ τῷ Ἰησοῦ συσταυρωθεὶς φο-νεὺς ἦν καὶ ἀνθρωποκτόνος. ὁ δὲ Ἰούδας ἀπόστολος καὶ μαθητὴς τοῦ Ἰησοῦ, καὶ τῶν γνησίων Μαθητῶν, καὶ ἐν ὀλίγῳ καιρῷ ἡ ἐναλλαγὴ γέγονεν. Ὁ λῃστὴς εἰς Βασιλείαν, ὁ δὲ μαθητὴς εἰς ἀπώλειαν. Πλὴν ἔσω, ὅτι καὶ ἁμαρτωλὸς ἐ-στὶν ὁ ἀδελφὸς, πόθεν γινώσκεις τὰς λοιπὰς αὐτοῦ πράξεις; καὶ γὰρ πολλοὶ πολλάκις ἁμαρτήσαντες φανερῶς, μετενόησαν μεγάλως κρυπτῶς. καὶ ἡμεῖς μὲν ἁμαρτάνοντας αὐτοὺς εἴδομεν, τὴν δὲ μετάνοιαν καὶ ἐπιστροφὴν αὐτῶν οὐκ ἔγνω-μεν, καὶ παρ' ἡμῖν μὲν ὡς ἁμαρτωλοὶ κρίνονται, παρὰ δὲ Θεῷ δεδικαιωμένοι τυγχάνουσι. Διὸ παρακαλῶ, μὴ μνησικακῶμεν, μηδὲ κρίνωμεν μηδένα ἄν-θρωπον, ἕως ἂν ἔλθῃ ὁ Δίκαιος Κριτὴς, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν. Ἐξαιρέτως δὲ μηδὲ Ἱερέα Θεοῦ παρακρυπτῶν καὶ ἀθύλων πραγμάτων, ὧν εἰς αὐτὸν ἤκουσας, ἀνάκρινε. μὴ εἴπῃς, ἁμαρτωλός ἐστιν ὁ προσφέρων, καταδεδικασμένος ἐστὶν, ἀνάξιος ἐστὶν, καὶ οὐκ ὀφοιτᾷ ἡ χάρις τοῦ Παναγίου Πνεύματος. μηδεὶς τοιοῦτον ἐννοήσῃς. Ἄλλος ἐστὶν ὁ τῶν κρυπτῶν γνώστης καὶ ἐξεταστής. ὕπαγωθι σαυτὸν ὅτι σοῦ πάσης ὑψη-λότερος, καὶ παραχώρησον τῷ δικαίῳ Κριτῇ τοῦτο κρίνειν. ἔσω δὲ ὁ Γερὸς εἰς τὰ περὶ Θεοῦ μὴ σφαλλόμενος δόγματα. τῷ δὲ λοιπῶν οὐκ εἶ σὺ δικαστὴς, εἰ ἄρα οὐκ ἐξέστης ἑαυτοῦ, ἀλλ' ὑπαγινώσκεις τὸ οἰκεῖον μέγεθος καὶ ἀξίωμα. Τί οὖν φησίν; οὐχ ὑπόκειται ἀνακρίσει, τοῖς Ἐκκλησιαστικοῖς Κανόσιν Ἀρ-χιερεύς; Ναὶ φημί. ἀλλ' ὁρᾷ σοῦ ἕκαστος ἀνακριθήσεται, ἀλλ' ὑπὸ τοῦ Θεοῦ,

εἰ

εἰ καὶ πολλάκις καὶ ὑπὸ τοῦ μείζονος Ἀρχιερέως. Τί τὸν ποιμένα ἀνακρίνεις πρό-βατον ὑπάρχον; τί ἁρπάζεις Φαρισαϊκῶς τὸ τοῦ Θεοῦ κρίτηριον, καὶ τὸ ἱερὸν ἀξίωμα, ὅπερ σοι οὐκ ἐνεχειρίσθη, οὐδὲ ὑπὸ Θεοῦ πεπίστευται; Διὸ παρα-καλῶ, μὴ κρίνετε τινά, ἐξαιρέτως δὲ Ἱερέα Θεοῦ. ἀλλὰ μετὰ πίστεως προσέλ-θε, καὶ μετανοίας ἐμφράκτου, καὶ σωτηριδότου καθαροῦ τοῖς Θείοις Μυστηρίοις, καὶ τοῦ ἁγιασμοῦ βαπτίζῃ πάντων. Ἐπεὶ καὶ Ἄγγελος Θεοῦ ἐστὶν ὁ προσ-φέρων τὴν ἀναίμακτον Θυσίαν, σὺ δὲ ἀναξίως προσέρχῃ, ἐδαμῶς σε ὁ Ἄγ-γελος ἁμαρτημάτων καθαρίσῃ. Καὶ ὅτι τὸ λεγόμενον ἀληθὲς, αὐτὸς ὁ Ἰούδας μαρτυρεῖ. ὅπως γὰρ ἐξ αὐτῶν τῶν Ἀχράντων Χειρῶν τοῦ Δεσπότου τὸν Θεῖον Ἄρτον δεξάμενος, ἐπειδὴ ἀναξίως τοῦτον ἐδέξατο, εὐθέως εἰσῆλθεν εἰς αὐ-τὸν ὁ Σατανᾶς. Καὶ εἰ βούλεσθε τινὸς διηγήματος ἀκοῦσαι, ὅτι τὸ μὴ κρῖναι τινὰ τῶν ἁμαρτημάτων ἐλεύθεροι, καὶ πάλιν τὸ κρῖναι τὰ ἁμαρτήματα ὑπο-σφραγίζει, ἀκούσατε. Ἔτι γὰρ, μαρτυρούντος τοῦ Χριστοῦ καὶ Δεσπότου, ἐν σαρκὶ ζῶσιν οἱ τοῦτο θεασάμενοι. Ἀνήρτις τῶν ἐν τῷ μοναχικῷ σχήματι διαπρεπόντων, ἐν ἀμελείᾳ πάσῃ καὶ ῥᾳθυμίᾳ τὸν ἑαυτοῦ βίον διετέλεσας, ἀθέ-νησε τῷ τρὸς θανάτου αὐτοῦ ἀῤῥωστίαν, καὶ ἐλθόντος αὐτοῦ εἰς τὰς ἐσχάτας ἀναπνοὰς, ἐδαμῶς τὸν ἑαυτοῦ θανάτου ἐφοβήθη, ἀλλὰ μετὰ πάσης εὐχαρι-στίας καὶ προθυμίας τοῦ σώματος αὐτοῦ ἐχωρίζετο. Εἷς ἦν τῶν συγκαθεζομένων θεοφιλεστάτων Πατέρων ἠρώτησεν αὐτὸν λέγων. Ἀδελφὲ πίστευσον, ὡς ἡμεῖς ἐθεωρήμεν, ἐνομίζομεν ὅτι ἐν πάσῃ ῥᾳθυμίᾳ καὶ ἀμελείᾳ τοῦ σεαυτοῦ ζωοῦ διώυσας, καὶ πόθεσοι ἡ τοιαύτη ἀμεριμνία καὶ τοῦ ὥραν ταύτην, οὐκ οἴδε-μεν. Πρὸς ταῦτα ὁ ἀδελφὸς ἀπεκρίθη. Οὕτως τίμιοι Πατέρες, ἀληθῶς ἐν πάσῃ ῥᾳθυμίᾳ τὸν ἐμαυτοῦ βίον διώυσα. καὶ νῦν ἤγαγον τὸ χειρόγραφον τῶν ἐμῶν ἁμαρτιῶν οἱ Ἄγγελοι τοῦ Θεοῦ πρός με τὴν ὥραν ταύτην, καὶ ἐπαναγνώ-σαντες τὰ ἁμαρτήματα, ἅπερ ἔπραξα, ἀφ' ἧς ἀπεταξάμην, εἶπον πρός με, γνωρίζεις ταῦτα; καὶ εἶπον. ναὶ, ἀκριβῶς ἐπίσαμαι αὐτὰ, ἀλλ' ὅμως ἀφ' ἧς ἀπεταξάμην, καὶ γέγονα Μοναχὸς, ἔτε ἔκρινα τινὰ τῶν ἀνθρώπων, ἔτε ἐμνη-σικάκησα, καὶ παρακαλῶ φυλαχθῆναι καὶ ἐπ' ἐμοὶ τὸν λόγον τοῦ Χριστοῦ. εἶπε δὲ, Μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε. καὶ, Ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν. καὶ ὡς ταῦτα εἶπον πρὸς τοὺς Ἀγγέλους, ἐχάρη εὐθέως τὸ χειρόγραφον τῶν ἁμαρτιῶν, καὶ ἰδοὺ μετὰ πάσης χαρᾶς καὶ ἀμεριμνίας ἀπέρχομαι πρὸς τὸν Χριστόν. Καὶ ὡς ταῦ-τα ὁ Ἀδελφὸς τοῖς Πατράσι διηγήσατο, παρέδωκε τὸ πνεῦμα ἐν εἰρήνῃ τῷ Κυρίῳ, πᾶσαν ὠφέλειαν καὶ οἰκοδομὴν τοῖς παρεσῶσιν αὐτῷ ποιησάμενος. ἧς τινος ὠφελείας, οἰκοδομῆς, καὶ μερίδος, ἐκ τοῦ φυλάττειν ἑαυτοὺς ἀξίως ἀπὸ πάσης παπαρίσεως καὶ μνησικακίας, καὶ ἡμεῖς ἀξιωθείημεν, χάριτι, καὶ φιλαν-θρωπίᾳ τοῦ Παναγίου καὶ ἐλεήμονος Θεοῦ ἡμῶν, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ Μονογενεῖ αὐτοῦ Υἱῷ, καὶ τῷ Παναγίῳ καὶ ζωο-ποιῷ αὐτοῦ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πῶς

Πῶς ἐξηγεῖται τὸ ῥητὸν, Κρῆτες ἀεὶ ψεῦσαι, παρὰ τῦ Χρυσορρήμονος Ἰωάννυ, καὶ Θεοφυλάκτυ Βυλγαρίας.

Ἐπέτις ἐξ αὐτῶν ἴδιος προφήτης (ἀμέλει ὁ Κνώσιος Ἐπιμενίδης) Κρῆτες ἀεὶ ψεῦσαι, γαστέρες ἀργαὶ, κακὰ θηρία, καὶ ἡ μαρτυρία αὕτη ἀληθής ἐστι. Πολλὰ φησὶν ὁ Ἅγιος ἐνταῦθα τὰ ζητούμενά εἰσιν ἐν τῇ κατεσκευῇ ἐπ' αὐτῷ τούτῳ τῷ ῥητῷ αὐτῦ ἑρμηνεία, τὸ κυριώτερον δὲ ἓξ ἐστιν. Πρῶτον μὲν τίς ὁ εἰρηκώς. δεύτερον τίνος δήποτε αὐτοῖς ἐχρήσατο. ἕτερον ὅτι εὖ ὀρθῶς ἔχουσαν μαρτυρίαν παρήγαγε. Καὶ ὁ μὲν εἰρηκὼς τὴν προφητείαν ὁ Κνώσιος Κρὴς ἐστὶν, ὡς εἴρηται, τῆς αὐτῆς ἐνεκαμμένης τοὺς πάντας Κρῆτας, Ἐπιμενίδης λεγόμενος, ὁ κωμῳδήσας τοὺς συμφυλέτας, νομιζομένους τὸν ἀναφανέντα καὶ γνωσθέντα παρ' αὐτοῖς Δία ἐγκεκρύφθαι τάφον τῆς Κρήτης, ὑπονοούμενον ὑπομνηματικῶς τοῖς αὐτόχθοσιν. Ἐνταῦθα Ζὰν κεῖται, ὃν Δία κικλήσκουσι. Διὰ τοῦτο ὑπονοούμενος τοὺς Κρῆτας αὐτόχθονας ἀποφαίνεται ὁ κωμῳδοποιητὴς λέγων ἡρωϊκῶς. Καὶ γὰρ τάφον ὦ Ἄνακτος Κρῆτες ἐτεκτήναντο, σὺ δ' οὐ θανὲς, ἐσσὶ γὰρ αἰεί. ὅστις καθότι μὲν τοὺς Κρῆτας ψεύδεσθαι ἀληθεύει, ὡς νομιζομένους κατέχειν τάφον Διὸς, καθότι δὲ ἀθάνατον αὐτὸν ἀποφθέγγεται κρίνει. Κρὴς γὰρ ὢν τὸ γένος καὶ πάντα μὴ ἐπακολουθὸς ἐστὶ τῇ ἀληθείᾳ. διὸ καὶ παροιμιάζεται πρὸς Κρῆτα μὴ κρίνειν, ἀμέλει πρὸς τοὺς κρίνομένους ὡς καμμένους τῷ ψεύδει ψεύδεα μὴ βάζειν, τὰ δ' ἐπίτυμα πάντ' ἀγορεύειν. ἔχοντες γὰρ ἰδιοποίημον ἔξοχως ὥσπερ βάσανον αὐτοῖς τὸ ψεῦδος εὐμαρείας αὐτοῖς δεῖς τυγχάνουσι διαγινώσκειν τοὺς τὰ αὐτὸ μεταχειριζομένους ὡς χρυσόχαλκον τῷ βασανιστηρίῳ λίθῳ προσάπτοντας. Τί δ' ἂν ματαίως ἐχρήσατο ταυτὶ τῇ μαρτυρίᾳ ὁ μακάριος Παῦλος; (ὅπερ ἐστὶ τὸ δεύτερον τῦ ζητήματος,) μὴ γένοιτο, ἀλλὰ λελήφως τὴν μαρτυρίαν ἀφελῶς, καὶ αὐτοφυῶς κατ' ἄνθρωπον πρὸς τὸ ἦθος αὐτῶν τὸ ἐψευσμένον ἐπήγαγε οἰκονομήσας τὸν ἀληθῆ λόγον, καὶ ἐμφανίσασθαι τὸν ὄντως ξένιον Δία Χριστὸν ἀληθινὸν σχηματίσαντα ἓξ ἑκάταις ἡμέραις πρόξενον τῆς σωτηρίας ἡμῶν, καὶ ἐπιτιμήσασθαι τὸ ἀκόλαστον αὐτῶν πρὸς σωφροσύνην. Διὸ φησὶν ὁ Ἱερὸς Χρυσόστομος, καὶ τὸ ἀθανάτον τῦ Διὸς τῷ Ἐπιμενίδῃ ὑποσιγᾷ, ἀπωθισάμενος οἷος δὴ μελισσουργὸς μέλιττα τοῦτο τῦ αὐθηρῦ φαρμάκου τὸ ἰαματικὸν δροσόμελι, τὸ δὲ σεσηπὸς ὑποκαθήρας ἐγκαταλιμπάνει. Ἔθος γάρ ἐστιν (ὅπερ ὑπάρχει τὸ ἕξ ἐστιν) τῷ οἰκονομοῦντι εἴτε πολιτείαν, εἴτε οἶκον, εἴτε ἄρρωστον ἐνίοτε, καὶ μὴ ὀρθῶν μαρτυριῶν πρόσχειν εἰς τὸ μέσον ἐκ μαρτυρίας εἰς θεραπείαν, καὶ σύστασιν τῶν οἰκονομουμένων. ἐπεὶ καὶ τὸ θεολογικὸν προτέρημα, τὸ ἐκ χείρονος, καὶ κρείττονος ὄν, κρεῖττόν ἐστιν, ἢ τὸ ἐκ τῦ ἀγαθῦ καὶ μόνον προερχόμενον. διό φησι καὶ ἡ Θεολόγος φωνὴ, Θεὸς πρόσχωρεῖ τὰ χείρονα, ἵν' ἔλθῃ τὰ βέλτιονα.

Κατὰ τοῦτο μεθερμηνεύσιν λοιπὸν τῦ Χρυσορρήμονος, σοὶ τῷ ἱερωτάτῳ Βυλγαρείας, ἡ μαρτυρία τῦ Μακαρίου Παύλου ἡ πρὸς τῷ πιστῶν Κρητῶν, ἀλλὰ πρὸς τῷ Ἰουδαίων λαμβάνεται, καὶ τούτων μὴ τῷ δύλαβεστάτων Κρητῶν, τῷ χρηματισάντων τῆς Ἱερουσαλὴμ τοῖς καιροῖς τῆς καθόδου τῦ Παναγίου Πνεύματος, ὡς αἱ Πράξεις ἐξισορροῦσι, καὶ ὁ Θεολόγος Γρηγόριος εἰς τὸν Πεντηκοστήν. καὶ πάλιν ὁ Χρυσόστομος εἰς τὴν πρὸς Ῥωμαίους Ἐπιστολὴν, Κεφ. ις'. ἔπου φησίν. Ἐνταῦθα δέ μοι τοὺς ἐξ Ἰουδαίων αἰνίττεσθαι δοκεῖ, οὓς μάλιστα ἀεὶ διαβάλλειν εἴωθεν ὡς γαστρομάργους. καὶ τῷ Τίτῳ ἐπιστέλλων ἔλεγε περὶ αὐτῶν, γαστέρες ἀργαὶ, κακὰ θηρία.

ΤΕΛΟΣ.

BIBLIOTECA EMANUELE TAGLIAVINI